Ἄξιον ἐνταῦθα ζητῆσαι τίνος ἕνεκεν τῶν πολλῶν μόνων τοῦ Νωε μνημονεύσασα ἡ θεία γραφὴ ἐπήγαγε, Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. μὴ νομίσητε, ἀδελφοὶ, ἁπλῶς τοῦτο παρεισρρῆφθαι· οὐδὲν γὰρ ὅτι τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων, ὃ μὴ μετά τινος εἴρηται λόγου, πολλὴν τὴν ὠφέλειαν ἐγκεκρυμμένην ἔχοντος. τίνος οὖν ἕνεκεν ἐπεσημήνατο καὶ παρεισέθηκεν, ὅτι Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν; βούλεται δηλοῦτον αἰνίξασθαι ἡμῖν τῆς ἀκρασίας αὐτοῦ τὴν ὑπερβολήν, καὶ ὅτι οὐδὲ τῆς συμφορᾶς ὁ μέγεθος συζαλίσαι αὐτὸν πεποίηκεν, οὐδὲ ἡ τοσαύτη ἐν τῇ κιβωτῷ ξενοχωρία, ἀλλὰ καίτοι τὸν παρεσβύτην οὐδέπω τὸν νῦν τεκνοποιήσαντος, ἐν τῇ ἀκρασίᾳ ἑαυτὸν ἐκδοὺς ἐν κιβωτῷ τοσαύτης ἀγμαχτήσεως καὶ πνιγοληθείας τὴν οἰκουμένην κατακλυσθείσης, παρὰ σωσίδυ ἠρόλητο, καὶ ὃ ἀχαλίνωτον τῆς ἐπιθυμίας ἀπετέχνατο, ἀλλ' ἤδη δύωθεν καὶ ἐκ παρασκευῆς ἐδείκνυ τὴν γνώμης αὐτοῦ τὸ μοχθηρόν. ἐπεὶ οὖν μετὰ πολὺ δηλοῦ τὴν ὕβριν τὴν εἰς τὸν γεγυμνωκότα μέλλει τὸν κατάρας δέγεσθαι ὁ Χαναὰν ὁ τούτου παῖς, δηλοῦτο τοῦτο ἤδη παρασκευάζουσα ἡ θεία γραφὴ ἐπεσημαίνατο, καὶ τοῦ παιδὸς ἡμῖν τὴν παρασκευὴν δηλῶν ἐποίησεν, ὁμοῦ καὶ τοῦ γεγυμνωκότος τὸ ἀκριτές· ἵν' ὅταν μὴ ταῦτα ἴδῃς αὐτὸν πολλὴν τὴν ἀναισχυντίαν ἐπιδεικνύμενον παρὰ τὸν γεγυμνωκότα, εἰδέναι ἔχῃς, ὅτι δύωθεν καὶ ἐξ ἀρχῆς τοιοῦτος ἦν, ὡς γε οὐδὲ ἡ ἀπὸ τῆς συμφορᾶς σωτηρία ἐκείνη. ἰσχυρὰ γὰρ ἡ τοσαύτη ἀθυμία πᾶσαν σβέσαι ἡδονήν· καὶ οὐδὲν οὕτω ταύτην τὴν φλόγα καὶ τὴν μανίαν κατασβέσαι δύναται, ὡς ἀθυμίας ἐπίτασις καὶ συμφορᾶς ὑπερβολή. ὁ τοίνυν ἐν τοσούτῳ μεγέθει τῶν κακῶν τοσαύτην ἐπιδεικνύμενος τὴν λύσσαν καὶ μανίαν παρὰ τὸν παιδοποιόν, ποίας δὴ εἶπῃ συγγνώμης ἄξιος; ἀλλ' ἀντεῦθεν ἡμῖν πάλιν ἕτερον πίκτεται ζήτημα, ὃ πολυθρύλλητον ὂν καὶ πανταχοῦ περιφερόμενον, τίνος ἕνεκεν τοῦ παρὰ ἀμαρτόντος ὁ υἱὸς τὴν κατάραν δέχεται; ἀλλ' ἵνα μὴ νῦν μακρὸν ποιῶμεθα τὸν λόγον, τοῦτο παραιθυσόμεθα πρὸς ὃ παρὸν, ἵν' ἐπειδὰν εἰς αὐτὸν τὸν τόπον ἀφικώμεθα, τότε καὶ τὴν λύσιν ἐπαγάγωμεν, ἐὰν δὲ ὁ θεὸς παραδῷ. οὐδὲν γὰρ, καθάπερ ἔφθην εἰπών, τῶν ἐν τῇ θείᾳ γραφῇ κειμένων ἀνὰ λόγον τινὸς καὶ αἰτίας ἐστὶν ὁρᾶν ἐγκεκαμμένον. τέως οὖν τοῦτο ἐγνωμεν, ὅτι οὐκ ἁπλῶς, καὶ ὡς ἔτυχε, τῆς προσηγορίας τοῦ υἱοῦ ἐμνημονεύθησαν ὁ Μωϋσῆς εἰπών, Χὰμ δὲ ἦν πατὴρ τοῦ Χαναάν. τρεῖς εἰσιν οὗτοι υἱοί, φησι, Νωε, καὶ ἀπὸ τούτων διεσπάρησαν ὅλη πᾶσαν τὴν γῆν. μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, μηδὲ ὃ νῦν ῥηθὲν, ἀλλ' ἐννοήσωμεν καὶ ὃς αὐτοῦ τούτου τῆς δυνάμεως τοῦ θεοῦ τὸ μέγεθος. τρεῖς, φησιν, ἦσαν οὗτοι υἱοὶ Νωε, καὶ ἐκ τούτων διεσπάρη ὅλη πᾶσαν τὴν γῆν. πῶς ἀπὸ τῶν τριῶν τοσοῦτον πλῆθος ἐπέδωκε; πῶς ἠδυνήθησαν ἀρκέσαι; πῶς ἐκ τῶν ὀλίγων τούτων ἅπας ὁ κόσμος σωθείς; πῶς αὐξεῖς τὰ σώματα διέμεινεν; οὐκ ἰατρῶν ἐπὶ θεραπείαν παρεσάγων, οὐκ ἄλλη τις ἐπιμέλεια. οὐδέπω γὰρ οὐδὲ πόλεις ἦσαν διειμάμενοι, ἀλλὰ μετὰ τοσαύτην κατακλυσμοῦ, καὶ τὴν ἐν τῇ κιβωτῷ ἀφανισμὸν ὡς πεπαιχυμένοι καὶ κατειργασμένοι ὀξέως, καὶ ἐν τοσαύτῃ μονώσει τυγχάνοντες καὶ ἐρημίᾳ ἀφάτῳ πῶς ἐδιεφθάρησαν; πῶς οὐκ ἀπώλοντο;

ἀπώλοντο; ὁ γὰρ φόβος, εἰπέ μοι, καὶ ἡ ἀγωνία" ὃ κατέσιεν αὐτῶν τὴν ψυχήν, καὶ "διεπέρασαν τὸν λογισμόν; μὴ ξενιαθῇς, ἀγαπητέ. θεὸς γὰρ ἰῶ ὁ πάντα ἐργαζόμενος, καὶ ὁ τῆς φύσεως δημιουργὸς ἰῶ ὁ πάντα ταῦτα καὶ κωλύματα ἀναιρῶν, καὶ τὸ πρόσταγμα αὐτοῦ σκῆνος τὸ λέγειν, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν," αὐλοῖς καὶ τύμπανον ἐχρήσατο. ἐπεὶ καὶ ⓐ Ισραηλῖται ἰῶ ἵνα εἰς Αἴγυπτον τῇ πλινθείᾳ καὶ τῷ πηλῷ κατειργάσθησαν, ταύτῃ πολλῷ μᾶλλον εἰς πλῆθος ἐπέδωκεν, καὶ ὅτε ὁ μὴ λεες σκῆνος καὶ ὠμὸν ὑπέταγμα τοῦ Φαραὼ, ὁ κελεύων καὶ ἀρρένα εἰς τὸν ποταμὸν ῥίπτεσθαι, οὐδὲ ἡ λοιπὴ κακουχία, ἰῶ ἀπὸ τῶν ἐργαστηρίων ἀπέμυνον, ἴσχυσεν ἐλαττῶσαι αὐτῶν τὸ πλῆθος, ἀλλὰ καὶ μᾶλλον εἰς πλῆθος ἐπεδίδου. ἡ γὰρ ἀνάγκη ἰῶπα. ἀνορθοῖ ἰῶ ἡ δηλ τῶν ἐναντίων ἅπαντα ἐργαζομένη *. ὅταν οὖν ὁ θεὸς κελεύῃ, μὴ ζήτει καὶ ἀκολουθίαν αὐτοῦ διερευνᾶσθαι καὶ πρόσταγματα. δυνατὸς γὰρ ὢν τῆς φύσεως ὑπερβαίνειν τὰς φύσεις, ἀλλὰ καὶ διὰ αὐτῶν τῶν κωλυόντων καὶ πρόσταγματα αὐξάνεσθαι παρασκευάσει. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, ἀπὸ τῶν τειχῶν τούτων τὴν οἰκουμένην ἅπασαν ἀνεπλήρωσεν. ἀπὸ τούτων γάρ, φησι, τῶν τειχῶν διεσπάρησαν ὅτι πᾶσαν τὴν γῆν.

Εἶδες θεοῦ δύναμιν, εἶδες πῶς, κἂν πολλὰ ἰῶ τὰ κωλύματα, οὐδὲν ὅτι ὁ δρασκόπιον αὐτοῦ ὁ βούλημα. ὃ αὐτὸ καὶ ὅτι τῆς πίστεώς ὅτιν ἰδεῖν γινόμενον. τοιούτων γὰρ ὄντων τῶν πολεμούντων, τοσούτων ὄντων τῶν ὑπεναντίων, καὶ βασιλέων καὶ τυράννων καὶ δήμων κατεξανισταμένων, καὶ πάντα τοιούτων ὡῶτε σβέσαι τὸν σπινθῆρα τῆς πίστεως, διὰ αὐτῶν τῶν ὑπεναντίων, δρασκὴ τὴν κωλύειν βουλομένων τοσαύτην ἠρανθη τῆς εὐσεβείας ἡ φλόξ, ὡς ἅπασαν καταλαβεῖν τὴν οἰκουμένην, καὶ τὴν ἀοίκητον. κἂν πρὸς Ινδοὺς γὰρ ἀπέλθῃς, κἂν πρὸς Σκύθας, κἂν πρὸς αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, κἂν εἰς αὐτὸν τὸν ὠκεανόν, πάντα χορὸν θρήνους τὸν Χριστοῦ τὴν διδασκαλίαν καταμαγάζουσαν τὰς ἀπάντων ψυχάς. ὃ γὰρ θαυμαστὸν καὶ παράδοξον, ὅτι καὶ αὐτὰ τὰ βάρβαρα ἔθνη μετερρύθμισεν ὁ τῆς εὐσεβείας λόγος, καὶ φιλοσοφεῖν ἔμαθον, καὶ τῆς παλαιᾶς σωτηρίας ἀποσάντες πρὸς τὴν εὐσέβειαν μετεπέξαντο. καὶ καθάπερ δρακὼν τῶν τειχῶν τούτων ὁ τῶν ἀνθρώπων πλῆθος ὑπεδοῦσα παρεσκεύασεν ὁ τῶν ὅλων δημιουργός· ⓦ αὐτὸν δὴ τρόπον καὶ ὅτι τῆς πίστεως δρακὼν τῶν ἔνδεκα, * τῶν ἁλιέων, τῶν ἀγραμμάτων, τῶν ἰδιωτῶν, τῶν μηδὲ δρᾶσθαι τὸ σῶμα τολμώντων, ἅπασαν ἐπεπλήρωσε τὴν οἰκουμένην. καὶ ⓐ ἀγράμματοι ὄντες, καὶ ⓐ ἰδιῶται, καὶ ⓐ ἁλιεῖς τῶν φιλοσόφων ἀπέφηναν τὰ σόφωτερα, καὶ καθάπερ κατόπτευσε, ὅτω τὴν οἰκουμένην ἅπασαν διέδραμον καταπαισάντες τὸν τῆς εὐσεβείας λόγον, καὶ τὰς αἱρέσεις σκεδάσαντες, καὶ τὰ παλαιὰ ἀνασωσάντες ἔθη, καὶ σὺν τῷ Χριστοῦ νόμους πάντα χορὸν καταφυτεύοντες. καὶ ὅτε ὁ ὀλίγους αὐτοὺς ἦν, ὅτε ἡ ἰδιωτεία, ὅτε ὁ αὐχμηρὸν τῶν ὑπαγμάτων, ὅτε ὁ παλαιᾶ σωτηρία πρόσκαιρον ἐπιλῆφθαι ἅπαν ὁ τῶν ἀνθρώπων γένος, ἴσχυσε κώλυμα αὐτοῖς γενέσθαι· ἀλλὰ ταῦτα πάντα ἐπῆρεν πρὸ ὁδοποιοῦσα ἡ χάρις, καὶ μετ' εὐκολίας ἅπαντα εἰργάζοντο, δι' αὐτῶν τῶν κωλυμάτων μείζονα διεγείρουσι τὴν πρόθυμίαν. καὶ γὰρ ποτε μᾶλλον ἐζήλουν ἀνεχώρουν καὶ ἐφοντες, ὅ δρᾶν τὰς μάστιγας ἁπλῶς, ἀλλ' ὅτι ἕνεκεν τοῦ ὀνόματος ὅ Χριστοῦ κατηξιώθησαν ἀπὶ μαθητῶν· ἄλλοτε δ' εἰς δεσμωτήριον ἐμβληθέντες, ὅπου ἐπὶ ἀγγέλων ὄζηνέχθησαν, πάλιν τῶν αὐτῶν εἶχοντο, καὶ εἰς τὸ ἱερὸν ἀφικνούμενοι τὸν τῆς διδασκαλίας λόγον κατέβαλλον, σαγήνην ὄντες τὰ πλήθη εἰς τὴν εὐσέβειαν. καὶ πάλιν κατεχόμενοι, ὅ μόνον οὐδὲ ἐπαύοντο διηνεκῶς ἐγίνοντο, ἀλλὰ καὶ πλείονα τὴν παῤῥησίαν ἐπεδείκνυντο· ἐν μέσῳ μαινομένῳ δήμῳ καὶ σὺν ὀδόντας τείνοντος ἑστῶτες

ΗΘΙΚΟΝ

Πρξ. ε. μα.

ἐχώντες καὶ λέγοντες, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. Εἶδες παῤῥησίας μέτοχος, εἶδες σοφὸν ἰδιώτας, εἶδε ἀλιεῖς ἐπαφορωμένας τοσούτων δημάρχων μαινομένων, καὶ πρὸς φόνους καὶ σφαγὰς ἑτοίμων. ἀλλὰ σὺ τούτων ἀκούων, ἀγαπητέ, μὴ τούτοις λογίζου τὰ γινόμενα, ἀλλὰ τῇ ἀϊδιότητι χάριτι τῇ νυνεργούσῃ καὶ ἀλειφούσῃ αὐτοὺς τὸν πρόθυμίαν. ἐπεὶ καὶ αὐτὸς ἦν ὁ μακάριος Πέτρος, ἰδοὺ καὶ τὸν χιλίας μυριάδας χαλεπώτερον ὄφεως ἀπεκάτεσησε, πάντων ἐκπληττομένων καὶ θαυμαζόντων αὐτόν, ὅτι δεικνύμενος τὴν ἰσχὺν διὰ γλώσσης φησὶν· Ἄνδρες, τί ἀτενίζετε ἡμῖν, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; τίνος ἕνεκεν, φησὶν, οὕτω κατεπλάγητε καὶ ἐκπεπληγμένοι ἐστὲ ὅτι τῷ γεγένηται; μὴ γὰρ ἡμεῖς ἐσμεν οἱ τοῦτο ἐργασάμενοι, ἢ ἰδίᾳ δυνάμει πρὸς ὑγίειαν αὐτὸν ἐπιμαγαγόντες, καὶ βαδίζειν ποιήσαντες; τί ἡμῖν ἀτενίζετε; οὐδὲν πλέον ἡμεῖς ἐσμὲν ἢ σύ. ἢ ὅτι τὸν γλῶτταν ἐδωκέσαμεν. ὁ δὲ τὸ πᾶν ἐργασάμενος, ὁ δεσπότης ὅστις καὶ δημιουργὸς τῆς φύσεως. ἐκεῖνος ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὃς πατέρας ὑπερεφάνδε, ἐκεῖνος ὃν ὑμεῖς παρεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκεῖνα ἀπολύειν, ἐκεῖνός ἐστιν ὁ τοῦτο ἐργασάμενος· οἱ ὑμεῖς, τὸν ἅγιον καὶ δίκαιον, ἠρνήσασθε, καὶ ἠτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς κατεκρίνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν, καὶ ὅτι τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ἀπέναντι πάντων ὑμῶν. πολλὴ τῆς παῤῥησίας ἡ ἐπιβολή· μεγάλη καὶ ἄφατος τῆς ἀνωθεν αὐλῆς πρὸς χάριτος ἡ δυνάμις· σαφεστάτη τῆς ἀναστάσεως ἡ ἀπόδειξις, ἡ τοῦ μακαρίου τούτου παῤῥησία. γέγονε δὲ. τί γὰρ ἂν τούτου μεῖζον σημεῖον ὀφείλησεν εἶναι δεῖξαι τις λαβών, ὅταν ὁ πρὸς τοῦ ταμείου καὶ κόρης ἀτιμοτέρας ἀπειλῶν μὴ λαλεῖν" ἐνεχείρει, νῦν ὅτε κατεξανίστατο τὸν τῶν Ἰουδαίων δῆμον, καὶ τοσαύτη παῤῥησία, καὶ πρὸς τοσοῦτον πλῆθος μόνος ὢν ὅτε ἀτάκτως μεμιγμένος ἐπαποδύεται, καὶ τοιαῦτα φθέγγεται, ἃ τὸν μυρίων αὐτῶν ὅτι πλείονα διετίρειν δυνάμεις; εἶδες, ἀγαπητέ, πῶς, ὅπερ ἐν προοιμίοις ἔλεγον, τοῦτο καὶ νῦν δείκνυται. ἐπειδὴ πίστις πυρωθεῖσα τῷ πρὸς τὸν θεὸν πόθῳ, οὐκέτι λοιπὸν ὁρᾷ ἀνέχεται τὰ τοῖς ὀφθαλμοῖς τούτοις τοῖς σωματικοῖς ἐπιπίπτοντα, ἀλλ' ἑτέροις ὀφθαλμοῖς κτησάμενος, τοῦ τῆς πίστεως λέγω, ἕκαστα ἰδὼν πάντος φαντάζεται, καὶ πρὸς ἕκαστα τὸν διάνοιαν ἔχει τεταμένην, καὶ ἐν γῇ βαδίζων ὡς ἐν οὐρανοῖς τὸ πολίτευμα ἔχων, οὕτω πάντα διακρατεῖται, ὡς ὁ τοιοῦτος τῶν ἀνθρωπίνων ἐμποδιζόμενος πρὸς τὸ κατ' ἀρετὴν δρόμον. ὁ γὰρ τοιοῦτος καὶ τὰ λαμπρὰ τοῦ βίου λοιπὸν ὁρᾷ, καὶ τὰ δυσχερῆ καὶ ἐνοχλητικά, ἀλλὰ πάντα παρατρέχει, πρὸς τὸν ἑαυτοῦ παιδεία ἐπειγόμενος. καὶ καθάπερ ὁ μὴ πολλοῦ τοῦ τόνου (ω) σωματικὸν τοῦτον δρόμον τρέχων οὐδένα τῶν ἀπαντώντων ὁρᾷ, καὶ μυριάκις αὐτῷ" προσπαίσῃ, ἀλλὰ πρὸς (ω) δρόμον ἔχων τεταμένον αὐτοῦ (ω) λογισμὸν εὐκόλως ἅπαντα παραδραμὼν ἐπείγεται πρὸς (ω) προκείμενον αὐτῷ σκοπόν· (ω) αὐτὸν δὴ τρόπον καὶ ὁ (ω) κατ' ἀρετὴν δρόμον τρέχειν σπουδάζων, καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ἀνελθεῖν ἐπιθυμῶν, πάντα τὰ ὁρώμενα κάτω ἀφίησι, καὶ ὅλως τοῦ δρόμου γίνεται, καὶ οὐ πρότερον ἵσταται οὐδὲ κατέχεται ὑπό τινος τῶν ὁρωμένων, μέχρις ἂν εἰς αὐτὸν ἀνελθὼν δυνηθῇ τοῦ κορυφαίου. τῷ γὰρ ὄντι ἀληθείᾳ καὶ τὰ δοκοῦντα εἶναι φοβερὰ τῷ (ω) παρόντα βίου, διακαταφρόντα γίνεται, καὶ ὁ τοιοῦτος οὔτε ξίφος δέδοικεν, οὔτε κρημνόν, οὔτε θηρίων ὀδόντας, οὐ βασάνους, οὐ δημίων χεῖρας, οὐκ ἄλλο τι τῶν τοῦ βίου λυπηρῶν· ἀλλὰ καὶ ἀνθρακιὰν ἤδη ὑπεστρωμένην, ὡς λειμῶνας ὁρῶν καὶ ῥᾳδιούργους, οὕτως ὑπεπηδᾷ· καὶ ἕτερόν τι τῶν κολαστηρίων εἶδος ἐπαγόμενον θεάσηται, οὐ

παρκᾷ

ναρχᾶ τοῖς τιμῶσιν, οὐδὲ ὑπισχνεῖται. ὁ γὰρ τῶν μισθοτῶν τρόπος μετέσησεν αὐτὸν τὸν δίκαιον, ἡ ὡς ἁπλῶς ἡ εἰκὼν τὸ σῶμα παρεικάζομεν, ὅτως ἀνώτερος γίνεται τῶν παθῶν, ἡ τῇ ἀνωθεν χάριτι φερομένος οὐδὲ αἰσθησιν λαμβάνει τῶν ἀλγηδόνων τῶν σωματικῶν. διὸ παρακαλῶ, ἵν' εὐκόλως σὺν τῷ τιμῶν τὸν ἀρετὸν πόνος ἐνεγκῇ, διωκθῶμεν, πολιῶν τοῖς τοῖς θεοῖς δεικνύντες πόθον, ἡ ἐκ τοῦ τὸν δίκαιον ἡμῶν τεινόμενοι ὑπὸ μηδενὸς τῶν ἐν τῷ παρόντι βίῳ τοῖς ἐκ δρόμον ὑποσκελίζωμεθα, ἀλλὰ τῶν μισθοτῶν ἀγαθῶν τὸν διηνεκῆ ἀπόλαυσιν λογιζόμενοι, πάντα τὰ ἀλγεινὰ τοῦ παρόντος βίου ῥᾳδίως φέρωμεν, ἡ μήτε ἀδοξία ἡμᾶς λυπείτω, μήτε πενία πιέζέτω, μήτε νόσος σώματος τῆς ψυχῆς ὃ φέρτερον ἐργάσηται, μήτε ὃ καταφρονεῖσθαι παρὰ τῶν πολλῶν ἡ ἐξελαύνεσθαι ὑπὸ τῶν ἐρετῶν κατόρθωσιν ἀπεργάζεσθω· ἀλλὰ πάντα ταῦτα, ὥσπερ κόνιν, ἀποπτύσαντες, ἡ γνησίον καὶ ὑψηλὸν φέρτερον ἀναλαβόντες, ὅτω τοῖς ἅπασι πολλοῦ τοῦ ἀνδρείου ὑπιδειξώμεθα, ἡ καθάπερ ἐκ πτερύγεσσα τοῦ ὑμετέρου ἀγάπου, ταῖς τοῖς σὺν ἐχθρὸς καταλλαγαῖς μὴ πολλῆς τῆς ἀσωδίας ποιησώμεθα, ἡ τὰ λοιπὰ τῆς ψυχῆς πάθη ἐξορίσωμεν τῆς ὑμετέρας. κἂν ὑπιθυμία ἄτοπος ἐνοχλῇ, ταύτην φυγαδεύωμεν· κἂν θυμὸς τοῖς ὀργοῦ διεγείρῃ, καταστέλλωμεν τοῦ φλεγμονὴν τῇ ὠδῇ τῶν πνευματικῶν ᾠδαιτέων, δεικνύντες τὸ πάθος" ὅλεθρον. Ἀνὴρ γὰρ, φησι, θυμώδης, οὐκ εὐχήμων. ἡ πάλιν, Ὁ ὀργίζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται εἰς τοῦ γέενναν τοῦ πυρός. κἂν ἐνθυμάτων ὑπιθυμία παρέλθῃ, λογισμοὶ, φύτειν αὐτὸν δαίζωμεν τοῦ ὀλεθρίαν ταύτην λύμην, ἡ καθάπερ ῥίζαν τῶν κακῶν ἀπάντων ἐκτιμώμεθα. ἡ ἔκαστον ἢ τῶν ἐνοχλούντων ἡμῖν καθαρῶς διῃρθρωμένον ἀσωδάζωμεν, ἵνα ἡ τῶν βλαβερῶν ἀπεχόμενοι, ἡ ταῖς ἀγαθαῖς παρέξεις μεταδιώκοντες, διωκθῶμεν ἡ τοῦ ἡμέραν ἐκείνην τοῦ φοβερὰν τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι ἡ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν ἡ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λόγ. κθ. ΚΑΙ ΗΡΞΑΤΟ ΝΩΕ ΑΝΘΡΩΠΟΣ ΓΕΩΡΓΟΣ γῆς. καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

ΠΡὸς τὸ τέλος λοιπὸν ἐφθάσαμεν τῆς ἡμῶν διηγήσεως· διὸ παρακαλῶ, σωτείνατέ μοι τὸν δίκαιον, ἡ μετὰ ἀκριβείας τοῦ προσέχετε τοῖς λεγομένοις. οὐδὲ γὰρ μικρὰ, οὐδὲ τὰ τυχόντα ὑπὲρ καρπώσασθαι ἡ ἐκ τῶν σήμερον ἀναγνωσμένων. τὰ γὰρ τοῖς * παλαιοῖς συμβεβηκότα, εἰ βουλοίμεθα" νοῆσαι, μεγίστης ἡμῖν διδασκαλίας ὑποθήκας" γέγονεν. δεῖ γὰρ τοῦτο ὑμᾶς μόνον τὰ κατορθώματα τῶν ἁγίων γράφεσθαι, ἀλλὰ καὶ τὰ ἁμαρτήματα, ἵνα τὰ μὲν φεύγωμεν, τὰ δὲ ζηλώσωμεν· καὶ ὑ τοῦτο * μόνον, ἀλλὰ δείκνυσι καὶ ἡ θεία γραφὴ καὶ διηγήσεις πολλαχοῦ σφαλέντας, ἡ ἁμαρτωλοὺς πολλοῦ μεταβολοῦ ὑπιδειξαμένους, ἵνα ἑκατέρωθεν δεχόμενοι δεξώμεθα τὸ ἀσφαλὲς, καὶ μήτε ὁ ἑστὼς παῤῥησίᾳ ὁρῶν ἡ διηγήσεις καταπεσόντας, μήτε ὁ ἐν ἁμαρτήμασιν ὢν ἀπαγορεύῃ, ἰδὼν * πολλοὺς ἀνενεγκόντας καὶ τοῖς αὐτοῦ τὸ ἄκρον κορυφοῦ φθάσαντας διωκθέντας. μηδεὶς τοίνυν, παρακαλῶ, καθ' ὁλοκληρίαν ἑαυτὸν σωτετηκὼς ᾖ, παῤῥείτω, ἀλλ' ἀναγώνιος ἔστω, καὶ ἀκουέτω τοῦ μακαρίου Παύλου λέγοντος ἡ παραινοῦντος, Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ

α. Κορ. ι. ιβ.

μὴ πέσῃ· μήτε ὁ τοιοῦτος αὐτὸν Ⓦ πυθμὴν τῆς κακίας κατελθὼν ἀπελπιζέτω ἑαυτὸν τῷ σωτηρίῳ, ἀλλ' ἐποδὼν τοῦ θεοῦ τὸ ἄφατον φιλανθρωπίαν ἀναγέτω πάλιν τοῦτον
Ιερ. κ. δ. τὸν δρόμον τοῦ τοιούτου λέγοντος· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπι-
ψαλ. κ. κγ. στρέφει; καὶ πάλιν, Οὐ βούλομαι Ⓦ θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Εἶδες, ἀγαπητέ, πῶς ἕκαστον τῶν ἐν τῇ θείᾳ γραφῇ ἐγκεχαραγμένων δι' οὐδὲν ἕτερον μηνύεται παραδέδοται, ἀλλ' ἢ δι' ὠφέλειαν τὴν ἡμετέραν καὶ τὴν σωτηρίαν τῶν ἀνθρώπων ψυχῶν. Ταῦτα δὴ λογιζόμενοι ἕκαστος ἡμῶν τὰ καταλληλα φαρμακα ἐντεῦθεν ἑαυτῷ ἐπιτιθέτω. δεῖ γὰρ τοῦτο πᾶσιν ἐπ' ἀδείας τοῦ σχεῖν, καὶ ἔξεστι τοῦ βουλομένῳ ὃ ἁρμόδιον τῷ ἐνοχλουμένῳ πάθει φαρμακον ἐπιτιθέναι, καὶ ταχέως τὴν ὑγίειαν δέξασθαι, μόνον ἐὰν μὴ ἀποστῶσι τῆς ἰατρείας θεραπείαν, ἀλλὰ τὴν οἰκείαν ἐπιδείξωνται. οὐδὲν γὰρ ὄφελος τῶν τὴν ἀνθρωπίνην φύσιν σωματικὸν ὄντων ἔτε ψυχικὸν ἔτε σωματικὸν πάθος, ὃ μὴ τὴν ἐντεῦθεν ἰατρείαν δέξασθαι δύναται. Τί γάρ, εἰπέ μοι; εἰσέρχεταί τις ἐντεῦθεν λύπη καὶ τοιαῦτα τοῦ εἰσάγει πιέζόμενος, καὶ δεῖ" τοῦτο καταχώννυται τῇ ἀθυμίᾳ; εἰστελθὼν καὶ βιαίως ἀναύσας χ. τόπον
ψαλ. μα. ζ. τὸν τοιοῦτον λέγοντος· Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσεις με; ἔλπισον ὅτι Ⓦ θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ θεός μου· ἱκανὴν λαβὼν παραμυθίαν ἀπεισι, πᾶσαν ἐκείνην τὴν ἀθυμίαν ἀποσεισάμενος. ἕτερος πάλιν πενίᾳ πιεζόμενος ἐκάτῃ δυσφορεῖται καὶ ἀλύει ὁρῶν ἑτέρους πλούτῳ περιῤῥεομένους, ἐν" μέγα φυσῶντας, καὶ πολλὴν τὴν φαντασίαν προβεβλημένους. ἀκούει χ. μεράκι
ψαλ. ιδ. κα. καὶ οὗτος πάλιν τοῦ αὐτοῦ προφήτου λέγοντος· Ἐπίῤῥιψον ἐπὶ κύριον τὴν μέριμνάν σου,
ψαλ. μη. ιζ. καὶ αὐτός σε διαθρέψει. καὶ πάλιν, Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. ἕτερος πάλιν ἐπιβουλὰς καὶ συκοφαντίας ὑπομένων δυσφορεῖται καὶ ἀβίωτον ἡγεῖται τὸν βίον, ἀδαμόθεν ἄνθρωπίνην βοήθειαν εὑρεῖν δυνάμενος. διδάσκεται οὖν καὶ οὗτος μαχαιρίδιον τοῦτον προφήτου ἐν ταῖς τοιαύταις προσβολαῖς μὴ ἐπ' ἄνθρωπον συμ-
ψαλ. ρη. γ. μαχίδιον καταφεύγειν. ἀκούει γὰρ αὐτοῦ λέγοντος, Αὐτοὶ ἐνεδρεύσαντό μου, ἐγὼ δὲ προσηυχόμην. Εἶδες ὅπου τὴν συμμαχίδα ἐπιζητεῖ. ἕτερος, φησι, δόλους ῥαπίσει καὶ συκοφαντίας καὶ ἐπιβουλάς· ἐγὼ δὲ ὅτι τὸ τεῖχος τὸ ἀκαταμάχητον καταφεύγω, ὅτι τὴν ἀγκυραν τὴν ἀσφαλῆ, ὅτι Ⓦ λιμένα τὸν ἀκύμαντον, ὅτι τὴν θύραν, δι' ἧς πάντα μοι τὰ δυσχερῆ, κοῦφα καὶ ῥάδια γίνεται. ἕτερος πάλιν ὑπὸ τῶν προστεθέντων θεραπευ-
όντων καταφρονεῖται καὶ προπηλακᾶται, καὶ ὑπὸ τῶν φίλων καταλιμπάνεται, καὶ τοῦτο αὐτοῦ μάλιστα συγχεῖ καὶ ταράσσει Ⓦ λογισμόν. ἀλλὰ καὶ οὗτος, εἰ βουληθείη, ἐντεῦθεν πα-
ψαλ. λζ. ια. ρηγορήσας ἀκούσει τοῦ μακαρίου τούτου λέγοντος· Οἱ φίλοι μου καὶ Ⓠ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ Ⓠ ἐγγύς μου ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἐβιάζοντο Ⓠ ζητοῦντες τὴν ψυχήν μου, καὶ Ⓠ ζητοῦντες τὰ κακά μου ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Εἶδες μέχρις αὐτοῦ τοῦ θανάτου τὰς ἐπιβουλὰς ῥάπτοντας, καὶ διήνεκῆ Ⓦ πόλεμον ἐπιδιαιωμένους. ὃ γὰρ, ὅλην τὴν ἡμέραν, τοῦτο δηλοῖ, ὅτι διὰ πάσης τῆς ζωῆς. Τί οὖν αὐτὸς ἐκείνων ταῦτα ἐπιβουλευόντων καὶ κατασκευαζόντων ἔπραττεν; ἐγὼ δέ, φησιν, ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ ἐγινόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Εἶδες φιλοσοφίας ὑπερβολήν, πῶς διὰ τῶν ἐναντίων ὁδῶν οὗτος προεχώρησε. ἐκεῖνοι δόλους ἔῤῥαπτον, αὐτὸς καὶ ταῖς ἀκοαῖς ἔφραττεν ὡς μηδὲ ἀκούειν· ἐκεῖνοι πάντα Ⓦ χρόνον οὐκ ἐπαύοντο καὶ τὴν γλῶτταν ἀκονοῦντες, καὶ ματαιότητας

καὶ

καὶ δολιότητας φθεγξόμθοι· ὅτος ἡ τῆ σιγῆ τὼ μανίαν ἐκείνων κατέτελλε. καὶ ἵνος ἔνεκεν ὅτως ἐκ τὸν διετῆ καὶ τοι ἐκείνων ταῦτα κατασκευαζόντων, καὶ ὡσεὶ κωφὸς καὶ ἄλαλος καὶ μὴ τε ἀκοὰς ἔχων μήτε γλῶτθαν ὅτω διέκειτο; ἄκουε αὐτὸ λέγοντος τὼ αἰτίαν τ' τοσαύτης φιλοσοφίας· Ὅτι ὅπι σοὶ ἥλπισα κύριε. ὅπῳ ἐμαυτὸν ἐξήρτησά, Ψαλ. λζ. ιζ.
5 φησι, τῆς ἐὶς σὲ ἐλπίδος, οὐδείς μοι λόγος τῶ παθεῖν τὰ τῶν γινομένων. ἡ γὰ σὴ ῥοπὴ ἰσχὺ πάντα διασκεδάσαι, καὶ ἀκύρους αὐτῶ ποιῆσαι καὶ τὰς ὀπισθολαβὰς καὶ τὰς μηχανάς, καὶ μηδὲν ἀφεῖναι τῶ ἐπ' αὐτῶν κατασκευαζομένων ἐὶς ἔργον ἐλθεῖν. ἴδετε πῶς δυνατὸν ἑκάστης συμφορᾶς τῆς σωνεχούσης τὼ ἀνθρωπίνω φύσιν καταλλήλων ἐντοῦθεν φάρμακον λαβόντα ἀπελθεῖν, καὶ πᾶσαν ἀπόπαυσαν ἀθυμίαν βιωτικὼ, καὶ ἐπὶ τοῦ
10 μηδενὸς συγκλείεσθαι τ' συμπιπτόντων. διὰ τῦτο παρακαλῶ ἐ σωνεχῶς ἐντοῦθα βαδίζειν, καὶ μ' ἀκριβείας προσέχειν τῆ τῶν θείων γραφῶν ἀναγνώσει, μὴ μόνον ἐπειδὰν ἐντοῦθα παραγίνεσθε, ἀλλὰ καὶ οἴκαδε μετὰ χεῖρας λαμβάνειν τὰ θεῖα βιβλία, ἐ μετ' ἐπιμελείας δέχεσθαι τῶν ἐγχειριζομένων τὼ ὠφέλειαν. πολὺ γὰ ὸ ἐντοῦθεν πτίλόμενον κέρδος· προῆται" αὐτὸ τῦτο, τὼ γλῶτθαν ἀναπλάττεσθαι ποιεῖ διὰ τῆς ἀναγνώ-
15 σεως. ἔπειτα, καὶ ἡ ψυχὴ πλέον ὗται καὶ μετάρσιος γίνεται, τῶ φωτὶ τῦ τῆς δικαιοσύνης ἡλίῳ καταυγαζομένη, κατ' αὐτὸν ἐκεῖνον ⓦ καιρὸν τῆς τῶ πονηρῶν λογισμῶ λύμης ἀπαλλαττομένη, καὶ γαλιλαίας ἀπολαύσασα πολλῆς καὶ ἡσυχίας. καὶ ὅταν ἡ σωματικὴ θεραπὴ προῆς τὼ σύσασιν τῆς ἡμετέρας ἰσχύος, τῦτο ἡ ἀνάγνωσις τῇ ψυχῇ γίνεται. θεραπὴ γὰ ὅτι πνευματικὴ, καὶ νεύσει ⓦ λογισμὸν, καὶ ἰσχύσει ἐργάζε) τὼ ψυχικὼ καὶ
20 αὐτοκρατέσι καὶ φιλοσοφωτέσι, οὐκ ἀφεῖσα λοιπὸν ἀλίσκεσθαι τοῖς ἀλόγοις πάθεσιν, ἀλλὰ καὶ κοῦφον αὐτῇ ὸ πλέον ἐργαζομένη, καὶ προὸς αὐτὸν, ὡς εἰπεῖν, ⓦ ὑψαυτὸν μεθιστῶσα. μὴ τοίνυν ἀμελῶμεν, παρακαλῶ, τῦ τοσῦτο κέρδους, ἀλλὰ καὶ ὑπὲ οἰκίας ποιώμεθα" τῇ ἀναγνώσει τῶν θείων προσέχειν γραφῶν, ἐ ἐντοῦθα παραγινόμενοι μὴ εἰς φλυαρίας καὶ ἀνοήτους ὁμιλίας ⓦ καιρὸν καταδαπανῶμεν, ἀλλὰ δι' ὧν παρ-
25 εσκευάσμεθα, ὕτω σωτείνωμεν ἑαυτοῦ, καὶ προσέχωμεν τοῖς ἀναγινωσκομένοις, ἵνα καρπωσάμενοί τι πλέον ὕτως ἐντεῦθεν ἐξέλθητε. εἰ δὲ μέλλοιτε εἰσελθόντες ἐντοῦθα πάλιν εἰς ὁμιλίας ἀκαίρους καὶ ἀνωφελεῖς τὸν καιρὸν" καταναλίσκειν, ἐ μηδὲν πλέον εἰς ὠφέλειαν λόγων δεξάμενοι ἐπανιέναι, τί τὸ ὄφελος; πῶς γὰ οὐκ ἄτοπον, εἰς μὲν παίγνια βιωτικὰ ἀπιόντας ἀσυδάζειν πάντα τὰ ἐκ τ πνευματικῆς λαβόντας
30 ἐπανελθεῖν οἴκαδε, καὶ ταῦτα χρήματα κατακτήσαντας· ἐντοῦθα δὲ εἰς τὼ πνεύματικὼ ἐρχομένους, μὴ πᾶσαν ποιεῖσθαι ἀσυδὼ λαβόντας τι τῶν χρησίμων, καὶ εἰς τὼ ψυχικὼ ἀναπολομένους ὕτως ἐπανιέναι, καὶ μάλιστα ὅτε οὐδὲ χρημάτων δαπάνῃ ἐργάσασθαι δεῖ, ἀλλὰ προθυμίᾳ μόνον εἰσενεγκεῖν, καὶ γνώμην σωτεταμένην; ἵνα οὖν μὴ χείρες γυμνώμεθα τῶν ταῖς βιωτικαῖς πρυμνήσιν ἐμ-
35 βαλλόντων, ἀσυδάζωμεν πολλὼ ὅπιδείκνυσθαι τὼ Φερεκύδη καὶ τὼ ἀγχισίνην, ἵν' ἔχωμεν ἐντοῦθεν ἐξελθόντες ἐφόδια, ὥστε μὴ μόνον ἑαυτοῖς ἀρκεῖν, ἀλλὰ καὶ ἑτέροις ὑπηρετεῖν, καὶ δυνάσθαι ἐ τ γυναῖκα διορθοῦν, καὶ τοὺς οἰκέτας καὶ τοὺς γείτονας καὶ ⓦ φίλον καὶ ⓦ ἐχθρὸν αὐτόν. τοιαῦτα γὰ τὰ πνευματικὰ διδάγματα, ὡς κοινὰ πᾶσι προσήκοντα, καὶ μηδεμίαν εἶναι ἐν αὐτοῖς διαφοράν, πλὼ εἰ μή πού τις γνώμην
40 σωτεταμένην εἰσενέγκας καὶ προθυμίαν ζέσασαν ἐπεφοίτησε ⓦ πλησίον. ἐπεὶ οὖν καὶ τῶν ἐντοῦθα διδαγμάτων τοσοῦτον ὸ κέρδος, φέρε, σήμερον τὰ ἀναγνωσθέντα εἰς μέσον προθῶμεν, καὶ ὸ ἐξ αὐτῶν κέρδος καρπωσάμενοι, ὕτως οἴκαδε ἐπανέλθωμεν.

Καὶ

20 Καὶ ἤρξατό, φησι, Νῶε ἀνὴρ ἄθεος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα,
21 Καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Σκόπει πόσης ἡμῖν ὠφελείας ἡ ὑπόθεσις γίνεται αὐτὸ τῆς ἀναγνώσεως τὸ προοίμιον. ὅταν γὰρ ἀκούσωμεν, ὅτι ὁ δίκαιος, ὁ τέλειος, ὁ τὴν ἄνωθεν μαρτυρίαν δοξάμενος ἔπιε καὶ ἐμεθύσθη, πῶς ἡμεῖς λοιπὸν οἱ τοσούτοις καὶ ἑτέροις ἀμαρτήμασι καταβεβαπισμένοι καὶ μυρίοις πολλοῦ τοῦ τόνου" ἀσυδάσομεν φυτεῖν τὴν ἐκ τῆς μέθης λύμην; καὶ τοίνυν ὅτι ὁμοιόν ἐστι τὸ "τὸν δίκαιον" τοῦτον ἀλῶναι τῷ πάθει, καὶ ἡμᾶς τῷ αὐτῷ παρεισπεσεῖν. πολλὰ γάρ ἐστι, ἃ Ⓦ δίκαιον τοῦτον ζυγινώμης ἄξιον ἀποφαίνει. καὶ ταῦτα λέγω οὐ Ⓦ ἵνα τῆς μέθης λύσῃν ποιήσωμαι, ἀλλὰ δείκνυμι ὅτι οὐκ ἐξ ἀκρασίας ὁ δίκαιος ἐμεθύσκελίσθη, ἀλλ' ἐκ τοῦ ἀγνοίας μᾶλλον. καὶ ὅτι οὐκ ἁπλῶς οὕτε τὴν" ὀνοποσίαν, ἄκουε αὐτῆς τῆς γραφῆς λεγούσης καὶ τὴν ἀπολογίαν ποιωμένης, δι' ὧν φθέγγεται· καὶ ἤρξατό, φησι, Νῶε ἀνὴρ ἄθεος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη. αὐτὸ τοῦτο τὸ εἰπεῖν, ἤρξατο, δείκνυσιν ὅτι αὐτὸς τὴν ἀρχὴν οὕτε τῆς ὀνοποσίας, καὶ ἀρχὴ πολλὴν ἀγνοίαν καὶ ἀρχὴ τὸ μὴ εἰδέναι τῆς μεταλήψεως τὰ μέτρα εἰς τὴν μέθην ἐξεκυλίσθη. καὶ οὐ τοῦτο μόνον ἐστίν, * ἀλλ' ὅτι καὶ ἀθυμία πολλὴ κατεχόμενος ἐβυθίσθη

Παρσι. λα. ἐν τῇ ἀνθρώπου ψυχῇ ἐναμφίαν ἑαυτὸν ὑπενόησας, καθάπερ καί τις φησι σοφός· Δότε οἶνον τοῖς ἐν λύπαις, καὶ μέθην τοῖς ἐν ὀδύναις, δείκνυσιν ὅτι οὐδὲν οὕτως ἀθυμίας φάρμακον ἡδέως δυνάμενον, ὡς ἡ τότε χρῆσις· μόνον εἰ μή που ἡ ἀμετρία λυμαίνηται τὴν ὠφέλειαν. ὅτι γὰρ ἐν λύπῃ ἦν καὶ ἀθυμίᾳ ὁ δίκαιος δῆλον, ὁρῶν ἑαυτὸν ἐν ἐρημίᾳ τοσαύτῃ, καὶ περὶ τῶν ὀφθαλμῶν σκεπτόμενα τὰ σώματα τῶν ἀνθρώπων ἐρρυμμένα, καὶ μετὰ τῶν κτηνῶν καὶ τῶν ἀλόγων, καὶ πάφον κοινὸν ἅπασι γεγυμνωμένον, τίς ἀντερεῖ; ἔθος γὰρ * τοῖς προφήταις καὶ τοῖς δικαίοις ἅπασι μὴ μόνον ὑπὲρ τῶν καθ' ἑαυτοὺς ἀλγεῖν, ἀλλὰ καὶ ὑπὲρ τῶν λοιπῶν ἀνθρώπων. καὶ εἴ τις ἐξαριθμήσασθαι βούλοιτο, εὑρήσει πολλὰς ταύτην τὴν συμπάθειαν ἐπιδεικνυμένους, καὶ ἀκούσει τοῦ μὲν Ἡσαΐου λέγοντος· Μὴ καταμύσητε τοῖς ὀφθαλμοῖς καλεῖν με ἐπὶ τὸ σωτήριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου· τοῦ δὲ Ἱερεμίου, Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ ταῖς" ὀφθαλμοῖς μου πηγὴν δακρύων; τοῦ δὲ Ἰεζεκιήλ, Οἴμοι κύριε, ἐξολεθρεύεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; καὶ τοῦ Δαυὶδ θρηνοῦντος καὶ λέγοντος, ὅτι Ὀλιγωσεις ἡμᾶς ἐποίησας πρὸ πάντα τὰ ἔθνη· καὶ τοῦ Ἀμῶς, Μετανόησον, κύριε, ὑπὲρ τούτου· καὶ τοῦ Ἀβδιακούμ, Ἵνα τί ἔδειξάς μοι κόπους καὶ μόχθους; καὶ πάλιν, Καὶ ποιήσεις σὺ δι' ἀθέσμους ὡς σὺ ἐχθύας τῆς θαλάσσης; καὶ τοῦ μακαρίου [ αὐτοῦ ] τούτου Μωϋσέως ἀκούσει λέγοντος, Εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες" Εἰ δὲ μή, καὶ ἐμὲ ἐξάλειψον· καὶ πάλιν ἐπαγγελλομένου τοῦ θεοῦ μείζονος ἔθνους ποιήσειν αὐτὸν ἐγχειρήσαντος, καὶ εἰπόντος, Ἄφες με, καὶ ἐξολεθρεύσω αὐτοὺς δι' ἀθέσμους τούτους, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, οὐδὲ τοῦτο ἐλέσθαι, ἀλλὰ τὴν παρρησίαν αὐτῶν παραμυθήσασθαι καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ μακάριος Παῦλος, ἔλεγεν· Ἠυχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα. ἴδετε πῶς ἕκαστος τῶν δικαίων πολλὴν τὴν συμπάθειαν παρεδείκνυτο. ἐννοεῖτε λοιπὸν καὶ κατὰ τούτου Ⓦ δικαίου, πόσα εἰκὸς ἦν πάσχειν, καὶ πῶς ἀπὸ τῆς ἀθυμίας κατεργάζεσθαι, ὁρῶντα καὶ τῆς τοσαύτης ἐρημίας τὴν ὑπόπτωσιν, καὶ αὐτὴν τὴν γῆν, τὴν περιεστῶσαν τοῖς πολλοῖς" φυτοῖς, καὶ τοῖς ἀνθεσι καλλωπιζομένην, ἀθεόν ὥσπερ ἀποχειρωμένην τὸ κόμιον, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον τυγχάνουσαν. ἐπεὶ οὖν τοσαύτη τῆς ἀθυμίας ἦν ἡ ὑπόπτωσις, μικρόν τινα ἑαυτῷ παραμυθίαν ἐντεῦθεν ὑπενόησεν ὅτι τὴν τῆς γῆς ἐργασίαν ἑαυτῷ ἐξέδωκε. Διὰ τοῦτο, φησι, καὶ ἤρξατο Νῶε ἀνὴρ ἄθεος γεωργὸς

Ησ. κβ. δ'.
Ιερ. θ. α.
Ιεζ. θ. ιι.
Δαν. θ.
Αμ. ζ. γ. ε.
Αβακ. γ. ιδ'.
Εξο. λβ. λα.
Εξοδ. λβ. θ.
Ρωμ. θ. γ.

γεωργὸς γῆς, ⁊ ἐφύτευσεν ἀμπελῶνα. ἀλλ' ἄξιον ζητῆσαι, εἰ νῶν αὐτὸς ὤξησε τὸ φυτὸν, ἢ ἄνωθεν ἡ ἐξ ἀρχῆς ἰῶ προσηύξησεν. εἰκὸς μὲν τοῦτο ἄνωθεν ⁊ ἐξ ἀρχῆς τῷ τὸν ἕκτον ἡμέραν δεδημιουργῆσθαι, ἰωΐκα εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, ἡ ἰδοὺ καλὰ λίαν (κατέπαυσε γὰρ, φησιν, ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε) μὴ μὰν τοι γνώσιμον εἶναι τὸ φυτὸ τὸν χρῆσιν. εἰ γὰρ ἰῶ ἄνωθεν ἡ ἐξ ἀρχῆς τὸ φυτὸν γνώσιμον γέγονεν, ἢ ὁ ἐξ αὐτοῦ καρπὸς καταδηλος, πάντως δὴ ἡ Ⓐ πρὸς Ⓦ Ἄβελ τὰς θυσίας ἀναφέροντες ⁊ οἶνον ἔσπεισαν, ἀλλ' ὅτῳ πηνόσιν ἕλι τὸ καρπὸ τὸν χρῆσιν, οὐκ ἐχρήσαντο τῷ φυτῷ. οὗτος ὁ φιλότεχνος ὢν πρὸς τὸν γεωργίαν, ἡ πολλῇ τῇ ὀπιμελείᾳ χρησάμενος, ἴσως ἡ τὸ καρπὸ ἐγλύσατο, ⁊ σὺν βότρυας ἀποθλίψας, ἡ Ⓦ οἶνον ποήσας, μετέλαβε τῆς χρήσεως. ἡ ὅτῳ μήτε αὐτὸς ἐγλύσατο πρόσθεν, μήτε ἕτερον εἶδε μετειληφότα, οὐκ εἰδὼς πόσῳ δὴ χρήσασθαι μέτρῳ, οὔτε ὅπως αὐτὸ τῆς μεταλήψεως προσήκει μεταχεῖν, ἵνα ἀγνοίας εἰς τὸν μέθυν ἐξώλισθεν. ἄλλως ὅ, ὅτῳ ἡ χρεωφαγία εἰσωΐζθη εἰς Ⓦ βίον, λοιπὸν ἡ ὀινοποσία. ὅρα δὲ μοι τὸ μικρὸν, ἀγαπητὲ, πῶς ἡ τὸ κόσμου σύστασις οἰκονομεῖται, ⁊ ἕκαστος ἀπὸ τῆς πρόσθε σοφίας ἐγκειμένης τῇ φύσει, λύρητὶς ὢν προσοιμίων τέχνης τινὸς γέγονε, ⁊ οὕτως εἰς τὸν βίον εἰσωΐεγκε τὰ τῶν τεχνῶν ὀπτήσθυμα. ὁ γὰρ πρῶτος τὸν ἐργασίαν εὗρε τῆς γῆς, ἡ ὁ μετ' αὐτὸν τὸν ποιμενικὸν, ἕτερος τὸν κτίσεως θεφίδα, ἡ ἄλλος τὸν μυσικὸν, ἕτερος τὸν χαλκευτικὸν· οὗτος ὁ δίκαιος τὰ ἀμπελουργικὸν ἀπὸ τῆς ἐγκειμένης τῇ φύσει διδασκαλίας ἐπενόησε. ἡ ἤρξατο, φησι, Νῶε ἀνὴρ θεσπέσιος γεωργὸς γῆς, ἡ ἐφύτευσεν ἀμπελῶνα, ἡ ἔπιεν ἐκ τοῦ οἴνου, ἡ ἐμεθύσθη. σκέπει πῶς ὁ τῆς ἀθυμίας φάρμακον, ὁ τῆς ὑγιείας ποτήριον, ὅτῳ εἰς ἀμετείαν ἐπάρεσθαι τὰ ἀγνοίαν, ἀ μόνον [ὁ] οὐδὲν ὠφέλησεν αὐτὸν, ἀλλὰ ἡ ἐλυμήνατο αὐτὸ τῇ καταστάσει. ἀλλ' ἴσως εἴποι τις αὖ, ἡ τίνος ἕνεκεν τοσούτων γάμον κακῶν φυτὸν εἰς Ⓦ βίον εἰσηνέχθη; μὴ ἁπλῶς τὰ ὀπτόντα φθείρῃ, ἀνὴρ θεσπέ. ἀ γὰρ τὸ φυτὸν κακὸν, ὅτε ὁ οἶνος ποτηρὸν, ἀλλ' ἡ πρόσκτησις τὸ δέον χρῆσις. ὅτι γὰρ ἀ πρὸς Ⓦ οἶνον τὰ ἁμαρτήματα τὰ ὀλέθρια πίπτεται, ἀλλὰ πρὸς τὸ διεφθαρμένῳ γνώμῃ, ⁊ τῷ τῇ ἀμετείᾳ λυμαίνεσθαι τὸ οὐ τούτου ἐγλυπομένῳ ὠφέλειαν, δῆλα τοῦτο νῶν μὴ Ⓦ καταπλυσμὸν δείκνυσι σοι τὸ οἴνου τὸ χρῆσιν, ἵνα μάθῃς ὅλα ⁊ περὶ τῆς τοῦ οἴνου χρήσεως, ⁊ εἰς ἀσέλγειαν ἐκβαλλόσαν ὀξώκειλεν ἡ τῶν ἀνθρώπων φύσις, ⁊ πολλῷ τῶν ἁμαρτημάτων τὸ ὀπίσαυν ἐπεδείξατο· ⁊ ταῦτα οἴνου μηδαμοῦ φαινομένου, ἵνα ⁊ ὅτου ἴδῃς τὸ τοῦ οἴνου χρῆσιν, μὴ τῷ οἴνῳ τὸ πρῶ λογίσῃ, ἀλλὰ τῇ προαιρέσει τῇ διεφθαρμένῃ καὶ προὸς τὸ κακὸν αὐτομολησάσῃ. ἄλλως ὅ, καὶ ὀνόσιον ποτὲ χρήσιμος γέγονεν ὁ οἶνος, καὶ φείξον, ἀνὴρ θεσπέ. ἡ γὰρ ἐκστάσεις τῆς ὑστερείας ἡμῶν τῶν ἀγαθῶν δῆλα τοῦτο τελεῖται. ἴσασιν Ⓐ μεμνημένοι τὸ λεγόμενον. καὶ ἤρξατο Νῶε, φησιν, ἀνὴρ θεσπέσιος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη.

Καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

Δεινὸν γὰρ, δεινὸν, ἀγαπητὲ, ἡ μέθη, καὶ ἱκανὴ πηρῶσαι τὰς αἰσθήσεις, καὶ καταβαπτίσαι Ⓦ λογισμόν. τὸν γὰρ λογικὸν ἀνὴρ θεσπέσιον, καὶ τὸ τῶν πάντων ἀρχικὸν ἀναδεδεγμένον, καθάπερ νεκρὸν καὶ ἀνενέργητον, δεσμοῖς τισιν ἀλύτοις πεδήσασα κεῖται πρόσκαιρος· μᾶλλον δὲ καὶ νεκροῦ χεῖρον. ὁ μὲν γὰρ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος τυγχάνει· οὗτος δὲ πρὸς μὲν τὰ καλὰ ἀνενέργητος, πρὸς δὲ τὰ κακὰ μᾶλλον ἐνεργός, καὶ ἀκμὴς πᾶσι γέλως πρόκειται, καὶ τῇ γυναικὶ, καὶ τοῖς παιδίοις, καὶ ἀλλοῖς τοῖς οἰκέταις. Ⓐ μὲν γὰρ φίλοι οἰκείῳ τὸν αἰσχύνῃ λογιζόμενοι ἐγκαλύπτονται

τονται ϗ αἰχμώνονται, ⓐ ὁ ἐχθροὶ ἐφήδονται ⸋ κωμῳδοῦσι ϗ ἐπ-ῳδῶνται, μονονϗὶ ταῦτα λέγοντες τὰ ῥήματα· τοῦτον" δεῖ ὅλως ζῆν, τοῦτον" δεῖ ἀναπνεῖν τὸν ἀέρα; ὃ βόσκημα, τ" χοῖρον, ϗ ἐλεύθερον χαλεπώτερα φθεγξόμενοι. τοῦ γὰρ ἀπὸ τῶν πολέμων ἐπανελθόντων, ϗ τὰς χεῖρας ἡμαγμένας ἐχόντων, καὶ φοβερώτερον ἀγωνιζομένων χεῖρον οὗτοι διάκεινται. ἐκεῖνος μὲν γὰρ ἴσως καὶ ἐγκωμιάζοιτο ⓦ πολλοὶ διὰ τὰ τρόπαια, διὰ τὰς νίκας, διὰ τὰ τεκμήρια καὶ τὰς σφαγάς· τούτους ὁ ζηλωτὴς ζημιοῖ, ἀθλίους ἀποκαλοῦσι, μυεῖα αὐτοῖς ἐπαρῶνται κακά. τί γὰρ ἂν εἴη ἀθλιώτερον τοῦ τῇ μέθῃ τῶν σπλάγχνων, ⸋ καθ' ἑκάστην ὥραν ⓦ ἄκρατον" ἐκχεομένου, ϗ τῷ λογισμῷ ὁ κριτὴς ἀφαιρούμενος; διὰ τοῦτο ϗ σοφός τις παραινεῖ λέγων· Ἀρχὴ ζωῆς μὲν ἄρτος, ϗ ὕδωρ, ϗ ἱμάτιον, ϗ οἶκος καλύπτων ἀσχημοσύνην, ἵνα καὶ ἄλλῳ τις ἐκ τῆς μέθης, μὴ ἐκπομπεύηται, μηδὲ δημοσιεύηται, ἀλλὰ ⸋ ἐκ τῶν οἰκείων ἀπελήλυθε, ϗ μὴ πρέπῃ πᾶσι τέλειος ϗ ἀσχημοσύνης ἐκτὸς θέσις. ϗ ἤρξατο, φησι, Νῶε μὲν ἄνθρωπος γεωργὸς γῆς, ϗ ἐφύτευσεν ἀμπελῶνα, ϗ ἔπιεν ἐκ τοῦ οἴνου, ϗ ἐμεθύσθη. ὃ τῆς μέθης ὄνομα, ἀγαπητέ, ὅτι τῆς ἀλγηδόνος ἀπαλλαγὴ ὅτι τούτου εἴρηται, ἀλλὰ ϗ ὅτι πλησμονῆς. τοῦτο οὖν μάλιστα τις εἴποι ἂν τοῦ δικαίου τοῦτον, ὅτι μὲ δικαίαν εἰς τὴν μέθην κατέπεσεν, ἀλλ' ἡ πλησμονὴ τοῦτο αὐτῷ εἰργάσατο. ἄκουε γὰρ τοῦ Δαυὶδ λέγοντος, Μεθυσθήσονται ἀπὸ τῆς πιότητος τοῦ οἴκου σου, ἀντὶ τοῦ πλησθήσονται. ἄλλως ὁ ⓐ τῇ μέθῃ ἑαυτοὺς ἐκδιδόντες οὐδέποτε χορὸν λαμβάνουσιν, ἀλλ' ὅσῳ μᾶλλον ἐγχέωσιν ἑαυτοῖς ⓦ ἄκρατον, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται, ϗ ἡ μεπάλη ψις ἀεὶ ἔκκαυμα γίνεται τοῦ δίψους. ⸋ ταῖς μὲν τῆς ἡδονῆς ἡμέραις λοιπὸν, ὁ ὁ δίψος ἀναπαύσεται γεγονὸς εἰς αὐτὸν τὸν χρημονὸν τῆς μέθης καταγελᾶται ἔκ τῶν αὐτῆς αἰχμαλώτων γεγυμνάσθαι. καὶ ἐφύτευσέ, φησιν, ἀμπελῶνα, ϗ ἔπιεν ἐκ τοῦ οἴνου, ϗ ἐμεθύσθη, ϗ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. ὅρα αὐτὸν οὐκ ἔξω που τοῦτο πάσχοντα, ἀλλὰ ἐν τῷ οἴκῳ αὐτοῦ. διὰ τί δὲ τοῦτο ἐπεσημήνατο ἡ θεία γραφὴ ὅτι ἐν τῷ οἴκῳ αὐτοῦ, ἵνα ἐκ τῶν ἐπαγομένων τὴν ὀπτασίαν ἴδῃς τῆς ποινείας τοῦ τὴν γύμνωσιν ἐκπομπεύσαντος.

22 Καὶ εἶδε, φησι, Χαμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, ϗ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω.

Τάχα εἰ καί τινες ἕτεροι ἦσαν, καὶ ἐκείνοις δὲ ἐμέμφετο τὴν τοῦ πατρὸς ἀσχημοσύνην. τοσαύτη ἐστὶν τοῦ παιδὸς ἡ μοχθηρία. διὰ γὰρ τοῦτο, ἵνα μάθῃς ὅτι αἰσθητὴν ϗ ὀξυτέραν ἔσχηκε διεφθαρμένος ἐκ τῆς γνώμης, οὐχ ἁπλῶς εἶπεν ἡ γραφή, ὅτι εἶδε Χὰμ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ τί; ϗ εἶδε Χὰμ ὁ πατὴρ Χαναάν. τίνος ἕνεκεν, εἰπέ μοι, ϗ σὺ ταῦτα τοῦ υἱοῦ λέγει τὴν προσηγορίαν; ἵνα μάθῃς ὅτι ἀκρατής τις ἐκ ϗ ἀκόλαστος, ϗ ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς ἐν τοσαύτῃ κατασκευῇ παιδοποιᾶν ἐνέχετο, ἀπὸ τῆς αὐτῆς ϗ νῦν εἰς ⓦ γεγυμνωκότα ὀξύβλεπτος. ϗ ἐξελθὼν, φησιν, ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. ὅρα μοι σύνταξιν, ἀγαπητέ, πῶς οὐκ ἐν τῇ φύσει τὰ τῆς κακίας ἔγκειται, ἀλλ' ἐν τῇ γνώμῃ ⸋ ἐν τῇ προαιρέσει. ἰδοὺ γὰρ, ἀμφοτέροις τῆς αὐτῆς φύσεως, καὶ ἀδελφοὶ, τὸν αὐτὸν" ἔχον πατέρα, τῷ αὐτῷ ἀπήλαυσαν ὠδίνων, τῆς αὐτῆς ὀπτασίας ἔτυχον, ἀλλ' ϗ τὴν αὐτὴν προαίρεσιν ἐπεδείξαντο· ἀλλ' ὁ μὲν πρὸς τὴν κακίαν ἐξώλιαθεν, ⓐ ὁ τὴν ὀφειλομένην τῷ πατρὶ τιμὴν ἀπένεμεν. ἴσως ὁ ⸋ ἐπεμβαίνων τῇ τοῦ πατρὸς ἀσχημοσύνῃ ϗ κωμῳδῶν, ὁ γεγονὸς ἐξήγειλε, ϗ οὐκ ἤκουσε σοφοῦ τινος λέγοντος· Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου. ἀλλ' ⓐ ἀδελφοὶ οὐχ οὕτως. ἀλλὰ τί; ταῦτα ἀκούσαντες,

Λαβόντες

23 Λαβόντες, φησί, Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ὀπίσω τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανεῖς, καὶ σιωπῇ κάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν. καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

Εἶδες βιγνωμοσύνην παίδων· ὁ μὲν καὶ ἀπεπόμπευσεν, ἃ οὐδὲ ἰδεῖν ἀνέχονται, ἀλλ' ὀπισθοφανῶς βαδίζουσιν, ἵνα ὀρθῶς βαδίσαντες συγκαλύψωσι τοῦ πατρὸς τὴν γύμνωσιν. καὶ ὅρα αὐτῶν μετὰ τῆς πολλῆς βιγνωμοσύνης καὶ τὴν ὑποτίμησιν. ὅτε γὰρ ὑπετιμήθη ὅτε ὑπεπλήσθησι τῷ ἀδελφῷ, ἀλλ' ἀναχύσαντες, ἑνὸς μόνου γίνονται, τοῦ τὴν διόρθωσιν ταχεῖαν ποήσασθαι, καὶ τὰ εἰς τιμὴν τοῦ γεγωνηκότος σωτείνοντα ὑποδείξασθαι. καὶ ὃ μὲν πρόσωπον αὐτῷ, φησιν, ὀπισθοφανές, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. πολλὴ τῶν παίδων ἡ βιγνωμοσύνη. καὶ ταύτην ἡμῖν δείκνυσιν ὁ τὸ σκεπάσαι μόνον, ἀλλὰ καὶ μὴ ὃ ἀνέχεται ἰδεῖν. παιδοβιωθῶμεν οὖν καὶ ἐντεῦθεν, καὶ ὀξὺ ἀμφοτέρων κερδάνωμεν, καὶ τούτου μὲν μιμησώμεθα, ἐκείνου δὲ φεύξωμεθα. Εἰ γὰρ γύμνωσιν ἀμαρτίαν ὁ ἐκπομπεύσας, καὶ πάρεργος ἑαυτὸν κατέστησεν, καὶ τῆς ὁμοτιμίας τῶν ἀδελφῶν ἐκπεσὼν δουλεύειν αὐτοῖς κατεδικάσθη, εἰ καὶ μὴ αὐτὸς ἐκεῖνος, ἀλλ' ἀπ' ἐκείνου πάντες, τί πείσονται καὶ τὰ ἁμαρτήματα τῶν ἀδελφῶν ἐκπομπεύοντες, καὶ οὐ μόνον οὐ παρεξελλοντες, ἀλλὰ καὶ μειζόνως αὐτὰ ποιοῦντες κατάδηλα, καὶ πολλὰ ἐκ τούτου ἐργαζόμενοι τὰ ἁμαρτήματα; ὅταν γὰρ δημοσιεύσῃς τοῦ ἀδελφοῦ τὸ πταῖσμα, οὐ μόνον ἔκδυον αὐτὸ ἀπεργάσῃ τελεσιν καὶ ἀκατόρθωτον ἐργάσω ἴσως παρὰ τὴν ἐπιθυμοδον τῆς ἀρετῆς, ἀλλὰ καὶ τοῦ ἀκούοντας ῥᾳθυμοτέρους κατέστησας, καὶ παρὰ ἀπόνοιαν ἤλειψας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ βλασφημεῖσθαι τὸν θεὸν προεσκεύασας. τοῦτο γὰρ ὅσῳ παρὰ ξένης τοῖς κόλασιν τοῖς τὴν αἰτίαν προφέρουσιν, οὐδεὶς ἀγνοεῖ. φύγωμεν οὖν, παρακαλῶ, τὸ Χὰμ τὸν ζῆλον, μιμησώμεθα δὲ τῶν βιγνωμόνων τούτων παίδων τὸν αἰδῶ, ἵνα παρὰ τὴν γύμνωσιν τοῦ πατρὸς ἐπεδείξαντο· καὶ ὅπως τὰ τῶν ἀδελφῶν συσκιάζωμεν ἁμαρτήματα, οὐχ ἵνα εἰς ῥᾳθυμίαν αὐτοὺς παιδοτριβήσωμεν, ἀλλ' ἵνα ταύτῃ μάλιστα πλείονα αὐτοῖς ἀφορμὴν παρέχωμεν τοῦ ταχέως τῆς λύμης ἐκείνης ἀπαλλαγῆναι, καὶ παρὰ τὴν τῆς ἀρετῆς δρόμον ἐπιμελῆσαι. ὥσπερ γὰρ ὁ μὴ πολλοὺς ἔχειν μάρτυρας τῶν οἰκείων πλημμελημάτων, εὐχερεστέραν κατασκευάζει τὴν νηφοντι τὴν ἐπιθυμίαν· ὅπως ἐπειδὴ ἀπειρυθείασῃ ψυχὴ, καὶ ἴδῃ, ὅτι οὐδένα λέληθε τὰ ποτὲ καὶ παρασκαπτόμενα, οὐκ ἀνόκλως ἀπὸς ἑαυτὴν ἀνέρχεται, ἀλλὰ καθάπερ εἰς ὕλην τινὰ ὁ βυθὸν ἐμπεσοῦσα, ὁ ὑπὸ μυρίων κυμάτων κάτω παρελκομένη δυσκόλως ἀναβᾶσα διωκίσεται, εἰς ἀπόγνωσιν λοιπὸν ἐμπεσοῦσα καὶ παρὰ τὴν ἐπιθυμίαν ἀπαγορεύσασα. διὰ τοῦτο παρακαλῶ, μήτε ἐκπομπεύωμεν τὰ τῶν πλησίον σφάλματα, καὶ ἐπειδὴ πρὸς ἑτέρων ταῦτα μαθώμεν, μὴ ἐπιγώμεθα ὥστε τὴν γύμνωσιν ἰδεῖν· ἀλλὰ καθάπερ δῆτοι αἱ βιγνώμονες παῖδες, συγκαλύπτωμεν, συσκιάζωμεν, τῇ παραινέσει, ταῖς συμβουλαῖς καταπεπλωκυῖαν τὴν ψυχὴν ἀνορθοῦν ἀπουδάζωμεν, τῆς φιλανθρωπίας τοῦ θεοῦ ὁ μέτρος διδάσκοντες, τῆς ἀγαθότητος αὐτοῦ τὴν ὑπερβολὴν, τῆς βιωφελείας ὁ ἀμέτρον· ἵνα μείζονος, ἢπερ ἤδη, βιωφελείας ἀπολαύσωμεν παρὰ τοῦ τῶν ὅλων θεοῦ, τοῦ βουλομένου Πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς ὁ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καὶ τὴν γύμνωσιν, φησί, τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον. ὅρα πῶς ἀνωθεν καὶ ἐξ ἀρχῆς ταῦτα ἐν τῷ νόμῳ τῷ γραπτῷ πρὸς διδασκαλίαν τοῦ τῶν ἀνθρώπων γένους νενομοθετημένα προλαβόντες ἀπὸ τῆς φύσει χειμένου νόμου ἐπλήρωσαν, καὶ ὅπερ ὁ νόμος ἔλεγε (τίμα τὸν πατέρα σου, ἵνα εὖ σοι γένηται· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω)

a. Τιμ. β. δ'.

Ιεζ. ιη. κγ.

τοῦτο ἤδη ἀφ' τῶν ἔργων ἐπληροῦτο. Εἶδες πῶς προλαβοῦσα ἡ φύσις ἀρκοῦσαν εἶχε διδασκαλίαν.

24 Ἐξέπνιξε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

Ἐξέπνιξε δέ, φησιν. ἀκουέτωσαν Ⓐ οἱ τοῖς συμποσίοις διημερεύοντες τοῦ ὀλίσθου τὸ μέτρος, καὶ φυγέτωσαν τὴν ἐκ τῆς μέθης λύμην. Ἐξέπνιξε δέ, φησιν. Τί ὅτιν ἐξέπνιξεν; ὅπερ ἡμῖν ἔθος περὶ τῶν μεμηνότων λέγειν, ἐπειδὰν οἱ ἐκτὸς γένωνται, ὅτι ὁ δεῖνα ἐξέπνιξεν ἀπὸ τοῦ δαίμονος ἢ ἀπηλλάγη τῆς ἐκείνου τυραννίδος, τοῦτο καὶ ἐνταῦθα ἔφησεν ἡ γραφή. ἀληθῶς γὰρ ἡ μέθη αὐθαίρετος ὄντι δαίμων, καὶ χαλεπώτερον ἐκείνου ἔχει τοὺς Ⓜ λογισμούς, καὶ πάσης βυθοῦ μοσύνης ἀποστερεῖ Ⓦ ἀλύτα. Ⓦ μὴ γὰρ δαιμονιῶντα πολλάκις ὁρῶντες καὶ ἐλεοῦμεν καὶ σωφρονοῦμεν καὶ πολλοὶ καὶ αὐτὸν τὸν συμπάθειαν ὑπιδεικνύμεθα· ὅταν δὲ τοῦ μέθυσου τὸ ἀκόλαστον ἐργαζόμενα. ἀγανακτοῦμεν, δυσχεραίνομεν, μυρία ἐπαρώμεθα. Τίνος ἕνεκεν καὶ ἀφ' τί; ὅτι ἐκεῖνος μὲν ὑπὸ τοῦ πονηροῦ δαίμονος ἐλαυνόμενος ἄκων ἁμαρτάνεται, ἄκων ἂν ἁμαρτοίη. καὶ λοιδορήσῃ, καὶ ἁμαρτήσῃ χειρονίσειν, καὶ ἀργὰ ἕωα φθέγξηται, συγγνώμης ἀξιοῦται· ὁ δὲ μεθύων, καὶ ὅπερ ἂν ὑπιδείξηται, οὐκ ἂν ἔσαι συγγνώμης ἄξιος, ἀλλὰ καὶ οἰκείας, καὶ φίλους, καὶ γείτονας, καὶ πόλιτας ἔχει σφοδροὺς κατηγόρους, ὅτι οἴκοθεν οὐκ προαιρέσεως τὴν κακίαν μετελήλυθε, καὶ τῇ τυραννίδι τῆς μέθης ἑαυτὸν ἐξέδωκε. καὶ ταῦτα λέγω, οὐχ ἵνα τὸ δικαίου κατηγορήσω. πολλὰ γὰρ ἴσως καὶ τὸν συγγνώμων αὐτῷ προέχοντα· καὶ μὴν τῶν ἄλλων ἁπάντων οὐ μηκέτι τοῖς αὐτοῖς προσπεσεῖν, ὅπερ μέγιστον δὴ εἶη δεῖγμα καὶ τοῦ ἀμαρτήματος, ὅτι ἐξ ἀγνοίας, ἀλλ' οὐκ ἐκ τοῦ ῥᾳθυμίας τοῦτο οὐκ ἐμένειν. Εἰ γὰρ ἀπὸ ῥᾳθυμίας τοῦτο ὑπέμενεν, ἐχρῆν ἀεὶ καὶ πάλιν αὐτὸν ἁλῶναι τῷ πάθει. ἀλλ' οὐκέτι τοῦτο πέπονθεν. Εἰ γὰρ καὶ πάλιν τὸ αὐτὸ οὐκ ἐμένεν, οὐκ ἂν ἡ γραφὴ προσώπησεν, ἀλλ' ἐγνώρισεν αὐτὴν ἡμῖν. Εἷς γὰρ ὅτι σκοπὸς καὶ εἷς ὅρος τῆς γραφῆς, τὸ μηδὲν προλιπεῖν τῶν γεγενότων, ἀλλὰ μετὰ ἀληθείας ἡμᾶς διδάσκειν. ὅτε γὰρ φόνῳ καὶ τὰς ἀρετὰς τῶν δικαίων παραπέχει, ὅτε κλέπτει πάλιν τὰ ἁμαρτήματα συσκιάζει, ἀλλ' ἅπαντα εἰς μέσον ἡμῖν προτίθησιν, ἵν' οὐ γραμμόν τινα καὶ διδασκαλίαν ἔχωμεν, καὶ ἐπειδὰν καὶ ἡμεῖς ἀφ' ῥᾳθυμίαν ἁλῶμέν τινι πλάσματι, ἀσφαλιζώμεθα μὴ πάλιν τῷ αὐτῷ προσπεσεῖν. οὐ γὰρ οὕτω τὸ ἁμαρτεῖν χαλεπὸν, ὡς τὸ τῷ ἁμαρτήματι ἐπιμένειν. μὴ τοίνυν τοῦτο ἴδῃς ὅτι ἐμεθύσθη ὁ δίκαιος, ἀλλ' ὅτι οὐκ ἔτι τοῦτο πέπονθεν. ἀλλ' ἐννόει μοι τὸν καθ' ἑκάστην ἡμέραν ἐν ταῖς οἰνοφλυγίαις καταδαπανώμενον, καὶ ἐφ' ἑκάστης ἡδονῆς εἰπῶν ἀποθησόμενον· καὶ ἐπειδὰν εἰς ἄθεσιν ἔλθωσιν, οὐδὲ οὕτω φθέγγεται τὸν ἐκεῖθεν λύμην, ἀλλ' ὡς ἔργον τι τοῦτο καὶ ἀνδρείαν μεταδιώκοντας. πάλιν ἄν καὶ ἐκεῖνο ἂν τις ἐννοήσειεν, ὅτι ὁ δίκαιος οὗτος, εἰ καὶ ὑπὸ τῆς ἀπειρείας, ἢ τοῦ μὴ εἰδέναι τὰ μέτρα τῆς μεταλήψεως πιὼν ἐμεθύσθη, ἀλλ' ὅμως δίκαιος ὢν καὶ πολλὰ ἔχων κατορθώματα, συσκιάζειν ἠδυνήσατο τὸ συμβὰν ἁμάρτημα· ἡμεῖς δ' ὅταν καὶ ὑφ' ἑτέρων μυρίων ὧμεν πολιορκούμενοι παθῶν, καὶ μετ' ἐκείνων καὶ ὑπὸ τῆς μέθης ἑαυτοὺς καταβαπτίζωμεν, ποίαν ἕξομεν συγγνώμην εἰπέ μοι; Τίς δὲ ἡμᾶς ἀξιώσει συγγνώμης οὐδὲ ὑπὸ τῆς πείρας αὐτῆς σωφρονιζομένους; Ἐξέπνιξε δέ, φησι, Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. πόθεν ἔγνω; ἴσως Ⓐ ἀδελφοὶ ἐγνώρισαν, οὐχὶ τὸν ἀδελφὸν ἁμαρτάνειν βουλόμενοι, ἀλλὰ τὸ πρᾶγμα ὡς ἐγένετο διδάσκοντες, ἵνα καταλλήλων ἐκεῖνος τῷ πταύματι τὴν βοήθειαν δέξηται. καὶ ἔγνω, φησί, Νῶε ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

χ. βλάβη.

χ. ἀγγέλων

χ. ἐναγκαλισμένους

χ. ἐκ τοῦ

πτερος. Τί ὅστιν, ὅσα ἐποίησεν; ἀντὶ τοῦ, μέγα καὶ ἀφόρητον. ἐννόησον γὰρ ὅτι ἔσω ἐν τῇ οἰκίᾳ θεασάμενος τινὰ ἀχημοσυνοῦντα, δέον συγκαλύψαι, ὁ δὲ ἐξελθὼν ἐξεπόμπευσε καὶ εἰς χωμῳδίαν καὶ εἰς χλευασίαν τὸν πατέρα, ὅσον ὃ ἐαυτῷ ἦκον, ἐνέβαλε, καὶ ἐβούλετο καὶ τοῦ ἀδελφοὺς κοινωνοὺς λαβεῖν τῆς μοχθηρᾶς προαιρέσεως. καὶ δέον μέλλοντα ἀπαγγέλλειν καὶ ἔσω ὅτι τῆς οἰκίας αὐτοῦ καλέσαι, καὶ οὕτως ἐξειπεῖν τὸν γύμνωσιν, ὁ δὲ ἐξῆλθεν ἔξω, ἐξεῖπε τὴν γύμνωσιν· ὡς εἰ καὶ πλῆθος ἑτέρων παρῆν, καὶ ἐκείνους μάρτυρας ἐπὶ ἐποιήσατο τῆς ἀχημοσυνης τοῦ πατρός. διὰ τοῦτό φησιν, ὅσα ἐποίησεν· τουτέστι τὸν ὕβριν εἰς τὸν πατέρα ἐπεδείξατο, ἐπελάθετο τῆς ὀφειλομένης αἰδοῦς καὶ τῶν παίδων γένεσθαι εἰς τοὺς γεγηθηκότας, ἐξεπόμπευσε τὰ ἁμαρτήματα, τοὺς ἀδελφοὺς ἠθέλησεν ὑποσύρας καὶ κοινωνοὺς λαβεῖν τῆς ὕβρεως. ὅσα ἐποίησεν αὐτῷ, φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. καὶ μὴν οὐχ οὕτως ἐστὶν ὁ νεώτερος. δεύτερος γὰρ ἦν, καὶ πρεσβύτερος τοῦ Ἰάφεθ. ἀλλ' εἰ καὶ τὴν ἡλικίαν ἦν πρεσβύτερος ἐκείνου, ἀλλὰ τῇ γνώμῃ νεώτερος, ἡ δὲ πρεσβύτεια αὐτὸν ἐξέβαλεν. ἐπειδὴ γὰρ οὐκ ἐβούλετο ἔσω τῶν οἰκείων ὅρων μεῖναι, ἀπώλεσε τὴν πρὸς τῆς φύσεως αὐτῷ δεδομένην τιμήν. καὶ ὥσπερ οὗτος, ὅπερ εἶχεν ἀπὸ τῆς φύσεως, προέδωκεν τῇ μοχθηρίᾳ τῆς προαιρέσεως, οὕτως ὁ Ἰάφεθ, ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τοῦτο προσελάβετο ἀπὸ τῆς ὑγιοῦς γνώμης. εἶδες πῶς οὐδὲν ἁπλοῦς οὐδὲ ὡς ἔτυχέν ἐστιν ὑβρεῖν κείμενον ἐν τῇ θείᾳ γραφῇ. ὅσα ἐποίησεν αὐτῷ φησιν, ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος.

25 Καὶ εἶπεν, ὑπηκατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

Ἰδοὺ ἐφθάσαμεν εἰς τὸ ζήτημα τὸ πολυπαθοῦς προφερόμενον. πολλῶν γὰρ ἐστιν ἀκοῦσαι λεγόντων, τίνος ἕνεκεν, τοῦ παιδὸς ἁμαρτήσαντος καὶ τοῦ γύμνωσιν ἐξαγγείλαντος, ὁ παῖς τοῦ καταράν δέχεται; διὰ τοῦτο καλῶ, μὴ ἀκριβείας ἀκούσατε, καὶ δέχεσθε τοῦ τότε λύσιν. ἐκεῖνα γὰρ ἐρῶμεν, ἅπερ ἂν ἡ θεία χάρις παράσχῃ διὰ τοῦ ὑμετέραν ὠφέλειαν. καὶ εἶπεν, ὑπηκατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. οὐκ ἁπλοῦς οὐδὲ εἶχεν τοῦ παιδὸς ἐμνημόνευσεν, ἀλλὰ διά τινα λόγον ἐγκεκρυμμένον. βούλεται γὰρ ὁμοῦ καὶ καθάπαξ αὐτὸ διὰ τὸ πλημμελῆσαι, καὶ τοῦ ὕβριν, ἵνα εἰς αὐτὸν ἐπεδείξατο, καὶ μήτε τῇ παρὰ τοῦ θεοῦ πάθῃ γεγυμνωμένη βλασφημίᾳ λυμαίνασθαι (βλάσφησε γάρ, φησιν, ὁ θεὸς τὸν Νῶε ἰσχὺν ἐξῆλθεν ἐκ τοῦ οἴνου, καὶ τοῦ υἱὸς αὐτοῦ) ἵνα τῶν μὴ δοκῇ τὸν ἅπαξ κατὰ τοῦ θεοῦ τῆς βλασφημίας τυχόντα καταράσασθαι, ἐκείνου μὴ τῆς τοῦ ὑβριστοῦ ἀφίπτ, τῷ δὲ ἡμῶν τοῦ καταράν ἐπάγῃ. ναί, ἀλλὰ καὶ τοῦτο μοῦ, φησι, δείκνυσιν ὅτι διὰ τοῦτο οὐ κατηράσατο τοῦ Χάμ, ὅπως τῆς παρὰ τοῦ θεοῦ βλασφημίας ἀπήλλαξεν· τίνος δὲ ἕνεκεν ἐκείνου ἁμαρτόντος οὗτος δίκαιον δίδωσιν; οὐδὲ τοῦτο ἁπλοῦς γίνεται. καὶ γὰρ οὐκ ἔλαττον οὗ παιδὸς ὁ Χὰμ τοῦ κόλασιν ὑπέμεινε, καὶ τοῦ τιμωρίας τοῦ αἰσθησιν ἐλάμβανεν. οἶσθα γὰρ, οἶσθα πῶς πολλάκις οἱ πατέρες τῶν παίδων τιμωρίαν ποιοῦνται, καὶ ὥπτως βαρύτερον αὐτοῖς ἐστιν εἰς κολάσεως λόγον, τὸ τοὺς παῖδας ὁρᾶν τιμωρουμένους, ἢ ἑαυτοὺς ὑποβυθίους γενομένους. ἐβούλετο τοίνυν τοῦτο ἵνα καὶ οὗτος διὰ τὴν φυσικὴν φιλοστοργίαν πλείονα τοῦ ὀδυνᾶν ὑπομείνῃ, καὶ ἡ τοῦ θεοῦ βλασφημία ἀκέραιος διαμείνῃ, καὶ ὁ τοῦ καταράν δεξάμενος παῖς οἰκείων ἁμαρτημάτων τίνῃ δίκας. εἰ γὰρ καὶ διὰ τὸ ἁμάρτημα οὗ παιδὸς νῦν τοῦ καταράν λαμβάνει, ἀλλ' ὅμως εἰκὸς ἦν δι' οἰκεῖα πλημμελήματα δίκην δίδοναι δίκαιον. οὐ γὰρ διὰ τὸ ἁμάρτημα οὗ παιδὸς μόνον τοῦ καταράν ἐδέξατο, ἀλλ' ἡ ἄρα ἵνα καὶ δι' αὐτὸ ἐκεῖνος μείζονα δῷ τοῦ τιμωρίαν. ὅτι γὰρ οὔτε πατέρες ὑπὲρ τέκνων, οὔτε τέκνα πατέρων δίκην δίδοασιν, ἀλλ' ἕκαστος ὑπὲρ ὧν ἐπλημμέλησε διὰ εὐθυώας ὑπέχει, πολλαχοῦ ἐστιν ὑρεῖν καὶ τοῦ προφητοῦ οὐ τὸ εἰρημένον. ὥσπερ ὅταν λέγωσι, Τοῦ Φαγόντος τὸ ὄμφακα. Ier. λα. λ.

Ιακ. ιν. κ. ὁμοφανῶς ⓐ ὀδόντες αἰμωδιάσουσι· ἡ Ψυχὴ ἡ ἁμαρτοῦσα, αὐτὴ ἡ ἀποθανεῖται. ἡ
Δευτ. κδ. ιϛ. πάλιν, Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, ὅτε τέκνα ὑπὲρ πατέρων. μηδεὶς οἰέσθω ὑμῶν, ὦ διδάσκαλοι, ἀγνοῶν τὴν θείας γραφῆς τὴν σκοπὸν, ζημιάτω μεμφέσθω τοῖς ἐγγεγραμμένοις, ἀλλὰ βιγνώμων διανοίᾳ διηέσθω τὰ λεγόμενα, καὶ θαυμαζέτω τὴν θείας γραφῆς τὴν ἀκρίβειαν, καὶ λογιζέσθω ὅσον ἁμαρτία κακόν. ἰδοὺ γὰρ ⓑ ἀδελφὸν, τὸν τῶν αὐτῶν ὠδίνων κοινωνήσαντα, τὸν ἐκ τῆς αὐτῆς νηδύος ἐξελθόντα, τοῦτον ἐπεισελθοῦσα ἡ ἁμαρτία δοῦλον εἰργάσατο, καὶ τῷ ἐλευθερίᾳ ἀφελομένη εἰς τὸν ὑποταγὸν ἦγαγε. καὶ γὰρ ἐντεῦθεν τὰ τῆς δουλείας ἤρξατο ἐλάμβανε λοιπόν. οὐδὲ γὰρ ἐπὶ τούτῳ ἡ βλακεία αὕτη, καὶ ὃ οὐκ ἔστιν ἁμαρτάνεσθαι, ἢ ἑτέρων διαφθορῶν, ἀλλ' ἕκαστος αὐτὸς ἑαυτῷ διηκονεῖτο, καὶ πολλὴ ἐπῆν ἡ ὁμοπιμία, καὶ πᾶσα ἀνωμαλία ἐκποδὼν ἦν. ὅπερ ἦν εἰσῆλθεν ἡ ἁμαρτία, ἐλυμαίνατο τὴν ἐλευθερίαν, καὶ διέφθειρε τὴν ἀπὸ τῆς φύσεως δεδομένην" ἀξίαν, καὶ τὴν δουλείαν ἐπεισήγαγε, ἵνα διώκεις ἢ διδάσκαλος καὶ νουθεσία τῶν τῆς ἀνθρώπων ψυχῆς, ὥστε φθάσειν μὴ τῆς ἁμαρτίας τὴν δουλείαν, μηδὲ τὴν ἐλευθερίαν τῆς ἀρετῆς ἐπιμέλειαν. ὅτι γὰρ καὶ ὁ δοῦλος καὶ ὁ δεσπότης διηνεκῆ ἔχουσι τὸν ἐντεῦθεν ἐγκωμιάζειν ὠφέλειαν, εἰ βούλοιντο, σκοπείτωσαν, ὁ μὲν δοῦλος, ὅτι διὰ τοῦτο εἰλήφε τὴν δουλείαν, ἵνα ὁ Χριστὸς εἰς τοσαύτην μετριότητα ἐξώκηλε· καὶ ὁ δεσπότης πάλιν λογιζέσθω, ὅτι οὐκ ἐτέρωθεν ἡ ὑποταγὴ γέγονε καὶ ἡ δουλεία, ἀλλ' ἢ ἀπὸ τοῦ μοχθηρὸν ἐκείνου δεικνύειν γνώμην, καὶ τῆς ἰσοτιμίας τῶν ἀδελφῶν ἐκπεσεῖν. ἀλλ' ἐὰν νήφωμεν, ταῦτα τὰ διὰ τὰ ἁμαρτήματα τῶν προγόνων τῶν ἡμετέρων εἰσενεχθέντα εἰς τὸν βίον οὐδὲν ἡμᾶς λυμαίνεται δυνάμενα, μέχρι τῶν ὀνομάτων μόνον ἰσάριθμα. ἐπεὶ ⓒ ὁ προπάτωρ διὰ τὸ παρακοῦσαι τοῦ θανάτου τὸ ὀπτήμιον εἰσήγαγε, καὶ τὸ ἐν λύπαις καὶ μόχθοις τὸν ζωὴν καταδαπανᾶσθαι, καὶ αὐτὸν τὴν δουλείαν· ἀλλὰ παρακούσας ὁ δεσπότης Χριστὸς ταῦτα πάντα μέχρι τῶν ὀνομάτων [αὐτῶν] ἀφῆκεν εἶναι μόνον, ἐὰν βουλώμεθα. ὅτε γὰρ ὁ θάνατος, θανάτου ὄντι λοιπὸν, ἀλλὰ ὄνομα μόνον ἔχει θανάτου· μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὄνομα ἀφῃρέθη. οὐκέτι γὰρ οὐδὲ θάνατον
Ισ. ιβ. ιβ. αὐτὸν προσαγορεύομεν, ἀλλὰ κοίμησιν καὶ ὕπνον. διὸ καὶ αὐτὸς ὁ Χριστὸς ἔλεγε, Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. καὶ ὁ Παῦλος γράφων Θεσσαλονικεῦσί φησι,
α. Θες. δ. ιγ. Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοί. καὶ ἡ δουλεία πάλιν ὁμοίως ὄνομά ἐστιν. ἐκεῖνος γὰρ ὄντως δοῦλος ὁ τὴν ἁμαρτίαν ἐργαζόμενος. καὶ ὅτι τὸ τοιοῦτον
α. Τιμ. ϛ. β. ἐλεύθερος ὁ Χριστὸς προσαγορεύομενος, ⓓ μέχρις ὀνόματος αὐτὴν ἀφῆκεν εἶναι, μᾶλλον δὲ τὴν προσηκείαν αὐτὴν ἐξῄλειψεν, ἄκουε τοῦ Παύλου λέγοντος· Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν. ὁρᾷς πῶς ἐπεισελθοῦσα ἡ δουλεία, εἰς τὸ τῆς ἀδελφότητος συγγενὲς ἦγαγε τοὺς προστιθεμένους τῷ ὀνόματι τὸ δουλείας ὑπερθύνους ὄντας. καὶ ἔσαι, φησὶ, Χαναὰν παῖς, οἰκέτης τοῖς ἀδελφοῖς αὐτοῦ. οὐκ ἐχρήσω, φησὶ, εἰς δέον τῇ τιμῇ, οὐδὲ ἐμνήσθης τοῦ ὑπερβολὴν τοῦ ἀπὸ τῆς ἰσοτιμίας. δι' ὃ τοῦτο * τῇ ὑποταγῇ σωφρονισθῆναί σε βούλομαι. τοῦτο ⓔ ἐξ ἀρχῆς ὅτι τῆς γυναικὸς γέγονεν. ὅπερ γὰρ ὁμότιμος τῷ ἀνδρὶ γνωσθεῖσα, καὶ καλῶς ἐχρήσατο τῇ δεδομένῃ τιμῇ,
Γεν. γ. ις: διὰ τοῦτο ἀφῃρέθη τὴν ἐξουσίαν, καὶ ἤκουσε· Πρὸς ⓕ ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ὅπερ οὖν οἶσθα, φησὶ, καλῶς χρησαμένη τῇ ἀρχῇ, μάθε καλῶς ἄρχεσθαι, ἢ κακῶς ἄρχειν. διὰ τοι τοῦτο καὶ ὁ Θεὸς νῦν σωφρονισμὸν ἔνεκεν δίκαιον ὀπτήμιον, καὶ διὰ τὸ παιδὸς αὐτὸς τὴν κόλασιν ἐπονομάζει, ἵνα μάθῃς, " ὅτι κἂν γενναῖός λοιπὸν ἴῃ, ἀλλ' ἡ τιμωρία εἰς ⓖ γόνυ ἀναβήσεται· ὅπερ πεπόνθασι καὶ οἱ τῷ ζωῇ εἰργάζοντο σπουδῇ, οὐδὲ καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ὁ παῖς ἤμελλε δίκας τίνειν ὑπὲρ τῶν

χ. ἵνα μὴ ἀμ αὐτὸν τὰ τῶν ἄλλων ἁ φέρειν,

τῷ αὐτῷ πεπροσαγορευθέντων. ὅπερ γὰρ ἡ παῖς οἰκοθεν μοχθηρὸς ὑπῆρχε, τοῦτο καὶ οἱ δύο ἐκεῖνοι πάντες ὁδελυκτοὶ γεγόνασι πρὸς κακίαν ἀποκλίναντες, ἄκρας τῆς γραφῆς λεγούσης ἐν ταῖς κατάραις· ὁ Πατὴρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. καὶ πάλιν, Ἕτερός τις ἐνυβρίζων, σπέρμα Χαναὰν καὶ οὐκ Ιούδα. ἀλλὰ γὰρ ἄξιον λοιπὸν ἀκόσαι μετὰ τοῦτο ὅπως τιμήσιν, ἵνα ἐδέξατο ὁ τῶν γυμνωσιν τὴν παῖδος ἐκπομπεύσας, τίνων ἀξιοῦνται τῶν ἀμοιβῶν καὶ τῶν τοσούτων αἰδοῦς καὶ τῶν τιμῶν ἀπονείμαντες τῷ πατρί. Ιεζ. κε. μθ'. Σινσίν. α. κε.

26 Καὶ εἶπε, φησιν, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσαι Χαναὰν παῖς αὐτοῦ.

Τοῦτο ἴσως ἄν τις εἴποι, οὐκ ἔστι τὸν Σὴμ εὐλογῆσαι. καὶ σφόδρα μὲν εὐλόγησεν αὐτόν. ὅταν γὰρ ὁ θεὸς εὐαγγελίζηται καὶ εὐλογεῖται διὰ τῶν ἀνθρώπων, τότε δασφαλεστέραν τὴν πρὸς ἑαυτὸν εὐλογίαν εἴωθε χορηγεῖν ἐκείνοις, δι' οὓς αὐτὸς εὐλογεῖται. εὐλογήσας τοίνυν τὸν θεόν, ὀφειλέτην αὐτὸν κατέστησε μείζονος εὐλογίας, καὶ αἴτιος γέγονε τῷ Σὴμ πλείονος ἀμοιβῆς, "ἧς αὐτὸς αὐτὸν, εἰ δι' ἑαυτοῦ εὐλόγησεν. ὥσπερ γὰρ ὅταν εὐλογῆται δι' ἡμᾶς, πολλῆς ἡμᾶς ἀξιοῖ τῆς πρὸς αὐτὸν" οἰκειότητος, οὕτω πάλιν ἐπειδὰν δι' ἡμᾶς ἕτεροι αὐτὸν βλασφημῶσι, μείζων ἐντεῦθεν ἡμῖν ἡ κατάκρισις γίνεται τοῖς τῆς αἰτίας παρεχομένοις. ἀσυνδάζωμεν τοίνυν, παρακαλῶ, ἵνα βιοῶμεν τοσούτων ὑπαδείκνυσθαι τῆς ἀρετῆς τὰ ὑπάτων, ὡς οὐ εἰς ἡμᾶς ὁρῶντας, εὐλογίας ὑμνους ἀναφέρειν τῷ δεσπότῃ θεῷ. βούλεται γὰρ ἀγαθὸς ὢν καὶ φιλάνθρωπος δοξάζεσθαι δι' ἡμῶν, οὐχ ὅπως αὐτὸς ἐκ τούτων προσλαμβάνει εἰς τὴν οἰκείαν δόξαν, (ἀνενδεὴς γάρ ἐστιν) ἀλλ' ἵνα ἀφορμὰς αὐτῷ παρέχωμεν τοῦ πλείονος ἡμᾶς ἀξιοῦν τῆς πρὸς αὐτὸν οἰκειότητος. εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσαι Χαναὰν παῖς αὐτοῦ. ὁρᾷς πῶς πατρικὴν ὑπεδείκνυται τὴν ἀμφοτέρων, σωφρονισμὸν ἔσαν μᾶλλον ἢ τιμωρίαν. πατὴρ γὰρ ἐστιν, καὶ πατὴρ φιλόστοργος, καὶ οὐ τὴν ἀξίαν ἐβούλετο δίκην ἐπαγαγεῖν, ἀλλ' ὥστε τὴν εἰς τὸ πρόσω κακίαν ἐγκόψαι· διὰ τοῦτό, φησι, Δυλεία σε καταδικάζω, ἵνα διλωνεκῆ καὶ ἀνεξάλειπτον ἔχῃς τὴν ὑπόμνησιν. εἶπά φησι, Ἰκανὸν αὐτὸν οἰκειότητα.

27 Πλατυνάι ὁ θεὸς τῷ Ἰαφεθ, καὶ κατοικησάτω ἐν ταῖς σκηνώμασι τοῦ Σήμ, καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ.

Μεγάλη πάλιν αὕτη ἡ εὐλογία, καὶ πολλὰ τινὰ κεκρυμμένον ἔχουσα θησαυρόν. πλατυνάι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰαφεθ. οὐκ ἄν τις ἀμάρτοι εἰπὼν προφητείαν εἶναι καὶ εὐλογίας τοῦ δικαίου. εἰ γὰρ ὁ πατὴρ αὐτοῦ οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τὴν προφητείαν αὐτῷ ἐπέθηκεν, ἀλλὰ προφητεύων διὰ τοῦ ὀνόματος τὸ μέλλον ἔσεσθαι κλυδώνιον, πολλῷ μᾶλλον ὁ δίκαιος οὗτος οὐκ [ἂν] ἁπλῶς οὐδὲ μάτην τὰς εὐλογίας ἐποιήσατο. διὰ γὰρ τῶν εὐλογιῶν τούτων, τοῦ Σὴμ καὶ τοῦ Ἰαφεθ, τῶν δύο λαῶν ἀπίτεσθαι αὐτὸν οἶμαι τὴν κλῆσιν· καὶ διὰ μὲν τοῦ Σήμ, τὸν Ἰουδαίων (ἐξ ἐκείνου γὰρ ὁ πατριάρχης Ἀβραάμ, καὶ τὸ τῶν Ἰουδαίων ὑπεδέδωκε γένος) διὰ δὲ τοῦ Ἰαφεθ, τὴν τῶν ἐθνῶν κλῆσιν. ὅσα γὰρ τοῦτον τὸν εὐλογίαν τοῦτο προμυήσαν. πλατυνάι γάρ, φησιν, ὁ θεὸς τῷ Ἰαφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ. τοῦτο ὅπερ τῶν ἐθνῶν εἰς ἔργον ἐκβεβηκὸς ὁρῶμεν. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, πλατυνάι, τὰ ἔθνη πρώτα ἠνίξατο· διὰ δὲ τοῦ εἰπεῖν, κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ, ὅτι τῶν τοῖς Ἰουδαίοις εὐτρεπισθέντων καὶ ἐκείνοις προσκευασθέντων τὰ ἔθνη τὴν ἀπόλαυσιν ἔσχε. καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. εἶδες οἵας ἔλαβον καὶ οὗτοι τὴν εὐγνωμοσύνης τὰς ἀμοιβάς, καὶ πόσων ἐκεῖνος διὰ τὴν προφητείαν ἑαυτοῦ κατεσκέδασε τὴν ἀτιμίαν. ταῦτα διλωνεκῶς ἐγκεκρυμμένα τῇ προφητείᾳ τῇ ἡμετέρᾳ, ἵνα τῶν μὲν μιμηταὶ καὶ ζηλωταὶ γενέσθαι δυνηθῶμεν, τοῦ δὲ φύγωμεν τὸ μοχθηρὸν τῆς γνώμης, καὶ τῆς προφητείας τὴν ὑποφολίν.

Καὶ ἔζησε, φησὶ, Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν'. 28 Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐνακόσια ν' ἔτη, καὶ ἀπέθανε.

Μὴ νομίσῃς ὃ τοῦτο ἁπλῶς ὑπομιμνήσκεσθαι τὴν θείαν γραφήν, ἀλλ' ὅσα καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἐγκράτειαν, ὅτι ὅτε ἀδείας καὶ ἀνέσεως ἀπολαύσας, καὶ τοσοῦτον ἀριθμὸν ἐτῶν ὑπερβήσας, μετὰ τὴν ἀπὸ τῆς κιβωτοῦ ἔξοδον, παιδοποιΐας ἐμνήσθη λοιπόν. Οὐδὲ γὰρ ἐμνημόνευσεν ἡ γραφὴ, ὅτι ἑτέρους ἔσχε παῖδας, πλὴν τούτων τῶν τριῶν. ἐντεῦθεν πάλιν λοιπὸν τοῦ Χὰμ τὴν πολλὴν ζημίαν ἀνιλλασίαν, ὅτι ὅτε τὸν πατέρα ὁρᾷν ἑαυτὸν ὑπιδεικνύμενον ἐγκράτειαν ἐσωφρονίζετο, ἀλλ' ἀπ' ἐναντίας τὰ γεγυμνωτότι ἄπορα διεσκέπτετο. διὸ καὶ εἰκότως ἄπαις ὁ ἐξ αὐτοῦ γένος τῇ δουλείᾳ κατεδικάζετο, ἵνα χαλινὸν ἔχῃ τῆς μοχθηρᾶς προαιρέσεως. Εἶτα ἐντεῦθεν διηγουμένη ἡ θεία γραφὴ τοὺς ἐκ τῶν παίδων τριῶν φησί· χ. τῶν υἱῶν

χε. 1. 6 Χὰμ δὲ ἐγέννησε τὸν Χούς. Καὶ πάλιν, 8 Χοὺς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ὑπὲρ τῆς γῆς. 9 Οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον κυρίου.

Καὶ τινες μὲν φασὶ τὸ ἐναντίον κυρίου, ἀντὶ τοῦ ἐναντιούμενος τῷ θεῷ· ἐγὼ δὲ οὐκ ἠξίωμαι τοῦτο ἀποδέχεσθαι τὴν θείαν γραφήν, ἀλλ' ὅτι ἰσχυρός τις ἦν καὶ ἀνδρεῖος. ὃ δὲ ἀπέναντι κυρίου τοῦ θεοῦ, αὐτὸ τοῦτο, ἐναντίον αὐτοῦ θαυμαζόμενος τοῦ θεοῦ τὴν βούλησιν, ἢ ὅτι ἤμελλεν ὁ θεὸς δι' αὐτοῦ θαυμάζεσθαι, ὡς τοιοῦτον θαυμαστὸν καὶ δείξας ὑπὲρ τῆς γῆς. ἀλλ' ὁ οὗτος πάλιν μιμούμενος τὸν πρῶτον, καὶ οὐκ εἰς δέον ζηλώσαντος τοῖς τῆς φύσεως πρωτεύμασιν, ἕτερον ἀνελείας ἐφοδεύσε τρόπον, καὶ ἄρχων καὶ βασιλεὺς γενέσθαι ἐπεχείρησε. βασιλεὺς γὰρ οὐκ αὐτομάτου ποτὲ μὴ ὄντων τῶν ἀρχομένων. αὕτη δὲ δοκεῖ μοι μᾶλλον ἐλευθερία εἶναι· ἀνελεία δὲ ὄντι χαλεπωτάτῃ συνελευθερίας τάξει, ὅσῳ καὶ τῶν ἐλευθέρων κρατεῖ. καὶ ὅσα τινὲς πλεονεξίαν, ὅσα ποιεῖ· ὅσα τοῦ σώματος τινὲς ἰσχυὸν ὑπὲρ τὰ οἰκεῖα ὅρια, ἀλλ' ἀεὶ τὸ πλείονος ἐφιεμένους, καὶ τῆς δόξης ὀρεγομένους. ὁ γὰρ, ὡς πρωϊσάμενος αὐτῶν, οὐκ ἐπαύετο, ἀλλὰ καὶ πόλεις ᾠκοδόμει, ἵνα ἀρχὴν τῶν πολεμίων.

11 Ἐκ ταύτης γάρ, φησιν, οὐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν ὁ Ἀσσυρ, καὶ ᾠκοδόμησε τὴν Νινευί.

β. Κορ. ε. ιδ. Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς. ὁρᾷ θυμωμοσύνην, ὁρᾷ ἀρετὴν ὑπερβολήν, ὁρᾷ πόθον ζέοντα. ἡ ἀγάπη, φησί, τοῦ Χριστοῦ συνέχει ἡμᾶς· τοῦτ' ἔστιν ὠθεῖ, κατεπαλαίζει, κατεπείγει. εἶτα ἑρμηνεύουσαν βουλόμενος ὁ πρὸ ἑαυτοῦ ῥηθέν, φησί· κρίναντας τοῦτο, ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἶδες πῶς εἰκότως ἔλεγεν, ὅτι συνέχει ἡμᾶς ἡ ἀγάπη τοῦ Χριστοῦ. εἰ γὰρ ὑπὲρ ἡμῶν, φησι, πάντων ἀπέθανε, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμεῖς οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶμεν, ἀλλ' ἐκείνῳ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. δεχώμεθα τοίνυν τὴν παραίνεσιν τὴν ἀποστολικήν, καὶ μὴ ἑαυτοῖς ζῶμεν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. οἱ πῶς, φησι, δυνησόμεθα μὴ ἑαυτοῖς ζῆν; ἄκουε τοῦ μακαρίου τούτου πάλιν λέγον-

Γαλ. β. κ. τος· Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὁρᾷ πῶς ὁπόταν γῆς βασίζων καὶ σαρκὶ συμπε-
πλεγμένος, καθάπερ τὸ ὄχημα οἰκεῖον, καὶ ταῖς ἀσωμάτοις συναναστρεφόμενος δυνάμεσιν,

Γαλ. ε. κδ. οὕτω διέκειτο. διὰ τοῦτο ἀλλαχοῦ πάλιν ἔλεγε· Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. τοῦτο τοίνυν ἐστὶ τὸ μὴ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, ὅταν καθάπερ νεκροὶ ὦμεν τοῦ παρόντος βίου, καὶ πρὸς μηδὲν τῶν ὁρωμένων ὦμεν ἐπιποθοῦντες. διὰ γὰρ τοῦτο ὁ δεσπότης ἡμῶν ἐσταυρώθη, ἵνα δι' αὐτοῦ τούτης τῆς ζωῆς ἐκείνην διαλλαξώμεθα· μᾶλλον δέ, ἵνα διὰ ταύτης ἐκείνην ἑαυτοῖς περιποιησώμεθα. ἡ γὰρ παροῦσα ζωή, ἐὰν βουλώμεθα νήφειν καὶ ἐγρηγορέναι, πρὸς τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς ἡμᾶς ὁδηγεῖ. καὶ δυνησόμεθα, εἰ βουληθείημεν μικρὸν διεγερθῆναι καὶ διανοῖξαι τὸ τῆς διανοίας ὄμμα, τῆς σκληρότητος τὴν ἔννοιαν διὰ πάντος πέφευγεν πρὸ ἑαυτοῦ, καὶ ὅταν τὰ μὴ ὁρώμενα περιπέχειν καὶ ὑπερείδεσθαι, πρὸς δὲ τὰ μέλλοντα καὶ διαμένοντα τείνειν τὸν λογισμόν·

Γαλ. β. κ. καθάπερ καὶ ὁ μακάριος οὗτος παιδεύων ἡμᾶς ἔλεγεν, Οὐ ζῶ νῦν ἐγὼ σὰρξί, οὐ πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. ὁρᾷ ψυχὴν πεπυρωμένην, ὁρᾷ λογισμὸν ἐπηρωμένον, ὁρᾷ διάνοιαν ὑπερκειμένην τῷ πρὸς τὸν θεὸν πόθῳ. οὐ νῦν ζῶ, φησιν, οὐ πίστει ζῶ. μὴ * νομίσητέ μέ, φησι, ζωντελῆ τι εἰς τὰ τοῦ παρόντος βίου πράγματα. εἰ γὰρ καὶ σάρκα περίκειμαι, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως πρόσδεδεμαι, ἀλλ' οὐ πίστει ζῶ τῇ εἰς Χριστόν, πάντων ὑπερορῶν τῶν παρόντων, τῇ ἐλπίδι τῇ εἰς αὐτὸν πάντα παρέχων, ἐκτεταμένην ἔχω τὴν διάνοιαν πρὸς αὐτόν. εἶτα ἵνα μάθῃς αὐτοῦ τὸ φίλτρον τὴν ὑπερβολήν, φησιν, οὐ πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παρα-
δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. σκέψει πόσης τῆς εὐγνωμοσύνης ἡ ὑπερβολή. τί λέγεις, ὦ μακάριε Παῦλε; πρὸς μαρτῦρ ἔλεγες, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν· καὶ νῦν λέγεις τοῦ ἀγαπήσαντός με, καὶ ἰδιοποιῇ τὴν χάριν εὑρ-

γεσίθω; ναί φησιν. Εἰ γὰρ ἡ ὑπὲρ παντὸς τοῦ τῶν ἀνθρώπων γένους ἡ θυσία προσενήνεκται πρὸς αὐτόν, ἀλλὰ δηλονότι ὁ πρὸς αὐτὸν φίλτρον [μου] ἐγὼ ἰδιοποιοῦμαι ὁ γεγενός. οὕτω δὲ τοῖς προφήταις ἔθος ποιοῦν ἡ λέγειν, ὁ θεὸς ὁ θεός μου, καί τοι τῆς οἰκουμένης ὄντι θεός. ἀλλ' ἴδιον τοῦ πόθου, καὶ κοινὰ ἰδιοποιεῖσθαι. τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, φησι, τοῦ ἀγαπήσαντός με. τί λέγεις; σὲ μόνον ἠγάπησε; πᾶσαν μὲν, φησι, τὴν τῶν ἀνθρώπων φύσιν, ἀλλ' ἐγὼ ὡς μόνος ἀγαπηθεὶς, ὅπως αὐτῷ χάριτας ὀφείλω. ἡ προδιδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Ἰωαν. ιβ. λβ.
Τί οὖν; ὑπὲρ σοῦ μόνον ἐσταυρώθη; οὐκ αὐτὸς λέγει, Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν; ἢ σὺ αὐτὸς εἶπας, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν ἑαυτόν; ναί φησιν· οὐκ ἐναντιοῦμαι ἑαυτῷ ταῦτα φημί, ἀλλὰ τὴν ἐμαυτοῦ πόθου προδιαμυθούμενος. ἔστι γὰρ πάλιν ἡ ἕτερόν τι δηλοῦν τῶν ἐξηρημένων ἡμᾶς διδάσκοντα. ἀνωτέρω μὲν εἰπὼν προεῖδε πᾶς, ὅτι ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, σωζῶν λέγει ἑαυτὸν παρέδωκεν· ἐκφεύγει, ἵνα τὴν ὁμοίωσιν δείξῃ ἡ τὴν ὁμοτιμίαν παρῇς ἡ ἡσύ, ἡ τὴν οἰκονομίαν ἀρίζηται, ἐπεὶ ἡ ἀλλαχοῦ φησι, ἡμόμβως ὑπήκοος μέχρι θανάτου, πρωταχοῦ τὴν οἰκονομίαν πιστούμενος· σώζων τὸ προέδωκεν ἑαυτὸν τεθεικεν, ἵνα δείξῃ, ὅτι ἑκὼν τὸ πάθος κατεδέξατο, ἡ οὐκ ἀνάγκῃ οὐδὲ βίᾳ, ἀλλὰ βουλόμενος ἡ θέλων πρωτὴ τῶν ἀνθρώπων ἡμῖν τὴν σωτηρίαν προξενῆσαι; τὸ γεγραμμένον ἐμεινέ. ποίαν οὖν καὶ ἀξίαν ἀγάπην ἐπιδείξασθε δυνησόμεθα, πρὸς τὸ ὅτι πλουσίαν τὴν πρὸς ἡμᾶς ἀγάπην ὑπεδείξαμεν; καὶ γὰρ αὐτὴν τὴν ψυχὴν προσήκαμεν κατεδεξώμεθα ὑπὲρ τε τῶν αὐτοῦ νόμων ἡ τὴν φυλακὴν τὸ σῴζειν τὸ πρὸς αὐτὸν δοθεισῶν, οὐδὲ ὅτι πρὸς τὸ μέζον φθάσαι δυνησόμεθα τὴν ἀγάπης, ἵνα πρὸς τὴν ἡμετέραν ἐπεδείξατο φύσιν. αὐτὸς μὲν γὰρ θεὸς ὢν ὑπὲρ δούλων τὸ κατεδέξατο, ἡ δεσπότης τυγχάνων ὑπὲρ δούλων, ἐκ ὑπὲρ φίλων ἁπλῶς, ἀλλὰ ἡ ἀγνωμόνων, ἡ πολλοῦ ἡ ἀσυνδότου τὴν ἔχθραν ὑπεδεικνυμένων. ἡ αὐτὸς μὲν προλαβὼν εἰς ἀναξίους ἡ μυεῖα ἐπιστρόφως τοσαύτην ἐπεδείξατο· ἡμᾶς δ', ὅταν ἀν ὑπεδείξασθαι δύνηθῶμεν, οὐδὲν μέγα ποιῶμεν πρὸς φθάσαντα ταῖς τοσαύταις εὐεργεσίαις ἡμᾶς φιλοτιμήσασθαι, ἀμείβεσθαι σπουδάζοντες. καὶ γὰρ πρὸς ἡμᾶς, ἂν ἄρα ἀνταποδῶσιν, ἀμοιβή τίς ὅστι ἡ ὀφειλή· καὶ δ' πρὸς αὐτὸν, χάρις ἡ εὐεργεσία ἡ δωρεᾶς μέγεθος. ταῦτα τοίνυν ἅπαντα λογιζόμενοι, ἀγαπήσωμεν Χριστὸν καθαρῶς Παῦλος αὐτὸν ἠγάπησε, ἡ μηδεὶς ἡμῶν τῶν πρόσθεν ἔστω * λόγῳ, ἀλλὰ διηνεκῶς τὸν" αὐτὸν πόθον ἐχέτω ἐμοὶ ἱδρυμένον ἡμῶν τῇ ψυχῇ. οὕτω γὰρ ἂν ἡ πόθων κατασχεθησόμεθα τῶν τοῦ πρόσθεν βίου, "ὅπως ἡ τὸν λοιπὸν καθαρῶς Χριστῷ ὑφηνίον οἰκήσωμεν, ὅτε πρὸς τῶν χρειῶν σωζόμενοι, ὅτε πρὸς τῶν λυπηρῶν συστελλόμενοι ἀλλὰ πάντα προσδοκῶντες, πρὸς Χριστὸν ποθούμενον ἡμῶν δεσπότην ἐντεῦθεν ἐπειγόμεθα· ἐ μήτε πρὸς αὐτοῦ τὴν μέλλησιν δυσχεραίνωμεν, ἀλλ' ἐρῶμεν καὶ Χριστοῦ μακάριον τοῦτον ἡ ἡμεῖς, ὅτι ὁ νῦν ζῶμεν σὺν Χριστῷ, σὺν πίστει ζῶμεν τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντος ἡμᾶς, ἐ προδόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα ἡ τὸν πρόσθεν βίον ἀλύπως διανύσωμεν, ἡ τῶν μελλόντων ἀγαθῶν ἀπολαύσωμεν κατηξιωθῶμεν, χάριτι ἐ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ἔπρεπεν τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν ἡ ἀεὶ, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λε. ΕΓΕΝΕΤΟ ΔΕ ΕΝ ΤΗ ΒΑΣΙΛΕΙΑ ΑΜΑΡΦΑΘ βασιλέως Σεναὰρ, Ἀριὼχ βασιλεὺς Ἀλασὰρ ἡ Χοδολλογόμορ βασιλεὺς Ἐλὰμ ἡ Θαργὰλ βασιλεὺς τῶν ἐθνῶν ἐποίησαν πόλεμον μετὰ τοῦ βασιλέως τῶν Σοδόμων. χεζ. ιδ.

ΜΕγα ἀγαθὸν, ἀγαπητοὶ, τῶν θείων γραφῶν" ἡ ἀνάγνωσις. τοῦτο τὴν ψυχὴν φιλόσοφον ἀπεργάζεται, τοῦτο βελτίονα κατασκευάζει ⟨W⟩ δῆλον, τοῦτο ποιεῖ τοὺς μηδὲν τῶν παρόντων ἐπαΐοντας, τοῦτο διηνεκῶς σκῆψιν ποιεῖ λαμπάδας ⟨W⟩ λογισμὸν τὸν ἡμέτερον, καὶ τοὺς τὴν τοιαύτην ἀμοιβὴν ὁρῶντας ἀπόντα ἡμᾶς διαπράττεσθαι, καὶ τοὺς οὐδὲ τῆς ἀρετῆς πόνους μετὰ πολλῆς ἐγχειρεῖν τῆς προθυμίας. ἐντεῦθεν γὰρ ὅτι μαθεῖν ἀκριβῶς τῆς ταχείας ἀνιλήψεως τοῦ θεοῦ τὴν τοσαύτην, τῶν δικαίων τὴν ἀνδρείαν, τὸ δεσπότου τὴν ἀγαθότητα, καὶ τῶν ἀμοιβῶν τὸ μέγεθος. ἐντεῦθέν ἐστιν εἰς ζῆλον καὶ μίμησιν διεγερθῆναι τῆς φιλοσοφίας τὴν θυμαίων ἀνδρῶν, καὶ μὴ ναρκᾶν τοὺς οὐδὲ τῆς ἀρετῆς ἀγῶνας, ἀλλὰ θαρρεῖν καὶ τοῦ σκοπὸν τὸν τοῦ θεοῦ ἐποπτεύειν. διὸ, παρακαλῶ, μετὰ πολλῆς ἀσυδησίας τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν ποιώμεθα. ὅπως γὰρ καὶ τῆς γνώσεως ὀφείλομεν ἐφίεσθαι, εἰ σωφρόνως ὀφείλομεν τὰ ἐγκείμενα. οὐδὲ γὰρ ὅτι ⟨W⟩ μετὰ ἀσυδησίας καὶ πολλοῦ πόθου τοῖς θείοις ἐντυγχάνοντα παρεισφρῆσαί ποτε, ἀλλὰ καὶ αὐθέκαστος ἡμῖν μὴ γένηται διδάσκαλος, αὐτὸς ὁ δεσπότης ἄνωθεν ἐμβατεύων ταῖς καρδίαις ταῖς ἡμετέραις φωτίζει τὴν διάνοιαν, καταγάζει ⟨W⟩ λογισμὸν, ἀκαλύπτει τὰ λανθάνοντα, διδάσκαλος ἡμῖν γίνεται τῶν ἀγνοουμένων· μόνον ἐὰν ἡμεῖς τὰ πρὸς ἑαυτὸν εἰσφέρειν βελώμεθα. Μὴ καλέσητε γάρ, φησι, διδάσκαλον ὑμῶν ἐπὶ τῆς γῆς. ἐπειδὴ οὖν λαβεῖν μετὰ χεῖρας βιβλίον πνευματικὸν, σωτείναντες ἑαυτῶν τὴν διάνοιαν, καὶ σωαγαγόντες ⟨W⟩ λογισμὸν, καὶ πᾶσαν βιωτικὴν ἔννοιαν" ἀποθέμενοι, ὅταν τοῦ ἀναγνῶναι ποιώμεθα μετὰ πολλῆς τῆς βαθείας, μετὰ πολλῆς τῆς προσοχῆς, ἵνα δυνηθῶμεν ἀπὸ τοῦ ἀγίου πάσης ὁδηγηθῆναι ὅτι τοῦ καταύσαι τῶν" γεγραμμένων, ⟨C⟩ πολλοῦ ἄρα ἦν τοῦ ὠφέλειαν καρπώσασθαι. καὶ γὰρ ὁ Εὐνοῦχος ἄρα ὁ βάρβαρος ὁ τῆς βασιλίσσης αἰθιόπων, ἐν τοσαύτῃ τυγχάνων περιφανείᾳ, καὶ ὅτι τοῦ ὀχήματος φερόμενος ἐπὶ ἐκείνῳ τῷ χαμαρῷ τῆς ἀναγνώσεως ἠμέλει, ἀλλὰ τὸν προφήτην ἔχων μετὰ χεῖρας πολλοῦ ἐποιεῖτο τοῦ ἀσυδοῦ" τὰ τῆς ἀναγνώσεως, καὶ ταῦτα οὐκ εἰδὼς τὰ ἐγκείμενα· ἀλλ' ὅμως ὅτι πρὸς ἑαυτὸν πολὺ εἰσήνεγκε, τοῦ ἀσυδοῦ, τὴν προσοχὴν, ἐπέτυχε τοῦ καθοδηγήσαντος. ἐννόησον γάρ μοι ὅσον ἦν μήτε ὁδοιποροῦντα ἀμελῆσαι τῆς ἀναγνώσεως, καὶ ταῦτα ἐπ' ὀχήματος καθήμενον. ἀκουέτωσαν ⟨C⟩ μηδὲ ὅτι τῆς οἰκίας τοῦτο ποιῆσαι καταδεχόμενοι, ἀλλὰ νομίζοντες πάρεργον εἶναι τοῦ τούτων ἀνάγνωσιν· καὶ ὅταν ὁ γυναικὶ συνοικῇ, καὶ στρατείᾳ καταλήφθαι, καὶ παιδίων φροντίζειν, καὶ οἰκετῶν ἐπιμελᾶσθαι, καὶ ἑτέρων πραγμάτων ἔχειν φροντίδα, μὴ προσήκειν αὐτοῖς τοῦ τοῦ θείων γραφῶν ἀνάγνωσιν ἔχειν ἀσυδοῦ. ἰδοὺ γὰρ εὐωχῆς, ὁ θεσπέσιος βάρβαρος, ἀμφότερα ἱκανὰ εἰς πολλοῦ ῥαθυμίαν ἐμβαλεῖν, καὶ μετὰ τούτων ἡ πολλὴ περιφάνεια, τὸ πλοῦτος ἡ περιουσία, αὐτὸ δὲ ἐν ὁδοιπορείᾳ εἶναι, καὶ ἐπ' ὀχήματος φέρεσθαι (οὐδὲ γὰρ ῥᾴδιον ἀναγνώσει προσέχειν τῷ ὄντως ὁδοιποροῦντι, ἀλλὰ καὶ σφόδρα δυσχερές) ἀλλ' ὅμως ὁ πόθος καὶ ἡ πολλὴ ἀσυδὴ πολλὰ καὶ κωλύματα ἐκποδὼν ἐποιεῖτο, καὶ εἶχετο τῆς ἀναγνώσεως, καὶ οὐκ ἔλεγε ταῦτα, ἃ νῦν πολλοὶ λέγουσιν· οὐ νοῶ τὰ ἐγκείμενα· οὐ δύναμαι συνιέναι τὸ βάθος τῶν γεγραμμένων· τίνος ἕνεκεν ἁπλῶς καὶ εἰκῇ τὸν κάματον ὑπομένω, ἀναγινώσκων καὶ οὐκ ἔχων τὸν ὁδηγήσαι δυνάμενον; οὐδὲν τούτων ἐλογίσατο ὁ βάρβαρος μὴν τοῦ γλαφυροῦ, φιλόσοφος ὢν τοῦ διανοίας· ἀλλ' ἐννοήσας, ὡς οὐ περιοφθήσεται, ἀλλὰ ταχέως ἀπολαύσει τῆς ἄνωθεν ροπῆς, εἰ τὰ πρὸς ἑαυτὸν καὶ τὰ εἰς δύναμιν

χ. ἡ γλῶττα.

Ματθ. κγ. η.

Πρ. η. κα.

χ. ἀποκάμνει,

χ. ἐγκλίνει

χ. κατανοεῖ τὰ τοῦ ἀσυδοῦ,

δωάμιν ὑπιδείξατο, εἶχετο τῆς ἀναγνώσεως. δηλῶ τοῦτο ὁ φιλόθεος δεσπότης ὁρῶν αὐτοῦ Ⓦ πόθον ὄντα τοιοῦτον, ὃν κατέλιπεν ἀποθνήσκων, ἀλλ' οὐδέπω αὐτῷ Ⓦ διδάσκαλον ἔπεμψε. σὺ δέ μοι σκόπει τὴν τοῦ θεοῦ σοφίαν, πῶς ἔμιξεν ἑκάτερον τοῖς πρὸ ἑαυτοῦ εἰσενεγκών, καὶ τότε τὴν οἰκείαν δύναμιν ὑπιδείκνυται. ἐπεὶ οὖν τὰ πρὸ ἑαυτοῦ πεφώτα ἀπήρτισε, λοιπὸν ὤφθη ὁ ἄγγελος κυρίου λέγων τῷ Φιλίππῳ, ἀναστὰς πορεύου ὑπὲρ μεσημβρίαν τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ιερουσαλὴμ εἰς Γάζαν (αὕτη ἐστὶν ἔρημος) καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ δυνάστης δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἐληλύθει προσκυνήσων εἰς Ιερουσαλὴμ, ἦν δὲ ὑποστρέφων καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ησαΐαν. ὅσα πῶς ἀκριβῶς ἡμῖν διηγήσατο ὁ τοῦ βίβλου γράψας εἰπών, ὅτι Αἰθίοψ· ἵνα γνῶμεν ὅτι βάρβαρος ἦν. εἶτα φησιν, ὅτι δυνάστης, ὅτι ἐν ἀξιώματι μεγίστῳ καὶ προφανείᾳ ἐτύγχανεν. ὃς ἐληλύθει, φησί, προσκυνήσων εἰς Ιερουσαλήμ. ὅσα καὶ τὴν προφάσιν αὐτοῦ τῆς ἀποδημίας, ἱκανὴν οὖσαν δεῖξαι τὸ φιλόθεον αὐτοῦ τῆς γνώμης. ἰδοὺ γὰρ πόσην ὁδὸν τέλλεται, ὥστε τὴν προσκύνησιν ἀποδοῦναι τῷ δεσπότῃ. ἔτι γὰρ ἐνόμιζον ἐν ἑνὶ τόπῳ συγκεκλεῖσθαι τὴν λατρείαν, καὶ διὰ τοῦτο πολλὴν ὁδὸν τελοῦντες ἐκεῖ τὰς ψυχὰς ἀνέφερον. διὰ τι τοῦτο δὲ οὕτως παρεγένετο, εἶθα ὁ ναὸς ἦν καὶ ἡ λατρεία ἡ ἰουδαϊκή, ἵνα τὴν προσκύνησιν ἀποδῷ τῷ δεσπότῃ. καὶ ὅπως ἐπλήρωσε τὸ ποθούμενον, ἀκουσόμενον, φησι, καὶ καθήμενος ὑπὲρ τοῦ ἅρματος αὐτοῦ ἀνεγίνωσκεν. εἶτα ὑπισὰς ὁ Φίλιππος φησι πρὸς αὐτόν, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; εἶδες ψυχὴν μεμεμνημένην, οὐκ εἰδῆται μὴν τὰ ἐγκείμενα, ἐμνημόνευε δὲ τῆς ἀναγνώσεως, καὶ ποθοῦσαν ὑπιτυχεῖν τοῦ ὁδηγοῦντος διδασκάλου· καὶ [γὰρ] οὐδέπω ὁ ἀπόστολος ἦλθε τῆς ἐρωτήσεως διεγείρει αὐτοῦ τὸν πόθον. οὐ γὰρ ἄξιος ἦν τυχεῖν τοῦ ὁδηγοῦντος πρὸς τὴν τῶν ἐγκειμένων κατάληψιν, αὐτὴ ἡ ἀπόκρισις ὑδρὸς δηλοῖ. ὃ γὰρ ἀπόστολε εἰ πάντος, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις, καὶ μὴ οὐτέλοις ῥήματος προσιόντος, οὐκ ἐδυσχέρανεν, οὐκ ἠγανάκτησεν, οὐκ ἐνόμισεν ὑβρίζεσθαι, ὃ πολλοὶ τὴν αἰσθησιν πάσχουσι, καὶ πολλάκις αἰσχίω) ὂν διηνεκεῖ ἀγνοίᾳ τυγχάνειν, αἰσχυνόμενοι τὴν ἀγνοιαν ὁμολογῆσαι, καὶ παρὰ τοῦ διδάξαι δυναμένων μαθεῖν. ἀλλ' ὅτος οὐδὲν τούτων πέπονθεν· ἀλλὰ μετὰ πάσης ὑπιεικείας καὶ θυλαβείας τὴν ἀπόκρισιν ποιεῖ), δεικνὺς αὐτοῦ τὴν ψυχὴν κατάσασιν. καὶ φησι πῶς γὰρ ἂν δυναίμην, ἐάν μή τις ὁδηγήσῃ με; καὶ ὅ μόνον ἀπεκρίνατο μόνον μετ' ὑπιεικείας, παρέδραμε δὲ, ἀλλὰ μᾶλλον τοῖς οἰκείοις ζήλοις ἐδείκνυμενος ἡμῖν τὴν ἀρετὴν, ταῦτα εἰπὼν παρεκάλεσεν ὁ δυνάστης, ὁ βάρβαρος, ὁ ἐπὶ ὀχήματος φερόμενος τὸν εὐτελῆ φαινόμενον, τὸν ἀπὸ τῆς ἐσθῆτος εὐκαταφρόητον, ἀναβάντα καθίσαι σὺν αὐτῷ. εἶδες ψυχῆς προθυμίαν, εἶδες εὐλαβείας ὑπόστασιν, εἶδες βαρβάρου γνώμην φιλόθεον, πῶς ἐπλήρου ἐκεῖνο τὸ παλαιὸν σοφοῦ λόγος εἰρημένον· Εὰν ὑδηγήσῃ σύνεσιν, ὁρθὴν ὁδηγήσει πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτενεῖ ὁ ποιῆσας. Sup. p. 25.

χ. προφάσεως, εἶδες πῶς δικαίως ὁ προφήτης εἶδες πῶς δικαίως ἀπήλαυσε τῆς ἄνωθεν ῥοπῆς, εἶδες πῶς οὐδὲν ἐλείπετο τῶν ὀφειλόντων πρὸς αὐτὸν εἰσενεχθῆναι. διὰ τοῦτο λοιπὸν ὑπιτυχὼν τοῦ διδασκάλου, ἐμεμάθηκε μετὰ ἀκριβείας καὶ τῶν ἐγκειμένων τὴν δύναμιν, καὶ ἐφωτίζετο τὴν διάνοιαν. ἴδετε ὅσον ὄντως ἀγαθὸν μετὰ προσοχῆς καὶ σπουδῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι τῶν θείων γραφῶν. διὰ γὰρ τοῦτο καὶ τὴν τῶν βαρβάρων τάξιν ἰσοχ. μίων ὑμῶν παρήκαμεν, εἰσαι εἰς μέσον ἤγαγεν, ἵνα μὴ ἐπαισχυνθῶμεν ἅπαντες ζηλωταὶ γενέσθαι τοῦ αἰθίοπος, τοῦ εὐσεβοῦς, μηδὲ ἐν ὀδοιπορίᾳ τῆς ἀναγνώσεως ἀμελεῖν ὄντος. ἱκανὸς γὰρ ὅτος ὁ βάρβαρος ἅπασιν ἡμῖν διδάσκαλος γενέσθαι, καὶ τοῖς τὸν ἰδιωτικὸν βίον ἐπιμεμηρημένοις, καὶ τοῖς ἐν γραφαῖς κατειλεγμένοις, καὶ ἐν προφανείᾳ τυγχάνουσι, καὶ πᾶσιν ἁπλῶς

πλως ὀκ ἀυδράσι, ἀλλα᾽ κ᾽ γυναιξὶν, ὅσῳ κ᾽ διηνεκως οἴκοι διατρίβουσιν, ἀλλα᾽ κ᾽ τοῖς τὸν μοναχικὸν βίον ἐπδημηκόσιν, ἵνα μαθήσωσι πάντες, ὡς ὀδὲν ἡμεῖς κωλυμα γίνεται τοῖς τῆ θείων λογίων ἀναγνωσιν· ἀλλα᾽ δυνατὸν μὴ μόνον ὀπὶ οἰκίας, ἀλλα᾽ κ᾽ ἐπ᾽ ἀγορᾶς βαδίζοντας, κ᾽ ὁδοιποροῦντα παιδεύεσθαι, κ᾽ ἐν στρατοπέδοις πλειόνων τυγχάνοντας, κ᾽ τοῖς ἁγίασι συμπλεκομένους τῆς τῶτων ἐχεσθαι σοφίας, ἵνα τὰ πρὸς ἑαυτὸν εἰσφέροντες, ταχέως κ᾽ τοῦ ὁδηγοῦντος ὀπιτύχωμεν. ὁρᾶν γὰρ ἡμᾶς ὁ δεσπότης τὸν τοιᾶτα πνευματικὰ ὀπιθυμίαν ἀ τοιοῦσαν, ἀλλα᾽ πρέξει τὸν ἀῦλον ἐλλάμψιν, καὶ φωτεῖ ἡμῶν τὸν ἀχάνοιαν. μὴ τοίνυν ἀμελῶμεν, ὦ ἀγαπηλοὶ, τῆς ἀναγνώσεως, ἀλλα᾽ κἂν τι ἐνδῶμεν τῶν ἐγκειμένων τὸν δυνάμιν, κἂν τι ἀγνοῶμεν, συνεχῶς ταῦτα ὀπιῶμεν. ἡ γὰρ διηνεκὴς μελέτη αὐξάλειπτον ἐργάζεται τὸν μνήμιν· κ᾽ πολλάκις ὅπερ σήμερον βύβλῳ ὀκ ἰσχύσαμεν ἀναγνῶναι, τῦτο πάλιν αὖριον ἐπελθόντες ἀδεῶς βυβλῳ, ὦ φίλαν θεοῦ τοῦ ἀοράτου ἡμῶν τὸν ἀχάνοιαν φωτίζοντος. ἀλλα᾽ ταῦτα μὲν νῦν τοῖς ὈΟ σιωπῇ ποιῆσαι τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν, [ἁρμοζόντως] εἰρήκαμεν. ἵνα δὲ μάθητε ὅτι καὶ ὀπὶ τῶν ἄλλων ἁπάντων τῦτο τῷ δεσπότῃ ἔθος, ἐπειδὴ τὰ παρ᾽ ἑαυτῶν εἰσενέγκωμεν, μετὰ δαψιλείας τὰ πρὸς ἑαυτὸν χορηγεῖν [ὁ αὐτὸς], κ᾽ ὅταν ὀπὶ τὴν ἀναγνώσεως πεποίηκε μετὰ πολλῆς τὴν ταχύτητος πέμψας τὸν διδάσκαλον τῷ βαρβάρῳ, τῦτο κ᾽ ὀπὶ τὸν τὸν ἀρετὴν μετιόντων ἐργάζεται, ἄκυσον τῶν νῦν λεγομένων. ἀλλ᾽ ἵνα σαφέστερος ἡμῖν ὁ λόγος γένηται σοῦ, ἀκόλουθον αὖ εἶη πάλιν τὰ χθὲς τὸν πατριάρχαν εἰς μέσον ἀγαγεῖν, κ᾽ τῆς ἀκολουθίας τῶν χθὲς ἡμῖν εἰρημένων νῦν ὀπιλαβέσθαι. κ᾽ γὰρ ἴστε ὀκ τῶν ἤδη ῥηθέντων, πῶς τῆς πολλῆς ὀκείπης ταπεινοφροσύνης, ἣν τοῖς ΩΩ Λὼτ ἐπεδείξατο τοῦ χωρήσας αὐτῷ τῶν τοιούτων, πολλῆς ἀπήλαυσε τῆς ἄνωθεν ἀμοιβῆς, ὑπόχεσιν δοξάσθμος πολλῷ τῷ μέτρῳ χαρισάμενος τὰ πρὸς αὐτὸν γεγενημένα. ἴδωμεν ὖ λοιπὸν κ᾽ ὀκ τῶν σήμερον ἀνεγνωσμένων πάλιν τὸ δικαίῳ τὸν ἀρετὸν, ἵν᾽ ὅτου τοιοῦτοι, κατα μάθωμεν τὸ ἄφατον τοῦ θεοῦ τοῖς αὐτὸν γεγενημένοις κηδεμονίαν. παμβλῶν γὰρ ἀπάντων ἡμᾶς ὀχὶ τῆς τῦ πατριάρχου [τῦτο] φιλοσοφίας, ἀφέσεως αὐτὸν καθ᾽ ἕκαστον χρεῶν τοιοῦτον ὀπιδείκνυσθαι τῆς οἰκείας γνώμης τὸ φιλόθεον, ὃ τότε τὴν πρὸς ἑαυτὸν ἀμοιβὴν εἰσφέρει· ἵνα ταυτὸ ἀσωθῶμεν κ᾽ αὖθὶ μιμούμενοι τὸν πατριάρχαν τοιοῦτον ἐγχειρῶν τοῖς τοῦ τῆς ἀρετῆς πόνοις, κ᾽ ὅτως ἀναμένειν τῶν πρὸς αὐτὸ ἀμοιβῶν τὴν αὐλίδοσιν. ἀλλ᾽ ὥρα λοιπὸν αὐτὰ ὑμῖν τοιοῦτον τὰ σήμερον ἀνεγνωσμένα. ὀδὲ γὰρ ἐρωλυσίας δεῖται χρόνου, ἀλλα᾽ κ᾽ αὐτὴ ἡ ἀνάγνωσις ἱκανὴ δεῖξαι τῆς τῦ δικαίῳ ἀρετῆς τὸ ὑπερβολήν.

χεζ. ιδ'. 1 Ἐγένετο δὲ, φησὶν, ἐν τῇ βασιλείᾳ τῇ Ἀμραφὰλ βασιλέως Σεναάρ, Ἀριὼχ βασιλεὺς Ἀλασάρ, κ᾽ Χοδολογόμορ βασιλεὺς Ελαμ, κ᾽ Θαργὰκ βασιλεὺς ἐθνῶν 2 ἐποιήσαντο πόλεμον μετὰ Βαλὰκ βασιλέως Σοδόμων κ᾽ μετὰ Βαρσὰκ βασιλέως Γομόρρας κ᾽ μετὰ Σεναὰρ βασιλέως Ἀδαμὰ κ᾽ Σύμορβα βασιλέως Σεβοὶμ κ᾽ βασιλέως Βαλὰκ· αὕτη ἐστὶ Σιγώρ. 3 Πάντες ὗτοι συνεφώνησαν ὀπὶ τὸν φάραγγα τὸν ἁλυκόν. αὕτη ἡ θάλασσα τῶν ἁλῶν.

Σκόπει τῆς γραφῆς τὴν ἀκρίβειαν, ὅπως κ᾽ τῶν ὀνομάτων τῶν βασιλέων ἐμνημόνευσε, κ᾽ [τῶν ὀνομάτων] τῶν ἐθνῶν, οὐχ ἁπλῶς, ἀλλ᾽ ἵνα μάθῃς ὀκ τῆς τῶτων προσηγορίας τὴν βάρβαρον αὐτῶν γνώμιν. ὗτοι γὰρ, φησὶ, τοῖς τὸν Σοδόμων βασιλέα κ᾽ τοῦ λοιποὺς ἐποίησαν πόλεμον. Εἶτα κ᾽ τὸν αἰτίαν δίδάσκει τοῦ πολέμου, ὅθεν τὸν ἀρχὴν ἔσχεν.

4 Δώδεκα γὰρ ἔτη, φησὶν, ἐδούλευον τῷ Χοδολογόμορ βασιλεῖ Ελαμ· τῷ δὲ τρισκαιδεκάτῳ

χαὶ τῷ ἔτει ἀπέστησαν. 5 Ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἦλθε Χοδολλογόμορ καὶ οἱ βασιλῆς οἱ μετ' αὐτοῦ καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσταρωθ καὶ Ἀρνασὴ καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς, καὶ τοὺς Ομμαίους ἐν αὐτῇ τῇ πόλει, 6 καὶ τοὺς Χορραίους τοὺς ἐν τοῖς ὄρεσι Σηίρ, ἕως τῆς Τερεμίνθου τῆς Φαραμ, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ. 7 καὶ ἀναστρέψαντες ἦλθον ἐπὶ τὸ πηγὴ τῆς κρίσεως. αὕτη ἐστὶ Κάδης. καὶ κατέκοψαν πάντας τοὺς ἄρχοντας Ἀμαλὴκ, καὶ τοὺς Ἀμορραίους τοὺς κατοικοῦντας ἐν Ἀσασονταμάρ.

Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὰ εἰρημένα, μηδὲ νομίσωμεν ἀνωφελῆ εἶναι τὴν διήγησιν. ἕστι δὲς γὰρ ἡ θεία γραφὴ μετ' ἀκριβείας ἅπαντα ἡμῖν διηγήσατο, ἵνα μάθωμεν τὰ βαρβάρων τούτων τὴν ἰσχύν, καὶ ὅσον τὸ ἀνδρεῖον ἐπεδείξαντο, καὶ μετὰ πόσης σφοδρότητος κατὰ πόλεμον ὥρμησαν, ὡς καὶ τοὺς γίγαντας, τότ' ἐστὶ τοὺς ἰσχυροὺς καὶ τὴν τοῦ σώματος ἕξιν, καταγωνίσασθαι, καὶ πάντα τὰ ὀχυρὰ οἰκειώσασθαι ἔθνη ἐκπώσασθαι. καθάπαξ γὰρ Χαμαΐρραις σφοδρῶς ἐπελθὼν ἅπαντα κατεσύρει καὶ ἀπώλλυσι, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι βάρβαροι πᾶσι τούτοις τοῖς ἔθνεσιν ἐπελθόντες, πάντας ἀρδὴν ἀπώλεσαν, ὡς καὶ τοὺς ἄρχοντας τῶν Ἀμαλήκιτῶν καὶ τοὺς ἄλλους ἅπαντας ἐκπώσασθαι. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τί μοι ὄφελος ἀπὸ τοῦ γραφῆναι τῶν βαρβάρων τὴν ἰσχύν; καὶ οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ἡ γραφὴ ταῦτα τῇ διηγήσει ἐγκατέμιξεν, οὐδὲ μάτην ἡμᾶς νῦν παρελαβόντες προεκυρώμεθα ὑμᾶς μεμνῆσθαι τῆς τούτων ἀνδρείας· ἀλλ' ἵνα παιδευθέντες τῆς διδασκαλίας μάθητε καὶ τῆς τοῦ θεοῦ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τοῦ πατριάρχου τὴν ἀρετήν. παρὸς τούτους οὖν, φησι, τὸν τοσαύτην δύναμιν κεκτημένους, καὶ τοσαῦτα ἔθνη ἐκπώσαμένους

8 Ἐξῆλθε προσβάλλεσθαι ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας καὶ Σεβοεὶμ καὶ Βαλὰκ (αὕτη ἐστὶ Σιγὼρ) καὶ παρετάξαντο αὐτοῖς ἐν τῇ κοιλάδι τῇ ἁλυκῇ εἰς πόλεμον 9 πρὸς Χοδολλογόμορ, καὶ Θαργὰκ, καὶ Ἀμραφὰλ, καὶ Ἀριώχ. οἱ τέσσαρες βασιλῆς πρὸς τοὺς πέντε. 10 Ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ, φρέατα ἀσφάλτου.

Εἶτα ἵνα μαθωμεν, πῶς καταπλαγέντες αὐτῶν τὴν ἀνδρείαν καὶ τῆς δυνάμεως τὴν ἰσχὺν, εἰς φυγὴν ἐτράπησαν, φησὶν ἡ γραφή·

Καὶ ἔφυγον ὁ βασιλεὺς Σοδόμων καὶ Γομόρρας, καὶ ἐνέπεσον ἐκεῖ, ἔνθα τὰ φρέατα. οἱ δὲ καταλειφθέντες εἰς τὸ ὄρεινὸν ἔφυγον.

Εἰδὲς πόσον τῶν ἀνδρῶν ἡ ἰσχὺς, πῶς καὶ ὀξὺ αὐτῆς τῆς προσβολῆς καταπλαγῆναι αὐτοὺς παρεσκεύασαν καὶ εἰς φυγὴν τραπῆναι πεποιήκασιν. ὅθεν λοιπὸν πᾶσι μετὰ πάσης εὐκολίας, φυγάδων ἀπάντων γεγενημένων, τὰ αὐτῶν ἅπαντα λαβόντες ἐκφοι ἐπανῆλθον.

11 Ἔλαβον γὰρ, φησι, [καὶ τὸ ὄρεινὸν καὶ] πᾶσαν τὴν ἵππον Σοδόμων καὶ Γομόρρας, καὶ πάντα τὰ βρώματα αὐτῶν, καὶ ἀπῆλθον. 12 Ἔλαβον δὲ καὶ Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ Ἄβραμ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ, καὶ ἀπῴχοντο. ἦν γὰρ κατοικῶν ἐν Σοδόμοις.

Ἰδοὺ ὅπερ ἔμπροσθεν ἔλεγον, εἰς ἔργον ὀξέως νεῦν· ὅτι οὐδὲν ἀπώνατο ὁ Λὼτ ἀπὸ τῆς τοῦ προφητείου ἐκλογῆς, ἀλλὰ διὰ αὐτῶν τῶν πραγμάτων ἐπαιδεύετο τὴν τοῦ προφητείου μὴ ἐρᾶν. οὐ μόνον γὰρ αὐτὸν ἐκ τούτου οὐδὲν ὄφελος γέγονεν, ἀλλ' ἰδοὺ καὶ αἰχμάλωτος ἀπήχθη, καὶ ἐμέμνητο μὲν τῶν ἔργων, ὅτι πολλῷ βέλτιον ἦν αὐτῷ τῆς τοῦ δικαίου Σωσοίας ἀπολαύειν, ἢ χωριζόντι καὶ ἐν ἐλευθερίᾳ γεγενῆσθαι τοσούτων περιεχθῆναι τῶν συμφορῶν. ἰδοὺ γὰρ ἐχωρίσθη τοῦ πατριάρχου, καὶ ἐνόμισεν ἐν πλείοσιν εἶναι ἀδεία καὶ

τῶν

τῶν πεφυτειῶν ὑπῆτε τυγχάνειν τῇ ὑποσείᾳ, ἢ ἀληθὲς αἰχμάλωτος, ἄοικος, ἀπέστιος γίνεται· ἵνα μάθῃς ὅσον ὅτι κακὸν ἡ ἀμίρεσις, καὶ ὅσον ὅτιν ἀγαθὸν ἡ ὁμόνοια· καὶ ὅτι πεφυκεν μὴ ὑπιπτάλαν τοῖς μείζοσιν, ἀλλ' ἀγαπᾶν ἐλαττῶσθαι μᾶλλον. ἔλαβον γάρ, φησι, (Ⓐ) Λὼτ, καὶ τὸν ἀποσκευὴν αὐτοῦ. πόσῳ μᾶλλον βέλτιον ἦν ζωεῖναι τῷ πατριάρχῃ, καὶ πάντα καταδέχεσθαι ὑπὲρ τοῦ μὴ διαστασθῆναι τὸν μεταξὺ ὁμόνοιαν, ἢ χωρισθέντα καὶ τὰ πεφτεῖα ἐκλεξάμενον, οὕτως ζωστοῖς κινδύνοις πεφιβληθῆναι, ἢ ὑπὸ βαρβάρων ἡμέρας;

13 Παραγενόμενος δέ τις, φησιν, τῶν διασωθέντων ἀπήγγειλε τῷ Ἄβραμ τῷ περάτῃ. αὐτὸς γὰρ κατῴκει πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ Ὁμορῦ, τοῦ ἀδελφοῦ Ἐσχὼλ, καὶ ἀδελφοῦ Ἀυναν, (Ⓐ) ἦσαν συνωμόται τῷ Ἄβραμ.

Πῶς τοσοῦτος πολέμου συγκροτηθέντος οὐκ ἔγνω ὁ πατριάρχης; ἴσως πολὺ ὂν ἐν μέσῳ διάστημα ἐτύγχανε, δι' ὃ καὶ ἠγνόησεν. ἐλθὼν δέ τις ἀπήγγειλε τῷ Ἄβραμ τῷ περάτῃ, ἵνα ἡμᾶς ἀναμνήσῃ, ὅτι ἀπὸ τῆς Χαλδαίας ἐπῆλθοντι. ὅπερ γὰρ πέρασι τοῦ Εὐφράτου τὴν κατοίκησιν εἶχε, διὰ τοῦτο καὶ περάτης ἐλέγετο. ἦν δὲ ὠνὴρ ἐξ ἀρχῆς (Ⓐ) γηγενὴς * ὃ ὄνομα αὐτῷ ἐπέθεσαν, πεφυκότες αὐτοῦ τὴν διάθεσιν αὐτοῦ μετάνασιν. ὅπερ γὰρ περᾶν ἔμελλε (Ⓐ) Εὐφράτην, ἢ ὅτι τὴν Παλαιστίνην ἔρχεσθαι, διὰ τοῦτο ἦ Ἄβραμ ἐκαλεῖτο. σκόπει πῶς καὶ ἀπίστους ὄντας (Ⓐ) γηγενεῖς οὐκ εἰδότες, ἀλλ' ἐκ τῆς θυμηχάνου θεοῦ σοφίας ὁδηγούμενοι ὃ ὄνομα ἐπέθεσαν τῷ παιδί, καθάπερ καὶ ὁ Λάμεχ τῷ Νῶε. ἢ τοῦτο γὰρ τῆς τοῦ θεοῦ φιλανθρωπίας, ὃ ἦ διὰ ἀπίστων πολλάκις πεφυκὸς ἐνεργεῖν τὰ μετὰ πολλῶν ἐσόμενα χρόνον. ἀπήγγειλεν οὖν ἐλθών, φησί, τῷ περάτῃ τὰ γεγενόμενα, τὴν ἀδελφιδοῦ τῶν αἰχμαλωσίαν, ἦ τῶν βασιλέων ἐκείνων τὴν πολλὴν δυναστείαν, ἦ τὴν ἐν Σοδόμοις πόρθησιν, ἦ τὴν μετ' αἰχμῆς φυγήν. αὐτὸς γὰρ κατῴκει πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ Ὁμορῦ τοῦ ἀδελφοῦ Ἐσχὼλ καὶ Ἀυναν, (Ⓐ) ἦσαν συνωμόται τῷ Ἄβραμ. ἀλλ' ἴσως ἐν τούτοις αἰτιᾶταί τις ζητήσεις, ὅτιος ἔνεκεν μόνος τῶν ἐν Σοδόμοις πεφθημότων ὁ δίκαιος Λὼτ εἰς τὴν αἰχμαλωσίαν ἀπαίρεται. οὐκ ἀπλῶς δὲ τοῦτο, οὐδὲ εἰκῇ, ἀλλ' ἵνα μάθῃ δι' αὐτῶν τῶν πεφγμάτων ὁ Λὼτ καὶ τοῦ πατριάρχου τὴν ἀρετὴν, καὶ δι' αὐτοῦ καὶ ἕτεροι διασωθῶσι, καὶ ἵνα παιδαθῇ μὴ τῶν πεφτείων ἐφίεσθαι, ἀλλὰ παραχωρεῖν τῶν μειζόνων. ἀκουσώμεθα οὖν λοιπὸν τῶν ἑξῆς, ἵνα μάθωμεν καὶ τοῦ δικαίου τὴν ἀρετὴν, ἢ τοῦ θεοῦ τὴν ἄφατον συμμαχίαν. ἀλλὰ πεφσέχετε μετὰ ἀκριβείας τοῖς λεγομένοις, καὶ διωτείνατε ὑμῶν τὴν διάνοιαν. πολλὰ γὰρ ὅτι καὶ ταυτὸν ἐντεῦθεν κερδάναι, καὶ ὁκ ἂν τῶν τῷ Λὼτ συμβάντων ὠφεληθῆναι μηδέποτε διαπεσεῖν, εἴποτε δίκαιοι μὲν πειρασμοῖς πεπίεσται, φαῦλοι δὲ καὶ πονηροὶ διαφύγοιεν, μήτε ὁκ πάντως ἕτερον τὰ πεφτεῖα ὀπτίζειν, μήτε τῆς μετὰ τῶν δικαίων διασώσεως ἕτερόν τι πεφιμότερον ἡγεῖσθαι, ἀλλὰ καὶ δουλεύειν δεῖ, διωτεῖναι δὲ ἀναρέτοις λύσασι, τὸ ἐν ἐλευθερίᾳ τοῦτο λυσιτελέστερον εἶναι νομίζειν. ἢ μετὰ τοῦτων δὲ καὶ τὸν πατριάρχου μαθεῖν ἐντεῦθεν ὅτι τὴν πολλὴν ἀνεξικακίαν, τῆς φιλοσοργίας τὴν ὑπερβολὴν, τῆς ἀνδρείας τὸ μέγεθος, τῶν χρημάτων τὴν ὑπεροψίαν, τῆς πρὸς αὐτὸν τοῦ θεοῦ βοηθείας τὸ ἄφατον δυνάμεν.

14 Ἀκούσας δέ, φησιν, Ἄβραμ ὅτι ἠχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠριθμησε τοὺς ἰδίους οἰκογενεῖς τριακοσίους δέκα καὶ ὀκτὼ, 15 καὶ καταδιώξεν ὀπίσω αὐτῶν ἕως Δάν, καὶ ἐπέπεσεν ἐπ' αὐτοῦς τὴν νύκτα αὐτὸς καὶ (Ⓐ) παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοῦς ἕως Χωβὰλ, ἢ ἔστιν ἐξιτερὰ Δαμασκοῦ. 16 καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα

τα αὐτῷ, καὶ τὸν λαὸν καὶ τὰς γυναῖκας.

Ἐννόει μοι σὺν τούτοις, ἀγαπητέ, τῆς τοῦ δικαίου ἀνδρείας τὸ μεγαλόψυχον, ὅπως θαῤῥήσας τῇ τοῦ θεοῦ δυνάμει ὁ κατεπλάγη τοὺς ἀνδρῶν τὸ ἰσχυρὸν, μαθὼν τὸ ἔργον ἐποίησαν, ἀφέτερον μὲν καὶ τοὺς ἐθνῶν ἀπάντων ὁρμήσαντες, καὶ τοὺς Ἀμαληκίτας καὶ τοὺς λοιποὺς ἅπαντας καταγωνισάμενοι, ἔπειτα ἐπὶ τοὺς ἐν Σοδόμοις συμβαλόντες εἰς φυγὴν ἀνέτρεψαν καὶ πᾶσαν αὐτῶν ἀφελόμενοι τὴν ὕπαρξιν. διὰ γὰρ τοῦτο ἀφελόσθαι ὁ θεία γραφὴ πάντα τοῦτα ἡμῖν διηγήσατο, καὶ ὅσα διὰ τὰ αὐτῶν ἀνδρείας κατώρθωσαν, ἵνα μάθῃς ὡς ὁ σωματικὴ ἰσχὺς ὁ πατριάρχης τούτοις κατηγωνίσατο, ἀλλὰ τῇ πίστει τῇ εἰς τὸν θεὸν καὶ τῇ ἄνωθεν βοηθείᾳ τειχιζόμενος πάντα τοῦτα κατώρθωσεν, οὐχ ὅπλα κινήσας, καὶ τόξα καὶ βέλη καὶ δόρατα τείνας, καὶ ἀσπίδας περιβαλλόμενος, ἀλλὰ μετὰ τῶν ὁμογλώσσων. καὶ τίνος ἕνεκεν, φησὶν, ἠρίθμησε τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογλώσσους; ἵνα μάθῃς, ὅτι οὐκ ἁπλῶς ἀπάρτους ἔλαβεν, ἀλλὰ τοὺς οἰκογλώσσους τοὺς συναναστραφέντας τῷ Λὼτ, ἵνα μετὰ πολλῆς εὐνοίας τὸν ἐκδίκησιν ποιήσωνται, ὡς ὑπὲρ οἰκείου διακείμενοι λοιπὸν ἀγωνιζόμενοι. καὶ θαύμασον μοι τῆς δυνάμεως τοῦ θεοῦ τὴν ὑπερβολήν, μεθ' ὅσης ταχύτητος καὶ τὴν νίκης γεγόνασι. ἐπέπεσε γὰρ αὐτοῖς, φησὶ, τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς, καὶ ἐδίωξεν αὐτούς. ἡ γὰρ ἄνωθεν χεὶρ ἦν συναφαπλομένη καὶ συγκρατηθεῖσα τοῖς γινομένοις. διὸ οὐδὲ ὅπλων αὐτοῖς ἐδέησεν οὐδὲ μηχανημάτων, ἀλλὰ μόνον φανεὶς μετὰ τῶν οἰκετῶν τοὺς μὲν ἐπάταξε, τοὺς δὲ εἰς φυγὴν ὁρμῆσαι παρεσκεύασε, καὶ ἑκάτερον [ἐποίησε] μετὰ ἀδείας ἀπάσης οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος. τὸν τε ἵππον τοῦ βασιλέως Σοδόμων ἀπέστρεψε, καὶ τὸν Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα, καὶ τὰς γυναῖκας. ὁρᾷς ὅτι σωτηρίᾳ τῇ τῶν ἄλλων πεφυγότων ὁ Λὼτ μόνος αἰχμάλωτος γενέσθαι, ἵνα καὶ τοῦ πατριάρχου κατάδηλος γένηται ἡ ἀρετὴ, καὶ [ἵνα καὶ] δι' αὐτὸν καὶ ἕτεροι πολλοὶ τῆς σωτηρίας ἐπιτύχωσι. καὶ ἐπαναστὰς λοιπὸν μέγα καὶ λαμπρὸν ἐπαγόμενος, μετὰ τοῦ Λὼτ καὶ τοῦ ἵππου καὶ τὰς γυναῖκας καὶ τὰ ὑπάρχοντα ἐπιφερόμενος, καὶ πᾶσι λαμπρᾷ τῇ φωνῇ κηρύττων καὶ σάλπιγξ μεγαλοφωνότερον βοῶν, ὅτι οὐκ ἀνθρωπίνη δυνάμει οὐδὲ ἰσχυὶ σωμάτων τὸν θεὸν ἐργάσατο, καὶ τὴν νίκην ἤγαγε, ἀλλὰ τῆς ἄνωθεν χειρὸς πάντα ἐργαζομένης. εἶδες ὅτι πάντων τὸν δίκαιον θεὸν φανέστερον γινόμενον, καὶ καθ' ἕκαστον καιρὸν πᾶσι δεικνύοντα τὸν περὶ αὐτὸν τοῦ θεοῦ προνοιαν. ὅθεν αὐτὸν λοιπὸν καὶ διδάσκαλον θεοσεβείας γίνεσθαι συνουδάζοντα τοῖς ἐν Σοδόμοις.

17 Ἐξῆλθε γὰρ, φησὶν, ὁ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ μετὰ τὸ ἀναστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ.

Σκόπει πόσον ἰσχὺν ἡ ἀρετὴ, καὶ ὁ τῆς παρὰ τοῦ θεοῦ συμμαχίας ἀπολαύειν. ὁ βασιλεὺς τῶν ξένων, τῶν προσούτων εἰς συνάντησιν ἔξεισι, καὶ πᾶσαν ἀπονέμει τιμήν. ἐμήνανε γὰρ ὡς οὐδὲν αὐτῷ τῆς βασιλείας ὄφελος τῆς ἄνωθεν συμμαχίας ἠρημωμένου, καὶ ὡς οὐδὲν ἂν ἐγένετο δυνατώτερον τοῦ ἀπὸ τῆς τοῦ θεοῦ χειρὸς βοηθουμένου.

18 Καὶ Μελχισεδὲκ, φησὶ, βασιλεὺς Σαλὴμ ἐξενίσεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου.

Τί βούλεται ἡμῖν αὕτη ἡ παράτηρησις, βασιλεὺς Σαλὴμ, καὶ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου; βασιλεὺς μὲν ἦν, φησὶ, τῆς Σαλήμ. τοῦτον γὰρ καὶ ὁ μακάριος Παῦλος φησὶν ἐξ Ἑβραίων πεπιστευκότας ἀπιστέλλων εἰς μέσον παράγων, καὶ τὸ ὄνομα αὐτοῦ μεθερμηνεύων καὶ πόλιν, ὁμοῦ ἑρμηνεύει τὸ ὀνόματος τὴν σημασίαν, καὶ ἐτυμολογίᾳ τινὶ χέχρηται λέγων, Μελχισεδὲκ βασιλεὺς δικαιοσύνης. καὶ γὰρ κατὰ τὴν Ἑβραϊκὴν γλῶτ- Εβ. ζ.

τὴν

τῶν δὲ μὴν Μελχὶ βασιλείαν σημαίνει, ὃ δὲ σεδὲκ δικαιοσύνην. Εἶτα καὶ εἰς ὃ ὄνομα τῆς πόλεως ἐλθὼν φησι, βασιλεὺς εἰρήνης. ὃ γὰρ Σαλὴμ εἰρήνην ἐμφαίνει. ἱερεὺς ἦν ἴσως αὐτοχειροτόνητος (οὕτω γὰρ ἦσαν τότε ⓐ ἱερεῖς) ἢ τοι οὖν διὰ τὴν ἡλικίαν προεβλήθησαν ⓐ προσήκοντες αὐτῷ ἀπονενεμήκασι τῷ λαῷ, ἢ καὶ αὐτὸς ἱερατεύειν ἐπετήδευσε, καθάπερ ὁ Νῶε, καθάπερ ὁ Ἄβελ, καθάπερ ὁ Ἀβραάμ, νίκης χάριν θυσίας προσῆγον. ἀλλως δὲ καὶ τύπος ἐμελλεν εἶναι τοῦ Χριστοῦ διὰ τοῦτο, καὶ Παῦλος φησὶν αὐτὸν ἀπολαμβάνει λέγων· Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. καὶ πῶς, φησιν, οἶδεν ὁ Παῦλος ὅτι ἀπάτορα καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν ἡμερῶν ἔχειν, μήτε ζωῆς τέλος; ἤκουσας ὅτι τύπος ἦν. μὴ τοίνυν ξενίζου, μηδὲ πάντα ἀπαίτει ἐν τῷ τύπῳ. οὐδὲ γὰρ ἦν τύπος, εἰ μέλλοι πάντα ἔχειν διὰ τὴν ἀλήθειαν συμβαίνοντα. Οἶδα οὖν ὅτι ὃ εἰρημένον· ὥσπερ γάρ φησι, διὰ τὸ μὴ μνημονευθῆναι τοὺς γεννητόρας αὐτοῦ, ἀπάτωρ λέγεται καὶ ἀμήτωρ, καὶ διὰ τὸ μὴ γενεαλογηθῆναι, ἀγενεαλόγητος· οὕτω καὶ ὁ Χριστός, διὰ τὸ μὴ ἐχηκέναι μήτε ἐν οὐρανοῖς μητέρα, μήτε ἐπὶ τῆς γῆς πατέρα, ἀγενεαλόγητος λέγεται καὶ ὄντι. καὶ ὅρα διὰ τῆς εἰς ⓦ πατριάρχην ἡμᾶς, ὅπως μυστήριον ἡμῖν δι' αὐτῆς ἀνίτηται. ἐξήνεγκε γὰρ ἄρτους καὶ οἶνον. ὁρῶν ⓦ τύπον νοεῖ μοι τὴν ἀλήθειαν, καὶ θαύμαζε τῆς θείας γραφῆς τὴν δύναμιν, πῶς ἀνωθεν ἅπαντα οἰκονομοῦσα τὰ μέλλοντα ἑστέναζε προεμήνυε.

19 Καὶ εὐλόγησέ, φησι, ⓦ Ἀβραὰμ καὶ εἶπεν· εὐλογητὸς Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε ⓦ οὐρανὸν καὶ τὴν γῆν· 20 Καὶ εὐλογητὸς ὁ θεός, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι.

Οὐ μόνον αὐτὸν εὐλόγησεν, ἀλλὰ καὶ ⓦ θεὸν ἐδόξασεν. Εἰπὼν γάρ, εὐλογητὸς Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε ⓦ οὐρανὸν καὶ τὴν γῆν, καὶ ἀπὸ τῶν δημιουργημάτων τοῦ θεοῦ τὴν δύναμιν ἡμῖν ἀνέφηνεν. Εἰ γὰρ αὐτός ὅστις θεός, ὁ ⓦ οὐρανὸν καὶ τὴν γῆν ποιήσας, ⓐ ὑπὸ τῶν μὴ ὄντων θεραπευόμενοι οὐκ ἂν εἶεν [πάντων] θεοί. Θεοὶ γάρ, φησιν, οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. εὐλογητὸς ὁ θεός, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. θέα μοι πῶς οὐ μόνον τὸν δίκαιον δυσκηρύττει, ἀλλὰ καὶ τοῦ θεοῦ τὴν συμμαχίαν ὑπογράφει. οὐδὲ γὰρ ἂν τῆς ἐκεῖθεν ῥοπῆς ἠδυνήθη τῶν τοσούτων δυναστείαν προβεβλημένων προγενέσθαι. ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου· αὐτός ἐστιν ὁ τὸν πόνον ἐργασάμενος, αὐτός ἐστιν ὁ τοὺς ἰσχυροὺς ἀδυνάτους καταστήσας, αὐτός ἐστιν ὁ διὰ τῶν ὅπλων τοὺς ὡπλισμένους ‖ κατενεγκών, ἐκεῖθέν ἐστιν ἡ ῥοπὴ ἡ τοσούτων σοι τὴν δύναμιν προσαρμόζουσα. ὃς παρέδωκέ, φησι, τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. ὁρᾷς πῶς δείκνυσιν αὐτοῦ τὴν ὁμοιότητα καὶ τὴν φιλοστοργίαν τὴν πρὸς τὸν λαόν, καὶ πῶς ἐμφαίνει, ὅτι καὶ ὁ Ἀβραὰμ οἰκείους αὐτοὺς ἐχθροὺς ἡγεῖτο διὰ τὴν εἰς ⓦ ἀδελφιδοῦν γεγενημένην.

Καὶ ἔδωκεν αὐτῷ, φησι, δεκάτην ἀπὸ πάντων.

Ηβ. ζ. δ. Τοῦτο καὶ Παῦλός φησι· Θεωρεῖτε δέ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ὁ τῶν πατριαρχῶν ὁ πατριάρχης. δηλονότι οὐ τῆς δυναστείας, ἧς ἐπήγετο, ἠμείψατο ‖ ⓦ Μελχισεδέκ, καὶ δεκάτην αὐτῷ ἀφώρισεν ἀπὸ πάντων ὧν ἐπεφέρετο, ‖ χ. ϛ' εὐτελοῦς ἦδη διδάσκαλος ἅπασι γινόμενος πολλὴν ἐπιδεικνύμενος εὐγνωμοσύνην, καὶ τὰς ἀπαρχὰς προσάγων τῷ προφήτῃ τοῦ θεοῦ ἡμῶν προφερόντων. Εἶτα οὐκ πλατεῖς τὸν πατριάρχου τὸν μεγαλοψυχίαν,

21 Ὁ βασιλεὺς Σοδόμων φησὶ πρὸς αὐτόν· δός μοι τοὺς ἄνδρας, τὰ δὲ ἵππον λάβε σεαυτῷ.

‖ Καὶ

χ πολλ

" Καλὴ τῦ βασιλέως ἡ βυγνωμοσιώη. ἀλλ' ὅρα τῦ δικαίυ τὴν φιλοσοφίαν.

22 Εἶπε δ' Ἄβρααμ πρὸς Ⓚ βασιλέα Σοδόμων · ἐκτενῶ τὴν χεῖρά μου πρὸς Ⓚ θεὸν Ⓚ ὕψιστον, ὃς ἐποίησε τὸν ὐρανὸν καὶ τὴν γῆν, 23 Εἰ ἀπὸ σπαρτίυ

χπαρατῆμι ἕως " σφυρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς, ὅτι ἐγὼ πεπλύτικα τ' Ἄβρααμ.

Πολλὴ τῦ πατειάρχου ἡ πρὸς τὰ χρήματα ὑπερφία. καὶ ὅτος ἕνεκεν μεθ' ὅρκου τὴν ἀπαγόρευσιν ποιεῖται, καί φησιν, ἐκτενῶ τὴν χεῖρά μου πρὸς Ⓚ θεὸν Ⓚ ὕψιστον, ὃς ἔκτισε τ' ὐρανὸν καὶ τὴν γῆν; ἀμφότερα βούλεται παιδεῦσαι Ⓚ τῶν Σοδόμων βασιλέα, καὶ ὅτι χρείττων ὀῦτι τῶν παρ' αὐτῦ δεδομένων, καὶ πολλὴν ἐπιδείκνυται τὴν φιλοσοφίαν, καὶ θεοσεβείας αὐτῷ διδάσκαλος γενέσθαι σπουδάζει, μονονουχὶ διδάσκων αὐτὸν, ὅτι ἐκεῖνόν σοι παρέχω μάρτυρα, ὅτι ὀῦδὲν τῶν παρὰ σοῦ λήψομαι, Ⓚ ἀπάντων δημιουργὸν, ἵνα εἰδέναι ἔχοις Ⓚ ὅτι πάντων θεὸν, καὶ μὴ νομίσῃς εἶναι θεοὺς τὰ ὑπὸ χειρῶν ἀνθρώπων κατασκευάζόμενα. ὅτος γὰρ ὁ ὐρανοῦ καὶ γῆς ποιητής · αὐτὸς καὶ Ⓚ πόλεμον τοῦτον ἐξεπύσατο, καὶ τῆς νίκης αἴτιος κατέστη. μὴ τοίνυν προσδοκήσῃς ἐμὲ ἀνέξεσθαί τι λαβεῖν τῶν παρὰ σῦ δεδομένων. ὀῦδὲ γὰρ ὅτι μισθῷ τὴν ἐκδικίαν ἐποιησάμην · ἀλλὰ πρότερον μὲν διὰ τὴν πρὸς τ' ἀδελφιδοῦν φιλοστοργίαν, ἔπειτα ἵνα δι' αὐτὴν τ' δικαίυ τὴν φύσιν, ὥστε ὀῦ· ἀδίκως

χ παρατῆσι ἁπηγμένους ὀξαρπάσαντα τῶν βαρβαρικῶν χειρῶν. εἰ ἀπὸ σπαρτίυ, φησίν, ἕως " σφυρωτῆρος λήψομαι ἀπὸ πάντων τ' σῶν, τῦτ' ἔστιν, ὐδὲ τὸ τυχὸν ὀῦδὲ τὸ βύτελές ὐδὲ τὸ βύ-

χπαρατῆμι καταφερόμενον νομιζόμενον. καὶ γὰρ " σφυρωτῆρα εἰώθασι λέγειν τὸ ἄκρον τῦ ὑποδήματος τὸ εἰς ὀξὺ λῆγον. τοιῦτοις γὰρ ἔθος ἔχουσι χεζεῆσθαι Ⓐ βάρβαροι. εἶτα καὶ τὴν αἰτίαν τῆς παραιτήσεώς φησιν, ἵνα μὴ εἴπῃς, ἐγὼ πεπλύτικα τ' Ἄβρααμ. ἔχω τὸν χορηγὸν τῶν μυρίων ἀγαθῶν, πολλῆς ἀπολαύω τῆς ἀνωθεν ῥοπῆς, ὐ δέομαι τῦ παρὰ σῦ πλύτου, ὐ χρήζω δωρεᾶς ἀνθρωπίνης ὐποπείας, ἀρκοῦμαι τῇ παρὰ θεῦ εἰς ἐμὲ φιλοτιμίᾳ, οἶδα αὐτῦ τὸ δαψιλὲς τ' δωρεᾶς. τῶν μακρῶν καὶ βυτελῶν παρεχωρήσας τῷ Λωτ, μεγάλων καὶ ἀπορρήτων ἠξιώθην ὑποσχέσεων · καὶ νῦν μείζονα πλοῦτον ἑαυτῷ περιγραβόμενος, καὶ πλείονα παρ' αὐτῦ ἐπισπώμενος, τ' παρὰ σῦ πλῦτον ὐ προσίεμαι. διὰ τῦτο δ' ὡς οἶμαι καὶ τὸν ὅρκον προσέθηκε δι' εἶπεν, ἐκτενῶ τ' χεῖρά μου πρὸς τὸν θεὸν τ' ὕψιστον, ἵνα μὴ νομίσῃ ἁπλῶς αὐτὸν σχηματίζεσθαι, οἷα συμβαίνειν εἰκός · ἀλλ' ἵνα μάθῃ ὅτι τοῦτο αὐτῷ δέδικται, ὃ μηδὲ τὸ τυχὸν ἐκ θεοῦ γενόσφισαλ. καὶ ἐπλήρωσε τὸ παράγγελμα ἐκεῖνο τὸ παρὰ τῦ Χριστοῦ τοῖς μαθηταῖς εἰρημένον · Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ γὰρ ἐγώ τι πλεῖόν, φησιν, εἰσήνεγκα εἰς τὴν τῦ πολέμυ ὑπόθεσιν, ἢ μόνον τὴν γνώμην καὶ τὴν προθυμίαν; τὴν δὲ νίκην καὶ τὸ ἔργον καὶ ἄλλα πολλὰ αὐτὸς εἰργάσατο τῇ ἀοράτῳ δυνάμει. εἶτα ἵνα μὴ νομίσῃ ὁ βασιλεύς, ὅτι δι' ὑπερφίαν καὶ καταφρόνησιν ὐ προσίεται τὰ παρ' αὐτῦ δίδομενα, δείκνυς αὐτῦ καὶ ἐν τῦτῳ τὸ ἥμερον καὶ τῆς γνώμης τὸ φιλόσοφον, φησίν.

Matθ. ι. ιι.

24 Οὐ λήψομαι πλὴν ὧν ἔφαγον Ⓐ νεανίσκοι, καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ' ἐμοῦ, Εσχώλ, Αὐωνᾶ, Μαμβρῆ. ὅτοι λήψονται μερίδα.

Τῦτοις, φησί, συγχωρήσω λαβεῖν τινα μερίδα, ὅτῳ πολλῆς φιλίας τεκμήρια ἐπεδείξαντο. ὅτοι γὰρ σιωπωμένοις τῷ Ἄβρααμ, τῦτ' ἔστιν εἰς φιλίαν σιωπημένοις, καὶ τῦτο δείκνυσι τὸ ἐλέσθαι αὐτοῦ· κοινωνῆσαι αὐτῷ τῶν κινδυνων. διὰ τοῦτο καὶ αὐτὸς ἀμερόμενος " αὐτοῦ· παρασκευάζει μερίδα τινὰ λαβεῖν, καὶ ἐν τῦτῳ πάλιν ὃν ἀποστολικὸν νόμον πληρῶν τ' λέγοντα, Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτῦ ὅστιν. οὐδὲ γὰρ τι πλέον τῆς Matθ. ι. ι.

χρείας

χρείας αὐτοὺς λαβεῖν ἀφίησι. πλὴν γάρ, φησιν, ὧν ἔφαγεν ὁ νεανίσκος, καὶ τῆς μερίδος τῶν συμπορευθέντων μετ' ἐμοῦ, Ἐσθὴλ, Ἀυναὶν, Μαμβρή. οὗτοι λήψονται μερίδα. ἴδετε τῆς ἀρετῆς τὸ πατριάρχου τὴν ἀκρίβειαν, πῶς δὲ τὴν φιλοσοφίαν ἐπεδείξατο τὴν πρὸς τὴν ἀφροψίαν τῶν χρημάτων, καὶ τὴν ταπεινοφροσύνην, καὶ πάντα ποιεῖ, ὥστε μὴ δόξαι ἀλαζονείᾳ τινὶ καὶ καταφρονήσει τοῦτο πεποιηκέναι, καὶ δι' αὐτὸ μέγα φρονεῖν ἐπὶ τῇ νίκῃ τῇ γεγενημένῃ.

ΗΘΙΚΟΝ Τοῦτον δὴ καὶ ἡμεῖς μιμώμεθα, παρακαλῶ, καὶ ἀπουδάζωμεν ἀληθῶς ἑαυτοὺς φυλάττειν, καὶ μήτε πρὸς φάσεις τῆς ἀρετῆς ἀπονοίας ἑαυτοῖς περιπτύσσειν δόξαν, μηδὲ πρὸς φάσει ταπεινοφροσύνης τῆς ἀρετῆς καταμελεῖν· ἀλλὰ πάντα χρὴ ὃ μέγα ἀσφαλίζειν, καὶ τοῖς καταρτώμασι τοῖς ὑφ' ὑμῶν γινομένοις καθάπερ θεμελίου τινὰ καὶ ὑποβάθραν τὴν ταπεινοφροσύνην ἐπιτιθέναι, ἵνα μὴ ἀσφαλείας ἡμῖν οἰκοδομῆται τὰ τῆς ἀρετῆς. τοῦτο γὰρ ἀρετή, ὅταν ἔχῃ ταύτην σωζομένην. ὁ γὰρ τοῦτον μὴ ἀσφαλείας τὸν θεμέλιον καταβαλὼν δυνήσεται πρὸς ὅσον βούλεται ὕψος ἐπιφέρειν τὴν οἰκοδομήν. αὕτη μεγίστη ἀσφάλεια, αὕτη τεῖχος ἄρρηκτος, αὕτη πύργος ἀκαταμάχητος, αὕτη πᾶσαν συσφίγγει τὴν οἰκοδομήν, οὐκ ἀφίσα ὔτε ὑπὸ ἀνέμων σφοδρότητος, ὔτε ὑπὸ τῆς τῶν ὀμβρων ῥοιζῆς, ὔτε ὑπὸ τῆς τῶν πνευμάτων βίας αὐτὴν καταπεσεῖν, ἀλλ' ἀνωτέραν καθίστησι πάσης ἐπιβουλῆς, καὶ καθάπερ δι' ἀδάμαντός τινος κατεσκευασμένην, ὥστως αὐτὴ ἀνείρωτον ἐργάζεται, καὶ μεγάλας ἡμῖν ἀμοιβὰς παρὰ τοῦ φιλανθρώπου Θεοῦ δωρεᾶς ἐφέλκεται· δι' ἧς ὁ πατριάρχης πρώτων τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ τὸ μέτρον ἐδέξατο. εἰσόμεθα γὰρ τοῦ θεοῦ ἐπιτρέποντος καὶ οὐκ ἐν ἀκηλωθυλίας τὸ ἐξῆς μελλόντων ῥηθήσεσθαι, πῶς καὶ νεῦν ἐπιθείσθων τῶν παρὰ τὸν βασιλέως Σοδόμων αἰτῶν διδομένων, μεγάλων καὶ ἀφάτων ἠξιώθη τῶν τοῦ θεοῦ δωρεῶν. ὧν ταύτης οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τῶν ἄλλων δικαίων ἕκαστος ἠδοκίμησε. καὶ τοῦτο, ὅσοι φιλότεχνοι περὶ τὴν ἀναγνωσιν τῶν θείων γραφῶν ἐστε, δυνήσεσθε καταμαθεῖν πάντα χρὴ γινόμενον. ὁ γὰρ φιλάνθρωπος ἡμῶν δεσπότης, ὅταν ἴδῃ ἐπιφορωμένας ἡμᾶς τῶν πρόντων, μὴ δαψιλείας καὶ ταῦτα πρέχει, καὶ τῶν μελλόντων ἡμῖν ἀγαθῶν τὴν ἀπόλαυσιν ταμιεύεται. καὶ τοῦτο καὶ ἐπὶ χρημάτων, ἐπὶ τῆς δόξης τοῦ πρόντος βίου, καὶ ἐπὶ πάντων τῶν ἐπιτηδείων πραγμάτων ὅστις ἰδίᾳ γινόμενον. καταφρονῶμεν τοίνυν τοῦ πρόντος πλούτου, ἵνα τὸν ἀληθῆ πλοῦτον εὑρεῖν δυνηθῶμεν· ἐπαρίσωμεν τῆς κενῆς ταύτης δόξης, ἵνα τῆς ἀληθοῦς ἐκείνης καὶ βεβαίας ἀπολαύσωμεν· καταγελάσωμεν τῆς προύσης ἀτιμείας, ἵνα τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἐπιτύχωμεν· μηδὲν ἡγώμεθα τὰ πρόντα, ἵνα πρὸς τὸν τῶν μελλόντων πόθον διεγερθεῖσαι δυνηθῶμεν. οὐδὲ γὰρ οἷόν τε τὸν τοῖς παροῦσι προσηλωμένον, ἐκείνων τῶν ἀπορρήτων ἀγαθῶν τὸν πόθον καταδέξασθαί ποτε, καθάπερ λήμης τινὸς τοῖς ὀφθαλμοῖς τοῦ σώματος ἐπιχειμένης, οὕτω τῆς τῶν παόντων ἐπιθυμίας σκοτούσης τὸν λογισμὸν, καὶ οὐκ ἀφιείσης ἰσχύσαι τι τῶν δεόντων. διὸ καὶ πάλιν δυνατὸν τὸν πρὸς ἐκεῖνα τὰ ἀχίνητα καὶ βέβαια ἀγαθὰ τὸν πόθον ἔχοντα, τούτων τῶν ἐπικήρων καὶ πρὸς ὥραν φανεισῶν, ἀφιπταμένων καὶ μεταπορευομένων ἐπιθυμίαν παντὸς λαβεῖν. ὁ γὰρ πρόθυμος τῷ πρὸς τὸν θεὸν πόθῳ, καὶ τὴν τῶν μελλόντων ἐπιθυμίαν κτησάμενος, ἑτέρας ὀφθαλμοῖς ὁρᾷ τῶν παόντων τὴν κατάσασιν, καὶ οἶδεν ὅτι ῥῆμα ἅπας ὁ παρὼν βίος, καὶ ἀπάτη, καὶ ἐνεργούντων οὐδὲν διεπονεῖ. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγε

a. Kor. ζ. λα. γράφων, Παράγει γὰρ τὸ ῥῆμα τοῦ κόσμου τούτου, δεικνὺς ὅτι ἕκαστον τῶν ἀνθρωπίνων, ὡς ῥήματι μόνον ὄντι, καὶ καθάπερ σκιᾷ ἢ ὀνείρατι χρωμένῳ, οὐδὲν ἀληθὲς, οὐδὲν βέβαιον ἔχον. πῶς οὖν οὐκ ἂν εἴη παιδικῆς ἀφροσύνης τὰς σκιὰς ἐποπτεύειν, καὶ ὑπὲρ

ὀνείρασι

ὀνείρατι μέγα φρονεῖν, καὶ τοῖς παρεστηκόσιν τοῖς μακρὸν ὕστερον παρερχομένοις; πῶς φέρε γὰρ, φησι, ὁ κόσμος τοῦτο. ὅταν ἀκούσῃς ὅλη πῶς φέρει, τί λοιπὸν πλέον ζητεῖς; ὅταν ἀκούσῃς ὅλη ἔρημα μόνον ὅτι πόντα τὰ ἀνθρώπινα, ἀληθείας ἔρημα τυγχάνοντα, τίνος ἕνεκεν ἐκεῖ τὴν ἀπάτην ὑπομένεις, καὶ οὐκ ἐννοεῖς τὸ εὐμετάβλητον, τὸ ἀβέβαιον, τὰ ὄντα μὴ [ὄντα] πῶς ἔχεις, πῶς ἐκεῖνα ἢ τὴν ὀπτασίαν μετάτιθεις τὰ διαιωνίζοντα, τὰ ἀκίνητα, τὰ βέβαια, τὰ μεταβολὴν οὐκ ὑποδεχόμενα; ἵνα γὰρ μάθῃς τὴν ζωὴν τοῦ διδασκάλου τῆς οἰκουμένης, ὅρα αὐτὸν ἄλλοθεν πάλιν βυλόμενον δεῖξαι πόντων τῶν ἐν τῷ παρόντι βίῳ φαιδρῶν τὸ ὑδαμινόν, οἷα λέξει ἐχρήσατο εἰπών· Τὰ γὰρ βλεπόμενα, φησὶν, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. καὶ πάλιν· Τὸ σχῆμα τοῦ κόσμου τούτου παράγεται. καὶ πάλιν· Ἡ γὰρ ἐπιθυμία τοῦ κόσμου τούτου παράγεται. καὶ πάλιν· Ἐπιθυμίαν ἔχω εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. καὶ πάλιν· Ἡ γὰρ θλῖψις ἡμῶν ἐλαφρὸν παραυτίκα κατεργάζεται ἡμῖν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης. καὶ πάλιν· Ἐπιποθοῦντες ἐνδύσασθαι τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι. καὶ πάλιν· Ἵνα οὕτω ἡμᾶς [ὁ μακάριος Παῦλος] βούλεται ἐπιζητεῖν, εἰ πάντα ταῦτα τὰ βλεπόμενα προσκαίρως τυγχάνει; ἐκεῖνά, φησι, τὰ μὴ βλεπόμενα, μὴ ταῦτα τὰ βλεπόμενα, ἀλλ' ἐκεῖνα ἅπερ τούτοις τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς οὐχ ὁρᾶται. καὶ τίς δή, φησι, τοῦτο συμβαλλόμενος, ὥστε τὰ ὁρώμενα πῶς ἔχειν, καὶ τὰ μὴ ὁρώμενα ἐπιζητῆν; αὐτή, φησι, διδασκέτω ὑμᾶς τὴν τῶν γραμμάτων ἡ φύσις, ὅλα ταῦτα μὲν, εἰ καὶ ὁρᾶται, ἀλλὰ ταχέως πῶς ῥεῖ· ἐκεῖνα δὲ, εἰ καὶ μὴ νῦν ὁρᾶν δυνάμεθα, ἀλλ' αἰώνια τυγχάνει καὶ διηνεκῆ τὴν διαμονὴν ἔχει, πέρας οὐκ ἐπίσταται, τέλος οὐκ ἐπιδέχεται, μεταβολὴν οὐκ οἶδε, πάντα μένει καὶ ἀκίνητα. ταῦτα λοιπὸν καὶ ἐπαινῆς εἰκότως ἂν καθ' ἑκάστην ἡμέραν μάτην συμβαλλόμενον. ἀλλὰ τί πάθω; πολλὴ τῆς ἀκρίας ἡ λύμη, τῆς ἀρετῆς πολλὴ ἡ ἀσθένεια, πολλὴ τῶν χρημάτων ἡ τύφωσις. διὰ τοῦτο βούλομαι καὶ τὴν συνεχείαν τῆς παραινέσεως ἐπιμηκύνεσθαι τῆς νόσου, καὶ πρὸς τελείαν ὑγίειαν ἀγαγεῖν σὲ καὶ ἐμαυτὸν διὰ τούτων. διὰ γὰρ τοῦτο καὶ τῶν γραφῶν τὰς ὑποθήκας ποιεῖσθαι ἀναγκάζομαι, καὶ τῶν δικαίων τὰς ἀρετὰς εἰς τὸ μέσον παράγειν, καὶ τὰ αὐτὰ ἐπανιέναι ἀναγκαζόμεθα, ἵνα διὰ πάντων σαλεύειν ὑμᾶς δυνηθῶμεν εἰς τῶν δικαίων ζῆλον, καὶ ὀφείλω ποτὲ τῆς οἰκείας σωτηρίας πρόνοιαν ποιησάμενα, καὶ τῷ χαρῷ τῷ δεδομένῳ ἡμῖν εἰς παρηγορίαν ζωῆς δεόντως χρησώμεθα, καὶ ὡς ἑλκυσθέντες, πρὸς μετάνοιαν καὶ διόρθωσιν τῶν ἐπαισμένων ἐπειχθῶμεν, καὶ τῇ τῶν χρημάτων παρούσῃ εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν ἀποχρησώμεθα, καὶ τὰ παρόντα τοῖς δεομένοις διαλίσχωμεν. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, συγχωρεῖς ἐπὶ τοῦ ἰοῦ καὶ τὸ ἀργύριον καὶ τὸ χρύσιον καταναλίσκεσθαι, δέον εἰς τὰς τῶν πενήτων γαστέρας αὐτὸ χεῖσθαι, ἵνα εἰς ἀσφαλὲς αὐτὸ ταμεῖον ἀποθέμενος ἐν καιρῷ τοῦ δέοντος, ὅτε μάλιστα χρείας τῆς ἀπ' αὐτοῦ παραμυθίας, ἀπολαύσῃς τῆς ἐντεῦθεν βοηθείας, καὶ ἐκεῖθεν παραφέρεσθαι ἐπὶ σὲ κατ' ἐκείνου τοῦ ἡμέρου τὰς ὀργὰς σου τῆς πτερωτοῖς ἀνοίξωσι, καὶ δέξωνταί σε εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς; ἀλλὰ μηδὲ τὰ ἱμάτια ἐῶμεν σηπεδόνα παθεῖν καὶ εἰκῇ ἐν τοῖς κιβωτίοις κατασπεῖσθαι, τοσούτων ὄντων τῶν δεομένων καὶ γυμνῶν καθεστώτων, ἀλλὰ προτιμῶμεν τῶν σητῶν γυμνητεύοντα τὸν Χριστὸν, καὶ ἐνδύωμεν διὰ ἡμᾶς καὶ τὴν σωτηρίαν τοῦ ἡμετέρου γυμνὸν καθεστῶτα, ἵνα ἡμεῖς καταξιωθέντες αὐτὸν ἐνδύσαι, ἀκούσωμεν καὶ τοῦ ἡμέρου ἐκείνου, Γυμνὸς ἤμην, καὶ περιεβάλλετέ με. μὴ γὰρ φορτικὰ ὅτι τὰ ἐπιτάγματα, μὴ γὰρ ἐπαχθῆ; τὰ ἀπολλύμενα, φησι, τὰ σηπόμενα, τὰ εἰκῇ καὶ μάτην δαπανώμενα, ταῦτα χρησίμως ἀφαιρεμένου καὶ ἀποδόντος, ἵνα καὶ τοῦ σκώληκος ἀφέλωμεν καὶ τοῦ φύγῃς, καὶ ὃ ἀπ' αὐτῶν κέρδος μέγιστον ἑαυτῷ περιέσῃς. πολλῆς γὰρ καὶ ἐπαφροσύνης ἀπόντος θεω-

Matth. xxv. λ.

χρῆσθαι

πίας μὴ τοσαύτην ἀπόλαυσιν κεκωτίοις καὶ τοίχοις ἐναποκλείειν τὰ πρεπτά, καὶ μὴ αἰσχύνης τὸ ὁμογλώττων τὴν ἔνδειαν τῶν ἀναγκαίων, ἀλλ' αἰρῆσθαι μᾶλλον ἐκτὸς ἰοῦ καὶ σητῶν ἀφανίζεσθαι, καὶ ταῖς τῶν λιχνῶν χερσὶ παρεκεῖσθαι, καὶ ἐκ τούτων βιβρώσκειν διδόναι, ἢ δεόντως οἰκονομήσαντα, τὴν ὑπὲρ τούτων ἀμοιβὴν κομίζεσθαι. μὴ δή, παρακαλῶ, ὦνπερ ἀμελεῖς ἀναπείθωμεν πρὸς τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ τὰ πρεπτὰ κενώσαντες τοῖς δεομένοις, πολλὴν ἑαυτοῖς παραποθώμεθα τὴν παῤῥησίαν, ἵνα τῶν ἀπῤῥήτων ἀγαθῶν ἀπολαύσαι καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λς΄. ΜΕΤΑ ΔΕ ΤΑ ΡΗΜΑΤΑ ΤΑΥΤΑ, ΕΓΕΝΗΘΗ ῥῆμα κυρίου πρὸς Ἄβραμ λέγων ἐν ὁράματι τῆς νυκτός, μὴ φοβοῦ Ἄβραμ, ἐγὼ ὑπερασπίζω σου. ὁ μισθός σου πολὺς ἔσται σφόδρα.

Ἡ σαυρῷ τινι προσοίκει ἡ τῶν δικαίων ἀρετὴ πολλῷ καὶ ἄφατον τὸ πλοῦτον ἔχοντι. καθάπερ γὰρ ὀκλάσει καὶ βαρύ τι μέρος λαβών τις δυνηθῇ, πολλῷ ἑαυτῷ τὴν ὑποδοχὴν κατασκευάζει· οὕτω δὴ καὶ ὁ τῆς ἀρετῆς τὸ πατριάρχου ὑπόσει τις γνώμην. ἰδοὺ γὰρ ἀφ' ἑκάστης ἡμέρας ὀκλάζει καὶ αὐτὸν ἰσοδείας προφήτης ὑμῖν τὴν διδασκαλίαν, καὶ μὴ πολλῆς τῆς δαψιλείας τὸ ἑστιᾶσιν ὑμᾶς προσέχομεν, οὐδέπω καὶ νῦν οὐδὲ βαρύ τι μέρος τῶν τούτῳ κατορθωμένων ἐξεπεῖν ἠδυνήθημεν. τοσαύτη ἐστὶν αὐτῆς τῆς οὐσίας ἡ ἀρετὴ καθάπερ ἀπὸ τῆς πηγῆς δαψιλῆ προχέουσα νάματα καὶ ἀπόντες ἀρύονται, καὶ μόνον οὐκ ἐλαττοῦσι τὰ ἐκεῖθεν προϊόντα νάματα, ἀλλ' ὅσῳ ἂν πλείους ὦσιν οἱ ἐξαντλοῦντες, τοσούτῳ μᾶλλον ἀναβλύζει τὸ ὑδάτων ἡ φύσις. τὸ αὐτὸ δὴ καὶ ὅτι τὸ θαυμάσιόν τοῦτο πατριάρχου γνώμην ὁμόλογα. πόσοι γὰρ ἐξ οὗ γέγονε μέχρι τοῦ παρόντος ἐκ τῆς πηγῆς τὸ τούτου κατορθωμάτων ἀρύονται, καὶ μόνον οὐκ ἐκένωσαν τὰ νάματα, ἀλλ' ὅτι πλείον ἀναβλύζει τὴν τούτου κατορθωμάτων ἡ περιουσία; ὥσπερ γὰρ σιγῇ τις χρυσὸν, ὕστερον ἁρμοσμένην ὑπόμνημα τὴν καθ' αὑτὸν διήγησιν ὅτι τῆς θείας γραφῆς κειμήλιον· καὶ καθ' ἕκαστον κεφάλαιον προτίθεσθαι μοι αὐτὸν ὑποδεικνύμενον τὰ τῆς οἰκείας φιλοσοφίας, ἐπομνύων ὁ παράδειγμα καὶ τὴν τοῦ θεοῦ ἀμοιβήν. καὶ ἵνα μάθητε ὅτι ὕστερος ἔχει, ἀναγκαῖον ἀνωθεν ὑμῖν μετὰ σωτηρίας τὰ κατ' αὐτὸν διηγήσασθαι, ἵνα εἰδῆτε καὶ τὴν δικαίαν τὴν ὑπερβάλλουσαν πίστιν, δι' ἣν πρὸς τὰς ὑποσχέσεις τοῦ Θεοῦ ὑποδέδεκται, καὶ τὸ φιλανθρωπευόμενον τοῦ Θεοῦ μετὰ δαψιλείας τὰς ἀμοιβὰς αὐτῷ παρεχόμενον. ἐκεῖθεν γὰρ ὁ δίκαιος τοῦτ' ἀποθησαυρίσας ἡμᾶς παιδεῦσαι, πρὸς τοῦτο τῆς ἀρετῆς ἀγῶνας μετὰ προθυμίας ἀποδύεσθαι παῤῥησιαζόμενος ταῖς ἀνωθεν ἀμοιβαῖς, καὶ εἰδότας τὸ ἡμέτερον δεσπότην τὸν φιλανθρωπότατον, πολλὰ τὰ δυσχερῆ νομιζόμενα τοῦ βίου μετ' εὐκολίας καταδέχεσθαι, τῇ ἐλπίδι τῶν ἀντιδόσεων προφερομένους. προσέχετε δή, παρακαλῶ, ὅπως οὐκ ἀπροσίμεν (ὅπερ καὶ πρὸ ἑαυτοῦ οἰκόθεν εἰσήνεγκεν ἐκ τῆς ἐγκειμένης τῇ ἡμετέρᾳ φύσει γνώσεως ἐδίνα ἐξωθεν ἐσχηκὼς διδάσκαλον, ἀλλὰ καὶ ὑπὸ ἀπίστοις γενέσθαι προφέρομενος) ὅπως μηδὲν κατὰ τὸν προφητικὸν ἡλικίαν τῇ πλάνῃ τοῦ παιδὸς κατηκολούθησεν, ἀλλὰ τὸ πρὸς τὸ θεῖον θεραπεῖον ἐπεδείκνυτο, καὶ τὸ ἀνωθεν ὑπισχνοῦμενον καὶ χεῖρας ἐπέτυχεν ἐπὶ ὅτι τῆς Χαλδαίας ὢν. τοῦτο γὰρ ἡμῖν σαφέστερον ἐκτίθεται ὁ μακάριος Στέφανος ὅτω λέγων· Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ,

Πρ. ζ. β.

ταμία, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν. Εἶδες πῶς ἡ ὄψις αὐτὸν ἐκεῖθεν ἀνέστησεν. Εἰκὸς γὰρ ὅτι μὴ τῆς τοῦ θεοῦ θεραπείας, ἢ τινὶ τοῦ γεγωνικέναι αἰδῶ ὑπιδεικνύμενος, καὶ εἰς πολὺ φίλτρον ὑπισταπάμενος τὸν πατέρα, αὐτὸς [ἴσως] αὐτὸν αἴτιος γέγονε τῆς ἐκεῖθεν ἐξόδου· ἐκ δὲ τοῦ πόθου τοῦ παιδὸς ἠνέσχετο καταλιπεῖν τὴν οἰκείαν πατρίδα καὶ τινὰ ἀλλοτρίαν οἰκῆσαι. Ἀλλ' ὅσα μοι περὶ ἀκριβείας, πῶς καὶ αὐτὴ ἡ τοῦδε τοῦ θεοῦ ἡμερωθεῖσα διὰ τινὰ τοιαύτην ἀρετὴν εἰς αὐτὸν ὑπέσχεψις, πάλιν αὖτε τινὰ ἀρετὴν τοιαύτην ἐργάζεται. Εἵλετο γὰρ τινὰ χώραν τινὰ πατρικὴν καταλιπεῖν, καὶ τινὰ ἀλλοτρίαν οἰκῆσαι, ἵνα τοῦδε τοῦ θεοῦ τοιαῦτα ἐκ τοῦ ἔργου ἀκούσῃ. καὶ ἕτοιμος ἦν, ὡς ἐμοὶ δοκεῖ, καὶ δὶς τοσαῦτα ποιῆσαι, εἰ μὴ τὸν ἀπὸ τοῦ θεοῦ ἐπιστάντα καὶ καθ' ἑαυτὸν τὴν ἀποδημίαν εἰσηγήσασθαι. Ἀλλ' ὅπερ ἔφην εἰπών, ἡ τοῦ ὑδρὸς ἀρετὴ καὶ ἡ πολλὴ θεραπεία ἡ τοῦδε τοῦ τεκόντος ἐμποδὼν ἐγένετο τοῦ καὶ πρότερον ἐκεῖνον ἐκ τοῦ πατρὸς παρεσκεύασεν. εἶτα ὅτε τὴν Χαρράν κατέλαβον, ἐκεῖ τὴν οἴκησιν ἐπήξαντο. καὶ τελευτήσαντος τοῦ Θάρρα (τοῦτο γὰρ ἦν ὄνομα τῷ πατρί) πάλιν προσάπεσε τοῦδε τοῦ θεοῦ ἐξελθεῖν ἐκεῖθεν. ἐξελθὲ γάρ, φησιν, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω. ὅτε γὰρ μετὰ πάσης τῆς οἰκίας εἰς τὴν Χαρράν μετέστησαν, ἔστι τοῦτο ἐν ταῖς προσάπασιν αὐτῷ ἐξελθεῖν προσετέθη, ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, δηλῶν αὐτῷ, ὅτι αὐτὸν μόνον καθ' ἑαυτὸν βούλεται τὴν ἀποδημίαν ποιήσασθαι, καὶ μήτε τὸν ἀδελφόν, τὸν Ναχὼρ λέγω, μήτε ἕτερόν τινα ὑπισύρεσθαι. ἐκ τῆς γῆς σου ἦ ἔλεγεν, ἐπειδὴ χρόνον οὐκ ὀλίγον ἐκεῖ οἰκήσαντες, ὡς ἐν ἰδίᾳ λοιπὸν πατρίδι τὴν οἴκησιν ἐποιοῦντο ἐν αὐτῇ. καί τοι τοῦ πένθους τῶν ἑαυτοῦ γονέων ἀκμάζοντος ἔτι, καὶ πολλῆς ὕσης τότε δυσχερείας τε καὶ ἀνοδίας κατὰ τὰς ἀποδημίας, ἀλλ' ὅμως μετὰ πάσης προθυμίας ὑπήκουσε τῷ θεσπίσματι τοῦδε τοῦ δεσπότου νῦνε, καὶ ταῦτα οὐκ εἰδὼς ὅπου χήσεται αὐτὸς τὰς τῆς πλάνης. δεῦρο γάρ, φησιν, οὐκ εἰς τοῦδε τινὰ γῆν, ἢ τοῦδε, ἀλλ' εἰς ἣν ἄν σοι δείξω. ὅμως ὄντος ἀοριστου τοῦ ὑπαγόμενος ὁδὸν προσεδόκησε καὶ ἐπήνεσε, καὶ τοῦτο τινὰ οἰκείαν ἀρετὴν δεικνύς. ὅτε γὰρ νέον αὐτὸν προσλαβόμενος μικρὸν μιμητὴν κατεσκεύαζε τῆς οἰκείας ἀρετῆς, οὐκ ἠνέσχετο τοῦτον καταλιπεῖν, ἀλλὰ κοινωνὸν αὐτὸν ἐλάμβανε τῆς ἀποδημίας. Εἰ γὰρ ὁ πατήρ, φησιν, ἄπιστος ὢν τοῦδε τὸ φίλτρον τὸν οἰκεῖον τοῦ πατρῴαν, ἔνθα ἐτέχθημεν καὶ ἠνέχθημεν, καταλιπεῖν κατεδέξατο, καὶ ἀχθοφορήσαί μοι, καὶ ὅτι τῆς ἀλλοτρίας βίον κατέλυσε, πολλῷ μᾶλλον ἐγὼ προσήκω τοῦτον τὸν ἀδελφοῦ παῖδα, νέον, οὐκ προοιμίων δεικνύτα ὡς μικρὸν ὑπιδώσει πρὸς ἀρετὴν, οὐκ δὴ δυσχερίμιλον ἐν ταῖς ἀφεῖναι. ἐπεὶ οὖν τοῦδε τινὰ δεικνὺς αὐτὸν τὸ φιλόθεον καὶ ταύτην ἐποιήσατο τὴν ἀποδημίαν, ἵνικα κατέλαβε τὴν Παλαιστίνην, καὶ τὸν ὅρων ἐπέβη τῶν Χαναναίων, ὀφθεὶς αὐτῷ ὁ Θεὸς καὶ νυμφοσας αὐτὸν βουλόμενος τὴν προθυμίαν, καὶ χεῖρα ὀρέξαι, φησὶ πρὸς αὐτόν· δῶ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὅταν ἐπεύχομαι καὶ ἐπόθεν (παίδων λέγω τὴν Ἀβραάμου) τοῦτο αὐτῷ βούλεσθαι ἐπιφρῆναι, ἀμοιβὴν αὖ τῶν τοσούτων πόνων δίδοὺς. ὅτε γὰρ ἀπὸ τῆς φύσεως ἀπεζήρητο, καὶ ἡ ἡλικία λοιπὸν ἀπαγορεύειν ἔπειθε τῇ ὑποστάσει, Ἀβραὰμ τὸν ἀθλητὴν, καὶ προθυμότερον ἀπεργάζεται καὶ νεάζειν αὐτὸν κατασκευάζει πρὸς τοῦ ἐξῆς ἀγῶνας. ὅσα τοίνυν μὴ τὴν ὑποστάσιν ταύτην, ἑτέραν πάλιν τὴν ἄθλησιν τοῦτον δεχόμενον. λιμοῦ γὰρ καταλαβόντος καὶ πολλῆς ὕσης τῆς ξενοχωρείας ἐν τῇ Χαναναίᾳ, ὅτι τὴν Αἴγυπτον ἔπευδε· καὶ λιμοῦ τοῦδε μὴ βούλεσθαι μείζονι προέβαλεν ἑαυτὸν κινδύνοις. ἡ γὰρ εὐμορφία τῆς γυναικὸς, καὶ ὁ κάλλος τῆς Σάρρας μονονουχὶ τὸ θαῦμα

αὐτῷ πρὸ τ῀ ὀφθαλμῶν ἐδείκνυ. διὸ καὶ πλησίον γιόμενος τ῀ εἰς Αἴγυπτον εἰσόδου, φησὶ πρὸς αὐτ῀, γινώσκω ὅτι εὐπρόσωπος εἶ· οἶδά σε καὶ τ῀ κάλλους τ῀ ὥρων, καὶ δέδοικα τ῀ν Αἰγυπτίων τ῀ ἀκολασίαν. ἐὰν οὖν ἴδωσί σε, καὶ γνῶσιν ὅτι καθάπερ γυναῖκα σε ἄγω σέ, σὲ μὲν ἴσως φείσονται ὡς εἰς ἔργον ἀναγωγῆς τῆς μανίας αὐτ῀ν ὂν οἴσγον, ἐμὲ δὲ ἀποκτενοῦσιν, ἵνα μετὰ ἀδείας αὐλοῖς ἄζηται τὰ παρανομίαν ἐργάσασθαι, οὐκ οἴτος τὰ τὰ μοιχείαν κατάδηλον ποιεῖν δυναμένη· εἰπὲ οὖν, ὅτι ἀδελφός σού ἐστι. ὄρα ἀδαμαντίνων ψυχὴν, ὄρα γνώμην σιδήρου στερροτέραν. οὐδὲ γὰρ παρεσαλεύσεν αὐτοῦ τὸν λογισμὸν ἡ προσδοκωμένη συμφορὰ, οὐδὲ ἐνενόησεν οὐδὲ εἶπε πρὸς ἑαυτόν, ἄρα τοῦτο τὰ τὰ οἰκείαν καταλιπὼν πατρίδα καὶ τοσαύτην ὑπιδεξάμενος ἀκολουθίαν ἦλθον εἰς τὰ ἀλλοτρίαν, ἵνα τούτοις παραδοθῶ τοῖς κακοῖς; ἢ τοῦ μακροῦ ἀπέχει μοι, ὅτι τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην; ἰδοὺ καὶ μοιχείας καὶ δικαίαν φόβος κατασείει ἡμῶν τὰ ψυχήν. ἀλλ' οὐδὲν τούτων οὐδὲ ὁ Ἀβραὰμ λαβεῖν κατεδέξατο· ἀλλ' ἑνὸς γάνεται μόνου, πῶς δικαιωθῇ ὁ ποιητὴν τοῦτο δράσας ἀπαγγελμάτων [ζ] τῶν δύο τούτων καινοτέρων ὑπιδειγμένων τὸν ἕνα γοῦν φυγεῖν. καὶ ὅπῃ καὶ αὐτὸς ἐαυτὸν εἰσήνεγκε μετὰ δυσκρείας τὴν συμβουλὴν ποιησάμενος, καὶ ἡ γυνὴ πολλὰ τ῀ πείσασα εἰ τ῀ ἀνδρὸς φιλοσοργίαν καὶ ἀπαγγελίαν ὑπιδιεκρούσθη σωφρόνως, καὶ τοῖς δόξασιν ὑπηρετήσασα· καὶ ὅπῃ ἐαυτῆς ἀπήρτισαν, ἐς ὅσον τὰ αἰσθητὴν ἀκολουθίαν ἀπήγαγεν, καὶ εἰς ἔργον ἐκβεβήκει κακοῦ τῆς παρανομίας, τότε πολλὴ φείδεται τοῦ ἀνδρὸς ἡ τ῀ θεοῦ δείκνυται προνοία. καὶ μόνον γὰρ τὴν γυναῖκα ὁ θεὸς τῆς ὕβρεως ἐξήρπασε καὶ τῆς ἀγριωτέρας ὀργῆς, ἵν' μὴ τὰ βασιλέως καὶ πάντος τὰ ὅσου αὐτ῀ ἐποίσατο, ἀλλὰ καὶ ὃν παρεσκεύασε μὴ πολλῆς τῆς προφανείας ἀπὸ τῆς Αἰγύπτου ὅτι τὴν Παλαιστίνην ἐπανελθὼν πεποίηκε. σκόπει πῶς μεταξὺ τ῀ν πειρασμῶν τὴν πρὸς αὐτ῀ ῥοπὴν εἰς φέρων ὁ φιλόθεος Ἀβραὰμ διαστὰς, ἀκριβάζονται τὸν ἀθλητ῀ πρὸς τὸν ἐξῆς πάλιν ἀγῶνας ἀναγκάζεται, οὐκ ἀφεὶς ἔρημον τῆς ἑαυτοῦ βοηθείας, ἀλλὰ διὰ πάντων φανερὸς οἰκειούμενος αὐτὸν δείκνυσθαι, ὅτι μαρὰ εἰσφέρων αὐτὸς, μεγάλων καὶ σφόδρα μεγάλων ἀξιοῦται καὶ νικητῶν τὴν δυσθεσπίσιν φύσιν. εἶδες τοίνυν τὸ δικαίου τὴν ἀνομίαν. ὄρα πάλιν μὴ τὴν ἐκβᾶσαν ἐπιφοδον, τῆς παπεινοφροσύνης αὐτὸ τὸ μέγεθος καὶ τὴν ὑπειρεικέναι τὴν πολλήν. ὅπῃ γὰρ ἐπεμνήσθην ἀπὸ τῆς Αἰγύπτου εὐπορείαν πολλὴν κτησάμενος (οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ ἀδελφιδοῦς ἠκολούθει) οὐκ ἐχώρει, φησὶν, αὐτοὺς ἡ γῆ κατασχεῖν ἅμα, ὅτι ἦν τὰ ἀπάρχοντα αὐτῶν πολλά. ὅθεν καὶ μάχη σωρεύεται γενέσθαι μεταξὺ τ῀ν ποιμένων τ῀ Λὼτ καὶ τοῦ Ἀβραάμ. ἀλλ' ὁ δίκαιος οὗτος δεικνὺς αὐτ῀ τὸ ἥμερον τῆς ψυχῆς καὶ τῆς φιλοσοφίας τὸν ἀνδρόλιον, καλέσας τὸν Λὼτ φησὶ πρὸς αὐτόν· μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ τ῀ν ποιμένων μου καὶ τ῀ν ποιμένων σου, ὅτι ἄνδρες ἀδελφοὶ ἡμεῖς ἐσμεν, μονονοὺ καὶ λέγων πρὸς αὐτόν· οὐδὲν εἰρήνης ἴσον· οὐδὲν φιλονεικίας βαρύτερον. ἵν' οὖν πᾶσαν μάχης ἀποθήσειν ἐκποδὼν ποιησώμεθα, ἐλοῦ᾽ν ἀνδρὶ βουληθῆς χώρων· καταλιπὲ δέ μοι τὴν λειπομένην, ἀνὴρ τὸ πάσης ἡμᾶς ἔρωτος καὶ φιλονεικίας ἐκτὸς γενέσθαι. εἶδες ἀνδρὸς ἀρετήν. παρεχώρησε τῷ νέῳ τὴν πρεσβείαν τὸν ἀγῶνα, καὶ ἔστερξε τὴν Φαυλοπάτιν χώραν. ἀλλ' ὄρα πάλιν, ὅπῃ τὰ παρ' ἑαυτὸ ἐπεδείξατο, πόσης ἀπολαύει τῆς ἀμοιβῆς. μετὰ γὰρ τὸ χωρισμοῦ γενομένου, φησὶ πρὸς αὐτ῀ ὁ θεὸς μὴ ὃ διεχωρίσθη τὸν Λὼτ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου ἴδε πᾶσαν τὴν γῆν ἧς" ἑκατέρου τὰ μέρους, ὅτι πᾶσαν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος. σκόπει πόσης ἀξιοῦται τῆς φιλοτιμίας διὰ τὸν παπεινοφροσύνην, ἵν' ἐπεδείξατο πρὸς τὸν ἀδελφιδοῦν· καὶ αὐτὸς μὲ μικρῶν παραχωρήσας πολὺ μει-

ζόνων

Επειδὴ ἐβιάσαντο, φησὶν, αὐτοὺς, καὶ εἰσήγαγον πρὸς τὰς δοκούς μου, ἵνα μὴ ἐμοὶ ὀπτιχαφῆ ἡ εἰς αὐτοὺς γενομένη παρανομία, καὶ ἐγὼ αὐτοῖς αἴτιος τῆς ὕβρεως ταύτης γένωμαι, ἀλλὰ τοῦτο πρὸς αὐτῶν τὰς δύο μου θυγατέρας δίδωμι, ὥστε τούτοις ἐλευθερῶσαι τῶν ὑμετέρων χειρῶν. πόσον τὸ δίκαιον ἡ ἀρετή; πᾶσαν ἀρετὴν φιλοξενίας ἐνίκησε. τί γὰρ ἄν τις εἴποι κατ' ἀξίαν τῆς τοῦ δικαίου τούτου φιλοφροσύνης, ὃς οὐδὲ τῶν θυγατέρων φείσασθαι ἠνέσχετο, ἵνα τοὺς εἰς αὐτὸν ξένους τιμὴν ἐπιδείξηται, καὶ ἐλευθερώσῃ τῆς παρανομίας τῶν Σοδομιτῶν; καὶ οὗτος μὲν τὰς θυγατέρας ταῖς ἑαυτοῦ ἐκδίδωσιν, ἵνα τοὺς ξένους, τοὺς οὐδέτας (πάλιν γὰρ τὰ αὐτὰ λέγω) τοὺς μηδαμόθεν αὐτῷ γνωρίμους ἁρπάσῃ τῆς τῶν παρανόμων ὕβρεως· ἡμεῖς δὲ ὁρῶντες πολλάκις τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους εἰς αὐτὸ τῆς ἀσεβείας τὸ βάραθρον, καὶ, μᾶλλον εἰπεῖν, κατὰ τὸν Φαρύγγα τοῦ ἀβαθόλου γνώμης, οὐδὲ λόγου μεταδιῶναι ἀνεχόμεθα, οὐδὲ συμβαλεῖν, καὶ τὸν ἀβὰ τῶν λόγων παραίνεσιν εἰσενεγκεῖν, καὶ ἁρπάσαι τῆς καρδίας, καὶ πρὸς τὴν ἀρετὴν χειραγωγῆσαι. ποίαν οὖν ἀποθησόμεθα ἀπολογίαν, τοῦ μὲν δικαίου μηδὲ τῶν θυγατέρων φεισαμένου διὰ τὸν εἰς τοὺς ξένους καθήκοντα, ἡμῶν δὲ ὕπτιος διὰ παντὸς τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους ἁρπαζομένων, καὶ πολλάκις τὰ ψυχρὰ σκῶμα καὶ ἀλογίας γέμοντα ῥήματα παρ' ἑαυτῶν· τί γὰρ καινὸν ἔχω, φησί, πρὸς αὐτόν; οὐδέν μοι μέλει, οὐδὲν πρᾶγμα ἔχω. τί λέγεις, ἄνθρωπε; οὐδὲν καινὸν ἔχεις πρὸς αὐτόν; ἀδελφός σού ἐστι· τῆς αὐτῆς σοι μετέχει φύσεως· καὶ τοῦτο αὐτόν ἐστε δεσπότην· πολλάκις ἢ καὶ τῆς αὐτῆς μετέχετε τραπέζης, τῆς πνευματικῆς λέγω καὶ φρικτῆς, καὶ λέγεις οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, καὶ ἀνέλεως προσπέχεις, καὶ οὐκ ὀρέγεις χεῖρα χειμῶνι; καὶ Ιουδαίοις μὲν ὁ νόμος προστάττει μηδὲ τῶν ἐχθρῶν τὰ κατὰ ζυγὰ παρορᾶν πεπτωκότα· σὺ δὲ τὸν ἀδελφὸν κατὰ τοῦ ἀβαθόλου πολλάκις τετρωμένον καὶ χείμωνι ὁρῶν, οὐκ ὀπὶ τῆς, ἀλλ' εἰς τὸ τῆς ἁμαρτίας βάραθρον, οὐκ ἀναστᾶς ἀβὰ τῆς προαιρέσεως, καὶ τὸν νουθετήσαντα εἰσάγεις τὸν παρὰ σαυτοῦ, καὶ κατουδάζεις καὶ ἑτέρους, εἰ οἷόντε, εἰς συμμαχίαν λαβεῖν, ἵνα τῆς Φαρυγγος τοῦ θηρίου τὸ μέλος τὸ σὸν ἐλευθερώσας δυνηθῇς, καὶ πρὸς τὸν οἰκείαν ἐπαναγαγὼν ὑγίειαν, ἵνα καὶ αὐτὸς, εἴ ποτε πρὸς πεσῆς, ὃ μὴ γένοιτο, τοῖς δικτύοις τοῦ πονηροῦ δαίμονος ἐκείνου, δυνηθῇς ἔχειν τοῦ ἀμύνασθαι δυναμένους, καὶ ἐλευθερῶσαι τῶν τοῦ ἀβαθόλου μηχανῶν; ὅπου καὶ Παῦλος διεγείρει βουλόμενος Γαλάτας εἰς τὸν τῶν οἰκείων μελῶν προνοιαν, φησι, Σχοπῶν σεαυτὸν

τὸν, μὴ ϗ σὺ πεισθῇς· μονονουχὶ λέγων, ἐὰν ἀσυμπαθῶς ϗ ἀνηλεῶς προδράμῃς τ' ἀδελφόν, ἴσως ϗ σὲ προδραμεῖται ἕτερος ὕστερον προδραμόντα. Εἰ τοίνυν βούλει μὴ παρεφθῆναι, εἰ ποτε προεπέσοις, μήτε αὐτὸς παείδοις, ἀλλὰ πολλὴν ἐπίδειξαι τὴν φιλοσοφίαν, ϗ ἡσσαν ἡγοῦ μέγιστον, ὃ δυνηθῆναι δίκαιόν σε ἀδελφόν. Οὐδὲν γὰρ τούτου ἴσον γένοιτ' ἂν ποτε εἰς ἀρετῆς λόγον. ἐὰν γὰρ σὺ νικήσῃς μόνον, ὅτι οὕτως, ὃν παρορᾷς ϗ προπηλακίζεις, τοσοῦτόν σου τοσαύτης ἠξίωται τῆς ὑμῆς, ὡς δι' αὐτὸν μὴ προδοθῆναι ϗ τὸ αἷμα ἐκχέειν τὸ ἑαυτοῦ (καθὼς καὶ Παῦλός φησι, Καὶ ἀπολεῖται ὁ ἀσθενὴς ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν) Εἰ τοίνυν δι' αὐτὸν ὁ Χριστὸς ϗ τὸ αἷμα ἐξέχεε, τί μέγα ποιήσεις, ἐὰν τῷ προδόντι σαυτὸν φιλοσοφίαν ἐπιδείξῃ, ϗ τῇ δίκῃ τῶν λόγων προσδεηθῇς πεῖσαι τὸν ἀνήμερον, ϗ τῷ αὐτοῦ ψυχρῷ βεβαπτισμένῳ ἴσως ϗ τοσοῦτον γεγενημένῳ ἀνενέγκῃς ἐκ τοῦ τῆς κακίας βυθοῦ, ϗ προσκυδάσῃς ἰδεῖν τῆς ἀρετῆς τὸ φῶς, ϗ μὴ παλινδρομῆσαι ἐπὶ τῆς κακίας ζόφον; μιμησώμεθα τοίνυν, προκαλοῦμαι, τοῦτον, ἐξ οὗ δέοι ϗ κἂν δυνατὸν ἦν ἐκεῖνον ἐπανορθῶσαι τὸν πλησίον προσγματεύσασθαι, μηδὲ τοῦτο παραιτησώμεθα. ὁ γὰρ τοιοῦτος κίνδυνος σωτηρίας ἡμῖν ἐπίθεσις γίνεται, ϗ πολλῆς παῤῥησίας προέξεινος. ἐννόησον γάρ μοι τοῦτον, ὅπως προσῆκον ὅλοκληρον τοσαύτῃ προσὶ τὴν κακίαν τὴν συμφωνίαν ἐπιδειξάμενον παρετάξατο, ϗ μεθ' ἐπιδείξεως πολλῆς ϗ τῆς ἀνδρείας ἄφατον ἐπιδείκνυτο, εἰ ϗ οὐδὲ ὅπως καθικέσθαι ἠδυνήθη τῆς ἀκαθεκτίας αὐτοῦ μανίας. μετὰ γὰρ ταῦτα ῥήματα ἐκεῖνα, ϗ τὴν ἐπιείκειαν τὴν ἐπαρβαλλούσαν, ϗ ὃ μονονουχὶ ταῖς χερσὶν ἐκδοῦναι δίκῃ τῶν λόγων ταῖς θυγατέρας, τί φασι πρὸς αὐτόν;

9 Ἀπόσα ἐκεῖ.

Ὦ μέθης ἐπαρβολὴ, ὡς προφανοῦς ἐπίτασις. τοιοῦτον γὰρ ἡ πονηρὰ αὕτη καὶ ἀκόλαστος ἐπιθυμία· ἐπειδὰν προεγκύψῃ τῷ λογισμοῦ, οὐκ ἀφίησι συνιδεῖν οὐδὲν τῶν δεόντων, ἀλλὰ καθάπερ ἐν σκότῳ καὶ νυκτομαχίᾳ τινὶ, ὕπνος ἀπόντα βαθὺς κατέπεσεν.

Ἀπόσα, φησὶν, ἐκεῖ. Εἰσῆλθες ποτὲ ἐκεῖ, μὴ ϗ κρίσιν κρίνει; νυνὶ οὖν σε καὶ κωλύσω μᾶλλον, ἢ ἐκείνους.

Ὅρα πῶς μοι ὁ δίκαιος ἐπιεικῶς αὐτοῖς διαλέγεται, ἢ ὃ πόση κέχρηνται τῇ θρασύτητι. ὥσπερ ἐκβακχευθέντες λοιπὸν ἀπὸ τοῦ διαβόλου, ϗ ὡς ἀπὸ ἐκείνου γραπτευόμενοι, ὕπνου καταξανίσανται τοῦ δικαίου, καὶ φασιν, Εἰσῆλθες παρακεῖ, μὴ ϗ κρίσιν κρίνῃ; παρακικόν σε, φησιν, ἐδοξάσαμεν· μὴ γὰρ ϗ κεῖνος ἡμῶν κατέσχε; ὦ ἀγνωμοσύνης ἐπαρβολή. δέον ἐπιστραπῆναι, δέον αἰδεσθῆναι τὴν συμβουλὴν τοῦ δικαίου, ἢ ὃ, καθάπερ ἢ μεμηνόμενοι ἐξ ἐναντίας ἐπιχειροῦσιν, ὕπνου ϗ ὕπνε, σὲ, φησι, κακώσομεν μᾶλλον, ἢ ἐκείνους. Εἰ μὴ βούλει, φησὶν, κοπάσας, μαθὼν ὡς δεῖόν σοι πλέον ἔσαι τῆς εἰς ἐκείνους προσασίας, ἢ τὸ ἐκείνους μὴ φαφυγεῖν ὕπνε κίνδυνον, σε ἢ τούτῳ προβληθῆναι.

Παρεδιάζοντο ἢ τὸν Λὼτ σφόδρα.

Ὅρα ὕπνε δίκαιον τοῦτον ϗ ἀνδρεῖον ἐπιδεικνύμενον, ἐξ ἴσου τῷ πλήθει ἀντιτάττεσθαι ἐπιχειροῦντα.

Καὶ ἠγλισάν, φησι, συντείναι τὴν θύραν.

Ἐπειδὴ γὰρ μέλλων ἐξιέναι, ϗ τ' τούτων μανίαν προσορῶν προσέῳξεν αὐτοῖς ὀπίσω τὴν θύραν, οὐκ ἀναχόμενοι ἢ μαινοὶ ὕπνε ϗ ἄφρονες τῆς τοῦ δικαίου προνοίας, αὐτὴν

αὐτὸν τε ἐξαίζοντα ἐν τῷ θύρᾳ ζωπυρεῖν ἐπεχείρησεν. ἀλλ' ὅπερ ἀφ' ὧν πεπλημμέλητο ἐδείκνυτο καὶ ἡ τῶν δικαίων ἀρετὴ καὶ ἡ πρὸς τοὺς ξένους νομιζομένους κηδεμονία, καὶ τῶν πλήσιον σκείνου πόλεως ἡ παρὰ τῷ κακίαν συμφωνία, ὥστε λοιπὸν σκκαλύπτουσιν ἑαυτοὺς ⓐ πολλαχῆ νότες. καὶ ὅπερ εἶδον ⓦ δίκαιον πόλιν ἐν πρὸς ἑαυτὴν πεπληρωκότα, τῷ οἰκείῳ ὑπερδείκνυται δυνάμει, καὶ ἐπαμύνοσι τῷ δικαίῳ καταδυναστευομένῳ ὑπὸ τῆς σκείνων μανίας.

10 Ἐκτείναντες γὰρ, φησιν, ⓐ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο ⓦ Λὼτ πρὸς ἑαυτοὺς εἰς ⓦ οἶκον, καὶ τῷ θύρᾳ τῆ οἴκου ἀπέκλεισαν· 11 Τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τῆ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικρῶ ἕως μεγάλου, καὶ πρελύθησαν ζητοῦντες τὴν θύραν.

Ὁρᾷς πῶς καὶ ὁ δίκαιος σὺν πρόσχημα τῆς φιλοξενίας κομίζεται τὰς ἀμοιβὰς, καὶ οἱ πρόνομοι σκφοὶ ἀξίαν τίνυσι δίκην. Εἰσεσπάσαντο γὰρ, φησι, ⓦ Λὼτ εἰς τὸν οἶκον, καὶ τὴν θύραν ἀπέκλεισαν, σὺν δὲ ἄνδρας ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικρῶ ἕως μεγάλου, καὶ πρελύθησαν ζητοῦντες τὴν θύραν. ὅπερ ὃ τῆς διανοίας αὐτῶν ὄμμα πεπήρωτο, διὰ τοῦτο καὶ τῆς ὁράσεως τὸ τύφλωσιν ὑπομένουσιν, ἵνα μάθωσιν ὡς σοφὸν αὐτῶν ὄφελος τὸ σωματικὸν ὀφθαλμοῖ, τὸ τῆς διανοίας ὀμμάτων πεπηρωμένων. καὶ ὅπερ Σύμφωνον τὴν κακίαν ἐπεδείκνυτο, καὶ ὅτε ⓐ νέοι, ὅτε ⓐ πρεσβῦται ἀπείχοντο τῆς πονηρᾶς ὑπουργήσεως, διὰ τοῦτο πάντες, φησιν, ἀπετυφλώθησαν, καὶ ὁ μόνον τὴν πήρωσιν ἐδέχοντο, ἀλλὰ καὶ διὰ τῆς ἰσχύος αὐτοῖς τὸ σώματος διελύετο. ὅπερ γὰρ ὃ κυριώτερον μέρος τὴν ψυχὴν ἦσαν διαλελυμένοι, διὰ τοῦτο καὶ τὸ σώματος τὴν ἰσχὺν πρελύθησαν. καὶ ⓐ πρότερον Σωπυρεῖν τὴν θύραν ὑπεχειρησῶντο, καὶ μὴ πολλῆς ἀπειλῆς τῷ δικαίῳ διαλεγόμενοι, ἀλλ' ἐξῆλθον εἰσῆκεισαν πρὸς διαλελυμένοι, καὶ πρὸς τῷ ὀφθαλμῷ κειμένῳ τὴν θύραν οὐχ ὁρῶντες. τότε λοιπὸν ἀνέπνευσεν ὁ δίκαιος, ὁρῶν οἵνες ἦσαν ⓐ πρόσκαιροι, καὶ ὅτι μεγάλη τις αὐτῶν ἡ δυνάμις ὅτι.

12 Καὶ γὰρ εἶπον πρὸς αὐτὸν ⓐ ἄνδρες· ἔστι τις σοι ὧδε γαμβρὸς, ἢ υἱοὶ, ἢ θυγατέρες, ἢ εἴ τίς σοι ἄλλος ὅστιν ἐν τῇ πόλει;

Ὅρα πῶς τῆς φιλοξενίας ἀμείβονται ⓦ δίκαιον, καὶ πῶς αὐτῷ χρείαν βάλλονται τῶν οἰκείων πόνων τὴν σωτηρίαν. εἴ τίς σοί, φησιν, ἐν τῇ πόλει, εἴ τινος ἀντέχῃ, εἴ τινα οἶδας ἐκτὸς γενόμενα τῆς τύτων πονηρίας,

30 Ἐξάγαγε ἐκ τ τόπου τύτου,

Καὶ ἐκ τῆς γῆς, καὶ πόλεως ἴσις σοι πρεσπέπτωκας ἐξάγαγε.

13 Ἀπόλλυμεν γὰρ ἡμεῖς τὸν τόπον *.

Εἶτα καὶ τὴν αἰτίαν ἐπάγουσι, διδάσκοντες τὸν δίκαιον ἀπόντα μὴ ἀκριβείας·

Ὅτι ὑψώθη, φησὶν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς * ἐκτρίψαι αὐτούς.

Τοῦτο ἴσως ὅπερ ἔλεγε τῷ πατριάρχῃ, ὅτι κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνε πρὸς μέ. ὑψώθη, φησὶν, ἡ κραυγὴ αὐτῶν ἐναντίον κυρίου. πολὺ τῆς πρόνομίας αὐτῶν τὸ μέτρος. καὶ διὰ τοῦτο ὑπὲρ ἀνίατός ὅστιν ἡ νόσος, καὶ τὸ τραῦμα ἀθεμίτου θεραπείαν ὑπιδέχεται, ἀπέστειλε κύριος ἡμᾶς ἐκτρίψαι αὐτούς. τοῦτο ἔστιν ὃ ἔλεγε [καὶ] ὁ μακάριος Δαβὶδ, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτῦ πυρὸς φλόγα. ὅπερ ἀφανίσαι, φησὶ, πρόσταγμα πᾶσαν ταύτην τὴν πρόσχωρον (διὰ γὰρ τὴν πονηρίαν τῶν συνοικούντων καὶ ἡ γῆ τὴν ἡμερότητα δέχεται) ἐξελθὲ ἐντεῦθεν. ταῦτα ἀκούσας ὁ δίκαιος, καὶ μαθὼν τὴν αἰτίαν, δι' ἣν πρόσταγμα ἄνδρες μὴ φανόμενοι, Ψαλ. ρδ'. δ'.

μωνοι, ἀγγελοι ὑπηρετοῦντες, καὶ λειτουργοῦντα τῷ τῶν ὅλων Θεοῦ,

14 Ἐξελθὼν ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς ἐληφότας τὰς θυγατέρας αὐτοῦ.

Καὶ μάλα ἄνω ἔλεγε τοῖς νομίμοις ἐκείνοις, ὅτι ἰδοὺ δύο θυγατέρας ἔχω, αἵτινες οὐκ ἔγνωσαν ἄνδρας. πῶς οὖν ἐν ταύτῃ φησὶ, πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς ἐληφότας τὰς θυγατέρας αὐτοῦ; μὴ νομίσῃς ἐναντία εἶναι ταῦτα τοῖς πρότερον νομοθετηθεῖσι. ἔθος γὰρ ἦν τοῦτο τοῖς παλαιοῖς πρὸ πολλοῦ χρόνου τὰς μνηστείας ποιεῖσθαι, καὶ πολλάκις καὶ συνοικῆν τὰς μνηστευθείσας, καὶ ἅμα τοῖς γονεῦσι διατρίβειν· ὃ καὶ νῦν ἔστιν ἰδεῖν πολλαχοῦ γινόμενον. ἐπεὶ οὖν ἤδη τὰ τῆς μνηστείας ἐτετέλει, διὰ τοῦτο καὶ γαμβροὺς αὐτοὺς ὀνομάζει, καὶ φησι τοὺς ἐληφότας τὰς θυγατέρας αὐτοῦ. τῇ γνώμῃ γὰρ καὶ τῇ συγκαταθέσει ἐληφότες ἦσαν.

Καὶ φησιν, ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν.

15 Ἐδόξει γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ.

Ὅρα πῶς ἐκ τῆς ζύμης ἦσαν τῆς πονηρᾶς οὗτοι, καὶ διὰ τοῦτο βουλόμενος ὁ Θεὸς ταχέως ἐλευθερῶσαι τὸν δίκαιον τῆς πρὸς ἐκείνους συγγενείας, οὐδὲ μικρὰν ἀνοχὴν τοῖς τὰς θυγατέρας τοῦ δικαίου, ἀλλὰ πρόφασιν λαμβάνουσι μὴ τῶν πονηρῶν καὶ τούτους, ἵνα ἐξελθὼν ὁ δίκαιος μὴ τῶν θυγατέρων διὰ φύγῃ τὴν πρὸς ἐκείνους συγγένειαν. ἀκούσαντες οἶνον πρὸς τὸν δικαίου τὴν φοβερὰν ταύτην ἀπειλήν, μονονουχὶ διεχλεύαζον καὶ ἐνόμιζον ληρωδίαν εἶναι τὰ παρ' αὐτοῦ λεγόμενα. ἀλλ' ὅμως ὁ δίκαιος τὰ παρ' ἑαυτοῦ ἐπλήρου, καὶ ὅπως ἅπαξ ἐμνηστεύσαντο αὐτοῦ τὰς θυγατέρας, ἐβούλητο ἐξαρπάσαι αὐτοὺς τῆς ἁμαρτίας. ἀλλ' ἐκεῖνοι οὐδὲ ὅπως ἠνέχοντο, ἀλλ' ἐπέμενον τῷ οἰκείῳ τρόπῳ, καὶ ἐμωράνοντο λοιπὸν δι' αὐτῶν τῶν ἔργων, ὡς ἂν συμφερόντως αὐτοῖς τοῦ δικαίου τὴν συμβουλὴν ἀπεπέμψαντο.

Ἡνίκα δέ, φησιν, ὄρθρος ἐγένετο, ἐπεσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες, σῶσαι λαβὲ τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως. 16 Καὶ ἐπραύνθησαν.

Μὴ μέλλε, φησί. δεῖ γὰρ ἤδη πάντα ὀλεθρον τούτοις ἐπιστῆναι. σαυτὸν οὖν καὶ τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας διάσωσον. ἐκεῖνοι γὰρ μὴ θελήσαντες πειθῆναί σου τῇ παραινέσει, οὐκ εἰς μακρὰν τῆς ἀπωλείας κοινωνήσουσι τοῖς λοιποῖς. μὴ τοίνυν μέλλε, ἵνα μὴ καὶ αὐτὸς τῇ ἀπωλείᾳ τῶν παρανόμων τούτων κοινωνήσῃς. καὶ ἐπραύνθησαν ταῦτα ἀκούσαντες οἱ ἄγγελοι περὶ τοῦ Λὼτ καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας. ἐπραύνθησαν, ἐμφοβοί, φησι, γενόμενοι, εἰς πολλὴν δειλίαν κατέστησαν, ἠπορήσαν τὴν ἀπειλήν. διὰ κηδόμενοι τοῦ δικαίου οἱ ἄγγελοι, ἐκέλευσαν, φησι, τῆς χειρὸς αὐτοῦ. οὐκ ἔτι λοιπὸν ὡς περὶ ἀνδρῶν διαλέγεται ἡ γραφή, ἀλλ' ὅπως μέλλουσιν ἐπάγειν τὴν τιμωρίαν, ἀγγέλους αὐτοὺς ὀνομάζει, καὶ φησιν·

Ἐκράτησαν τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ, ὡς ἂν φείσασθαι αὐτοῦ κύριον.

Παρεθαῤῥυνάνουσιν αὐτὸν διὰ τῆς ἁφῆς τῆς χειρὸς, καὶ ἐνθαῤῥύνασαν αὐτῶν τὴν προθυμίαν, ἵνα μὴ ὁ φόβος διαλύσῃ αὐτῶν τὸν ἰσχυρόν. διὰ τοῦτο ἐπήγαγεν, ὡς ἂν φείσασθαι αὐτοῦ κύριον. ἐπειδὴ γάρ, φησι, σωτηρίας αὐτὸν ἄξιον ἔκρινεν ὁ κύριος, διὰ τοῦτο καὶ οἱ ἄγγελοι βουλόμενοι ἐνθαρσῦναι αὐτῶν τὴν προθυμίαν, τῆς χειρὸς αὐτῶν κρατοῦσι,

17 Καὶ ἐξαγαγόντες αὐτὸν ἔξω εἶπαν· σῶζε τὴν σαυτοῦ ψυχήν. μὴ περιβλέψῃς

βλέψῃς εἰς τὰ ὀπίσω· μὴ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. Εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς.

Ἐπειδή, φησι, λοιπὸν ἀπηλλάξαμαί σε τῶν παρανόμων τούτων, μηκέτι περιβλέψῃ εἰς τὰ ὀπίσω, μήτε θελήσῃς ἰδεῖν τὰ τούτοις συμβησόμενα, ἀλλὰ σπεῦσον καὶ μακρὰν γενοῦ, ἵνα μὴ φθάσῃ διωχθῆς τινὶ ἐπαγομένῳ τούτοις ὀλέθρῳ. Εἶτα δεδοικὼς ὁ δίκαιος, μήποτε ἀδυνηθῇ καταλαβεῖν τὸν ὡρισμένον αὐτῷ ἀφορισθέντα τόπον, καὶ εἰς τὸ ὄρος φθάσαι, φησί,

18 Δέομαι κύριε, 19 Εἰ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγαλίωσας τὸ δικαιοσύνῳ σου, ὃ ποιεῖς εἰς ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ δυνήσομαι σῶσαι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακά, καὶ ἀποθάνω. 20 Ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἡ μικρά ἐστιν· ἐκεῖ σωθήσομαι, καὶ ζήσεται ἡ ψυχή μου.

Ἐπειδὴ ἄπαξ, φησὶν, ἐκείνατε τὴν σωτηρίαν χαρίσασθαί μοι, ἐπαρθαρρὴς δὲ μου τὴν ἰσχὺν ὃ φάσαι τὸν ὄρος χρυσοῦν, πλείονα περὶ ἐμὲ τὴν φιλανθρωπίαν ἐπιδείξασθε, καὶ χρυσότερόν μοι τὸ κράτος ποιήσατε, μήποτε καταληφθῶ ὑπὸ τῆς ἐπαγομένης μοι ὀργῆς, ἐὰν κοινωνήσω τῆς δίκης τούτοις, καὶ τὴν πόλιν ταύτην τὴν πλησίον ἀφορίσατέ μοι. Εἰ γὰρ καὶ βούλεται καὶ μικρά, ἀλλ' ἐκεῖ διασωθεὶς δυνήσομαι ἐν ἀσφαλείᾳ εἶναι λοιπόν.

21 Καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἐθαύμασά σε ὃ προσωπον ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας.

Ἐδοξάμην σε τὴν ἱκεσίαν, φησί, καὶ ποιήσω καὶ τοῦτο, καὶ παρέξω σοι τὸ αἰτηθέν, καὶ σῴζω σὲ καὶ τῆς πόλεως φείσομαι. 22 Σπεῦσον οὖν, ἐπὶ καταλάβε ἐκεῖ τόποι, καὶ σώζου· Οὐδὲν γὰρ ποιήσω τι μέχρι τοῦ παραγένεσθαί σε ἐκεῖ.

Οὐ γὰρ δυνήσομαί, φησι, [τοῦ] ποιῆσαι πρᾶγμα, ἕως τοῦ εἰσελθεῖν σε ἐκεῖ.

Ἐπειδὴ κήδομαί σου τῆς σωτηρίας, ἀναμένω τὴν ἐκεῖ σου ἄφιξιν, καὶ ὅτε τούτοις ἐπάγω τὴν ὀργήν.

23 Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ.

Περὶ τοῦ τοῦ ἡλίου ἀνατολὴν ἔφασε τὴν πόλιν· καὶ οὐδέπω ἐκείνου ἐντὸς τῆς πόλεως γενομένου, ὅτι τὴν τιμωρίαν ἐδέχοντο.

24 Ἔβρεξε γὰρ, φησι, κύριος θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, 25 Καὶ κατέστρεψε τὰς πόλεις ταύτας ἐπὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ πάντα ἀνατέλλον ἐκ τῆς γῆς.

Μὴ ξενίζετω σε, ἀγαπητέ, τῶν ῥημάτων ἡ ζωοτόκη. ἰδίωμα γὰρ τοῦτο ἐστὶ τῆς γραφῆς, ἐπὶ ἀλλαφόρως οὕτω πολλάκις τίθησι τὰ ῥήματα· ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν. ἔβρεξε γὰρ, φησι, κύριος θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, ἵνα εἴπῃ, ὅτι κύριος τὴν τιμωρίαν ἐπήγαγε, καὶ οὐ μόνον τὰς πόλεις κατέστρεψε, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας, ἀλλὰ καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς ἠφάνισεν. ὅπερ γὰρ ἐν τούτοις οἰκοῦντες αἱ θεοπρεπεῖς πολιὰ τῆς ποιμενείας καρπὸν ἐπεδείξαντο, διὰ τοῦτο ἐκ τῆς γῆς, φησι, τοὺς καρποὺς ἀχρήστους ἐργάζομαι, ἵνα καὶ ἐκείνων ἀφανισθέντων αὖθις διηνεκὲς ὑπόμνημα γένηται τοῖς μὴ τούτων γευσαμένοις, διὰ τῆς οἰκείας ἀκαρπίας πάντας διδάσκοντα τῶν ἐνοικησάντων αὐτῇ τὴν ποιμενείαν. Εἶδες ὅσον ἐστὶν ἀρετὴ, καὶ ὅσον κακία, καὶ πῶς ὁ μὲν δίκαιος ἐσώθη, αὐτοὶ δὲ ἀξίαν τὴν τιμωρίαν ἔδοσαν τῆς ποιμενείας. καὶ ὥσπερ ὁ δίκαιος διὰ τὴν οἰκείαν ἀρετὴν καὶ τοὺς συγγενεῖς διέσωσε, καὶ τῆς πόλεως ἐκείνης τὴν καταστροφὴν διεκώλυσεν, οὕτω καὶ οἱ διὰ τὴν ἐναντιολίαν τῆς οἰκείας ποιμενείας οὐ μόνον

αὐτοὶ

αὐτοὶ ἀπώλοντο καὶ διεφθάρησαν, ἀλλὰ καὶ τὴν γῆν ἄκαρπον εἰς ὃ ἐξῆς γένεσθαι παρεσκεύασαν.

26 Καὶ ἐπέβλεψεν ἡ γυνή, φησιν, εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.

Ἐπειδὴ γὰρ ἀκηκόασι παρὰ τῶν ἀγγέλων τὸ μὴ καταπτόμενον τῷ δικαίῳ, ὥστε μὴ κατοστέχειν εἰς τὰ ὀπίσω, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπείξεως τὴν ἀναχώρησιν ποιήσασθαι, παρήκουσεν [αὐτῆ] τῶν ῥηθέντων, καὶ ὃ παρήγγελθεν οὐκ ἐφύλαξε, διὰ τοῦτο τὴν οἰκείας ῥᾳθυμίας δίδωσι δίκην. χ. τὸ ε λων πεῖρα

ΗΘΙΚΟΝ Ἀλλ' ἡμεῖς ταῦτα ἀκηκόοντες πολλοῦ τῆς οἰκείας σωτηρίας τοῦ κατοικοῦντος ποιησώμεθα, καὶ τῆς μὲν ἐκείνων παρανομίας φύγωμεν τὴν μίμησιν, τὴν δὲ δικαίου τούτου τὴν φιλοξενίαν ζηλώσωμεν, καὶ τὴν ἀλλοίαν ἀρετὴν, ἵνα δυνηθῶμεν καὶ τὴν ἀνωθεν ὀργὴν ἀποκρούσασθαι. ὃ γὰρ ἔστιν, οὐκ ἔστι μὴ ἀπορρήξαντα ταύτην μετιόντα, μὴ πολλοὺς ἐντεῦθεν κομίσασθαι τὰ ἀπαραίτητα. καὶ γὰρ οἱ δικαιοι ὅτοι ὅτου τῆς ἄνωθεν ροπῆς ἠξιώθησαν, καὶ ὁ πατριάρχης καὶ ὁ Λωτ, καὶ ἀνθρώπους νομίζοντες ὑποδέχεσθαι, κατηξιώθησαν καὶ ἀγγέλους ὑποδέξασθαι, καὶ τὸν τῶν ἀγγέλων δεσπότην. ἔξεστι δὲ ἡμῖν, ἐὰν βουλώμεθα, καὶ νῦν αὐτὸν ὑποδέξασθαι. αὐτὸς γάρ ἐστιν ὁ εἰρηκώς, Ὁ δεξάμενος ὑμᾶς, ἐμὲ δέχεται. Οὕτω τοίνυν τοὺς ξένους ὑποδεχώμεθα, καὶ μὴ πρὸς τὴν τῶν φαινομένων αὐτέλειαν ἀποβωμεν ποτε. ἐνίοτε γὰρ, εἰ τοιαύτη γνώμη τὰ τῆς φιλοξενίας ἐπιδειχνυώμεθα, [δὲ] καταξιωθησόμεθα καὶ ἡμεῖς τοιούτοις ὑποδέχεσθαι, ἀνδρας μὲν νομιζομένους, τῶν ἀγγέλων δὲ τὴν ἀρετὴν μετιόντας· μόνον μὴ πολυπραγμονῶμεν, ἵνα μὴ ἁμαρτάνωμεν τὸ θησαυρισθέν. ἐπεὶ καὶ ὁ μακάριος Παῦλος τούτους τοὺς δικαίους αἰνιττόμενος, καὶ διδάσκων ἡμᾶς πῶς ἐπέτυχον τοιαύτης ὑποδοχῆς φησι, Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. τοῦτο γὰρ αὐτοῦ μάλιστα θαυμαστοὺς καὶ μεγάλους ἀπέδειξεν, ὅτι οὐκ εἰδότες ἐδέξαντο, τὴν ἀρετὴν ἐπεδείκνυντο. δὲ ἡμεῖς τοίνυν πίστει δὲ βλαβείᾳ τὸ παράγγελμα μετιώμεν, ἵνα καὶ τῶν θησαυρῶν ἐπιτυχεῖν δυνηθῶμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λευ. β. δ.

Ἑβ. ιγ. α.

## Λογ. μδ. ΩΡΘΡΙΣΕ ΔΕ ΑΒΡΑΑΜ ΤΩ ΠΡΩΙ ΕΙΣ ΤΟΝ τόπον, οὗ εἱστήκει ἐνώπιον τοῦ Θεοῦ.

Κατὰ τὴν Σαμαρείτιν ὑποθεσις ἱκανῶς ἡμᾶς χθὲς ἐδίδαξε καὶ τοῦ δεσπότου τὴν ἄφατον μακροθυμίαν, καὶ ὑπερβάλλουσαν φιλανθρωπίαν αὐτοῦ κηδεμονίαν, καὶ ἐκείνης τὴν βύθιον ἀναισθησίαν. Εἴδετε πῶς ὕδωρ ἀιδιον καὶ ἀθάνατον ὑδρεύσασθαι παρεγενόμεθα, ἐκ τῆς νοητῆς πηγῆς τὰ θεῖα νάματα ἀρυσάμενοι [ὅπως] οἴκαδε ἐπανήλθε, πληρώσαντες τὸν τοῦ δεσπότου εἰρηνικὸν. Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. ἐμφορηθεῖσα γὰρ αὕτη τῆς θείας ἐκείνης καὶ πνευματικῆς πηγῆς, καὶ κατέχεν ἔσω τὰ νάματα, ἀλλ' ὑπερβλύζουσα, ὡς εἰπεῖν, ἐκχέει καὶ εἰς τοὺς τὴν πόλιν οἰκοῦντας τοῦ παραπλησίως αὐτῇ δωρεᾶς τὸ χάρισμα, καὶ κήρυξ ἐγένετο ἀληθὴς ἡ γυνὴ, ἡ Σαμαρείτις, ἡ ἀλλόφυλος. εἴδετε ὅσον ἐστὶν * εὐγνωμοσύνη, εἴδετε δεσπότου φιλανθρωπίαν, ὅπως τοσοῦτος ὑπερορᾷ, ἀλλὰ, κἂν ἐν γυναικὶ, κἂν ἐν πενίᾳ, κἂν ὅπου δήποτε βίῳ διεγηγερμένην ψυχὴν καὶ ζέουσαν, παράκλημα τὴν

Ἰωαν. δ. ιδ.

χθ

πρὸ ἐμοῦ χάριν ἐπαφίπτ. μιμησώμεθα τοίνυν, ὦ ἀδελφοὶ, καὶ ἡμεῖς τὴν γυναῖκα
τοῦτον, καὶ μετὰ πολλῆς * προσοχῆς δεχώμεθα τὰ ἀπὸ τοῦ πνεύματος διδάγματα.
οὐδὲ γὰρ ἡμέτερα ταῦτα λεγόμενα, οὐδὲ ἐξ οἰκείας γλώττης φθεγγόμεθα, ἀλλὰ δι'
ἐπιπνοίας, ἀλλ' ἐκ τῆς τοῦ δεσπότου φιλανθρωπίας ὁδηγούμενοι, διὰ τὴν ὠφέλειαν
τὴν ὑμετέραν καὶ τὴν οἰκοδομὴν τῆς τοῦ Θεοῦ ἐκκλησίας. μὴ τοίνυν πρὸς ἐμὲ (W)
λέγοντα ἀπίδῃς, ἀγαπητὲ, μηδὲ πρὸς τὴν ἰδιωτείαν τὴν ἐμὴν, ἀλλ' ὅτι τὰ ἀπὸ
τοῦ δεσπότου διακονίζω, καὶ πρὸς (W) ἀποστείλαντα ἔχει τὴν διάνοιαν τεταμένην, ὅταν μὴ νήφειν δέχου τὰ λεγόμενα. ἐπεὶ καὶ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐπειδὴ ὁ
βασιλεὺς, ὁ τὸ διάδημα περικείμενος, γράμματα διαπέμψηται, ὁ μὲν ὑπηρετούμενος
τοῦτα καθ' ἑαυτὸν μὴν οὐδενὸς λόγου ἄξιος τυγχάνει, ἀλλ' ἰδιώτης τίς ἐστι, καὶ πολλάκις
οὐδὲ πρωτόνοις ἀριθμὸν ἔχων, ἀλλ' ἀνώνυμος καὶ ἐξ ἀνωνύμων· ἀλλ' ὅτι ἐκείνῳ πρόσ-
κεινται (4) τοῦτα δέχεσθαι μέλλοντες, ἀλλὰ διὰ τὰ τοῦ βασιλέως γράμματα πολ-
λὴν καὶ ἐκείνῳ τιμὴν ἀπονέμουσι, καὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ φόβου καὶ πολλῆς τῆς
ἡσυχίας δέχονται. Εἰ τοίνυν ἐκεῖνος ἀνθρώπου ἐπαγγέλματος γράμματα, καὶ χάρτην
ἁπλῶς ὑπηρετούμενος, ὅτιν ὅπου προσέλεπτος, πολλῷ μᾶλλον ὑμεῖς ἀνθ' ἑαυτῶν δίκαιοι τὰ
ἀπὸ τοῦ πνεύματος δι' ἡμῶν ὑμῖν περιφθέντα λόγια μετὰ πολλῆς τῆς προσοχῆς ὑποδέχεσθε, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν κομίσησθε τὴν ἀμοιβήν. ἐὰν γὰρ ἴδῃ ὁ τῶν ὅλων
δεσπότης τῆς ψυχῆς ὑμῶν τὴν προθυμίαν, καὶ ἡμῖν διαφιλεστέραν πρόξει τὴν χορηγίαν
διὰ τὴν οἰκοδομὴν τὴν ὑμετέραν, καὶ ὑμῖν πλείονα δωρήσεται τὴν Σωσένην, ὥστε Σωσένας
τὰ λεγόμενα. διαφιλὴς γὰρ ἡ τοῦ πνεύματος χάρις καὶ εἰς πολλοὺς ἐκχεομένη οὐδένα
μερισμὸν ὑπομένει, ἀλλὰ τῇ δόσει μᾶλλον αὐξεται, καὶ ὅσῳ δὲ πλείους ὦσιν
(4) τούτης μετέχοντες, τοσούτῳ καὶ τὰ τῆς χάριτος ὅτι πλέον ἐκτείνεται. Φέρε
οὖν, εἰ δοκῇ, ἐκ σήμερον τῆς ἀκροάσεως τοῦ προφήτου ἡμῖν εἰρημένων ὑπολαβώ-
μεθα, καὶ ἴδωμεν ὅπου τὸν λόγον κατελύσαμεν, καὶ ὅθεν αὐτὸν ἀναλάβωμεν σήμερον προσπε-
σόντες. ποῦ οὖν (W) λόγον προφήτου τελέσαντες, οὕτω τῆς διδασκαλίας ἐπαυσάμεθα; τὰ
δὲ τὸν Λὼτ ὑμῖν διηγούμενοι, καὶ τὸν τῶν Σοδόμων ἐμπρησμὸν, μέχρι τούτου τὸν λόγον ἐ-
σήσαμεν, ὅπου ὁ δίκαιος εἰς τὴν Σιγὼρ διεσώθη. ὁ ἥλιος γὰρ ἐξῆλθεν ἐπὶ τῆς γῆς, φη-
σι, καὶ Λὼτ εἰσῆλθεν εἰς Σιγὼρ, καὶ τότε ἡ θεήλατος ἐκείνη ὀργὴ τοὺς τε ἐν Σοδόμοις κα-
τέλαβε, καὶ τῆς γῆς ἅπαν ἀφανισμὸν εἰργάσατο, ὅτε καὶ ἡ γυνὴ τοῦ δικαίου ὑπολαβοῦσα τῶν
ῥηθέντων παρὰ τῶν ἀγγέλων, ὑπολέψασα εἰς τὰ ὀπίσω, ἐγένετο στήλη ἁλὸς, διὰ παντὸς
ὑπόμνημα τοῖς μετὰ ταῦτα γενεᾶς τῆς οἰκείας ῥαθυμίας προκειμένη. ἀναγκαῖον οὖν
σήμερον τὰ ἐξῆς ἐπελθόντας μικρά τινα διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, ἵνα
πάλιν εἰδῆτε τοῦ πατριάρχου τὸ συμπαθὲς καὶ φιλόστοργον, καὶ τοῦ Θεοῦ τοῦ πρὸ αὐτοῦ
βούλημα. ὅπερ γὰρ τῆς ἀνατολῆς τοῦ ἡλίου γνωμένης ὁ μὲν δίκαιος Λὼτ εἰς τὸν Σιγὼρ
διεσώθη, (4) οἱ δὲ Σόδομα κατοικοῦντες ὑπὸ τοῦ δικαίου γενόμενοι, ὁ πατριάρχης ὁμοῦ
καὶ ἐκείνους οἰκτείρων τῆς ἀπωλείας, ἕως δίκαι τὴν οἰκείαν προδιανομὴν ὑπεμενον, καὶ πρὸς
τὸ δικαίου σφόδρα φειδόμενος, ὁρισάμενος, φησὶ, πρὸς ἐσκέπτε τὰ ἀγόμενα.

27 Ὥρθρισε γὰρ, φησιν, Ἀβραὰμ τὸ πρωῒ εἰς (W) τόπον, οὗ εἱστήκει ἐναντίον τοῦ
Θεοῦ, 28 Καὶ ἐπέβλεψεν ὅτι πρόσωπον τῆς πόλεως Σοδόμων, καὶ εἶδε, καὶ ἰδοὺ
ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου.

Ἐν ἐκείνῳ, φησὶ, τῷ τόπῳ γενηθείς, ἔνθα τὴν διάλεξιν πρὸς (W) δεσπότην ἐποιή-
σατο, καὶ τὴν πρὸς τὸν Σοδόμοις παῤῥησίαν, ἐκεῖθεν τῆς φοβερᾶς ἐκείνης ἀμφείας
τὰ ἴχνη, καὶ τὸ δικαίου ἔνεκεν μαθὼν ἐπεδύμει. τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἦθος φιλόστοργον καὶ

συμπα-

συμπαθητικόν. καὶ ἵνα διδάξῃ ἡμᾶς ἡ θεία γραφή, ὅλη βυθέως αὐτῷ τούτῳ τῷ γνώσει ἐνέθηκεν ἡ τοῦ πνεύματος χάρις, ἵνα τοῦτο δεῖ ἡ δικαία Φερενπίδος ἀπαλλάξῃ αὐτόν, φησιν,

29 Ἐν τῷ ἐκτείναι χύριον τὰς πόλεις τοῦ περιοίκου, ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ, καὶ ἐξαπέστειλε (W) Λὼτ ἐκ μέσου τῆς καταστροφῆς.

Τί ἐστιν ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ; τῆς παρακλήσεως, φησιν, ἧς ἐποίησατο λέγων, μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς. Οἴ οἶμοι, φησὶν ἐκεῖνος, διὰ τοῦτο τοῦ πατριάρχου ὁ δίκαιος διεσώθη, καὶ οὐχὶ διὰ τοῦ ἰδίαν δικαιοσύνην; ναί, καὶ διὰ τοῦτο τοῦ πατριάρχου. ὅταν γὰρ τὰ πρὸς ἑαυτῶν συνεισενέγκωμεν, καὶ ἡ τῶν δικαίων πρεσβεία τὰ μέγιστα ἡμᾶς ὀνίνησιν. ἐπεὶ ἐὰν αὐτοὶ μὴ ῥαθυμῶμεν, τὰς ἐλπίδας τῆς ἡμετέρας σωτηρίας ἐπ' ἐκείνοις μόνοις ποιώμεθα, οὐδὲν ἡμῖν ἔσται πλέον· οὐκ ὅπως ἀθενὴς (W) δίκαιοι, ἀλλ' ὅπως ἡμεῖς διὰ τὴν οἰκείαν ῥαθυμίαν ἑαυτοὺς ἀποδίδομεν. καὶ ἵνα μάθῃς ὅτι, ὅταν ἀμεληθῶμεν, κἂν δίκαιοι ὦσιν (W) ὑπὲρ ἡμῶν παρακαλοῦντες, κἂν πρεσβεύωνται, οὐδὲν ἡμῖν ἐκ τούτου ὄφελος γίνεται (ἐκεῖνοι μὲν γὰρ τὴν ἑαυτῶν ἀρετὴν καὶ δίκαι τούτων ἐπιδείκνυνται, ἡμῖν δὲ οὐδὲν ἔσται ὄνησις διὰ (W) οἰκεῖον ζῆλον) ἄκουσον τοῦ τῶν ὅλων Θεοῦ πρὸς (W) ἐκ χιλίας ἀγαθότητα Ἱερεμίου (W) προφήτην λέγοντα, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. ὅρα δεσπότου φιλανθρωπίαν. προλέγει τῷ προφήτῃ, ἵνα μὴ μετὰ ταῦτα παρακαθισθεὶς, νομίσῃ ὅτι διὰ τὴν πρὸς αὐτοῦ αἰτίαν τοῦτο γεγένηται· διὰ τοῦτο ἤδη προμηνύει αὐτῷ τὴν κακίαν τοῦ λαοῦ, καὶ διαστέλλεται μὴ προσεύξασθαι, ἵνα καὶ αὐτὸς εἰδέναι ἔχῃ τῆς πονηρίας ἐκείνων τὴν ὑπεροψίαν, καὶ μὴ ἀγνοοῦντες ὡς οὐδὲν αὐτοῖς ὁ προφήτης συμβάλλεται, εἰ μὴ καὶ αὐτοὶ τὰ πρὸς ἑαυτοὺς εἰσενεγκεῖν βουληθῶσιν. ὅπερ εἰδότες, ἀγαπητοὶ, καταφρονῶμεν μὴ ὅτι τῆς τῶν ἁγίων πρεσβείας, καὶ παρακαλοῦμεν ὥστε ὑπὲρ ἡμῶν δεηθῆναι, ἀλλὰ μὴ ταύτης ἐκείνων πρεσβείαις μόνον θαῤῥοῦμεν, ἀλλὰ καὶ αὐτοὶ τὰ καθ' ἑαυτοὺς διατάττωμεν οἰκονομεῖσθαι, καὶ τὸ ὅτι τὸ βέλτιον μεταβολῆς ἐχώμεθα, ἵνα χώραν δῶμεν τῇ πρεσβείᾳ τῇ ὑπὲρ ἡμῶν γινομένῃ. τοῦτο δὲ πρὸς ἕτερον προφήτην φησὶν ὁ τῶν ἀπόρρητων δεσπότης· οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσι; θυμιῶσι τέφρᾳ, καὶ χαυῶνας ποιοῦσι τῇ γραπτῇ τοῦ θεάνου· μονονουχὶ λέγων πρὸς αὐτὸν, ὑπὲρ τούτων με παρακαλεῖς τῶν οὐχ ἱλαμένων τῆς πονηρίας, τῶν οὐδὲ μίαν αἰσθησιν λαμβανόντων τῆς νόσου ἐν ᾗ κατέχονται, ἀλλ' ὅπως ἀπαλλάττωμαι χαλεπῶν; οὐχ ὁρᾷς αὐτῶν τὴν ὑπερβάλλουσαν καταφρόνησιν; οὐ βλέπεις αὐτῶν τὴν μανίαν τὴν πολλήν; πῶς οὖν ἔτι κόρον εἰληφασι τῆς ἀσεβείας, ἀλλὰ καθάπερ ὗς ἐν βορβόρῳ, οὕτως ἐγκαλινδοῦνται ταῖς οἰκείαις παρανομίαις; μὴ γὰρ, εἰ ἐβούλετο ὑπισχνεῖσθαι, παρακληθῆναι ἀνέμενον; οὐκ ἐγώ εἰμι ὁ διὰ τῶν προφητῶν βοῶν καὶ λέγων, καὶ εἶπον μὴ ὃ πορνεύσασα αὐτὴ, μὴ ταῦτα πάντα πρός με ἀνάστρεψον, Καὶ οὐκ ἀνέστρεψε; μὴ γὰρ ἕτερόν τι ζητῶ, ἢ παῦσαι τῆς πονηρίας μόνον, καὶ ἵνα τῶν κακῶν; μὴ γὰρ ὑπὲρ τῶν προελθόντων βυθιώσας ἀπαιτῶ, ἐὰν ἴδω μεταβαλλομένους; καὶ καθ' ἑκάστην ἡμέραν βοῶ καὶ λέγω, Οὐ θελήσας θέλω (W) θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ὃ ἐπιστρέψαι καὶ ζῆν αὐτόν; καὶ διὰ τοῦτο πάντα ποιῶ, ἵνα τῆς ἀπωλείας ἁρπάσω τοὺς ὅτι τῇ πλανῇ προσκαπειλημμένους; μὴ γὰρ, ἐὰν ἴδω μεταβαλλομένους ὑπὲρ τῶν ἡμαρτημένων; οὐκ ἐγώ εἰμι ὁ λέγων, ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι; μὴ γὰρ ὅπως αὐτοὶ ὅπως θυμοῦσι τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐμοὶ προσκαύσασόν ἐστιν Ἀπόστολε διὰ τοῦτο σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν; μὴ γὰρ διὰ τοῦτό σε ἀπὸ τοῦ μὴ ὄντος παρήγαγον, ἵνα ἀπολέσω; μὴ γὰρ εἰκῇ τὴν βασιλείαν καὶ τὰ μυεῖα καὶ ἀπόρρητα ἀγα-

Ιερ. ζ. ιε.

Ησ. θ. εγ.

Ιεζ. ιη. λγ.

α. Τιμ. β. δ.

γαθὰ

γὰ ἠυτρέπισα; ὑχὶ δῆλά τοῦτο ἡ γέεννα ἠπείληται, ἵνα εἰς τὴν βασιλείαν ἀπέλθωμεν ἡ δῆλα τοῦτο δραμεῖν προσκυλίσωμεν; μὴ τοίνυν, ὦ μακάριε προφῆτα, ἐκείνους καταλιμπάνων, ἐμοὶ προσαγε τὴν προσήλυτον, ἀλλ' εἴ σοι τοῦτο δῆλα ἀσυδ'ης ἔχω, ὥστε τῆς ἐκείνων νόσου προειλόμην, ἡ εἰς αἴσθησιν ἀγαγεῖν τῆς ἀῤῥωσίας, ἡ προς ὑγείαν ἐπανα- χαλαστ. 5 γαγεῖν, ἡ τὰ πρὸς ἐμοῦ πρώτως ἔψηται. ὁ γὰρ μέλλω, νῦν ἐ" δῆλα καὶ ἀλλομαι, ἐπειδὴ ἰδὼν ψυχὴν θύγατρος. ἓν γὰρ μόνον ὀπτίζητω, ὁμολογίαν τῶν ἐσφαλμένων, ἐ οὐκ ἐπὶ τῷ ἐπὶ τοῖς ἐπλανημένοις δίκην ἐπάγω. μὴ γὰρ βαρύ τι ἡ ἐπαχθὲς ὃ πρὸς ἐμοῦ προστεινόμενον; εἰ μὴ ἤδειν χείρους γινομένους, ἡ μὴ ὁμολογηθέντας τὰ πρότερα ἁμαρτήματα τ πρὸς ἐμὲ αὖ προνοίας ἠξίων· ἀλλ' ὅπως οἶδα ὃ τ αὐθέντων ψυχὸς μᾶλλον προς κακίαν ῥέ- 10 πον, δῆλα τοῦτο βούλομαι τὰ προτερα ὁμολογῆσαι ἁμαρτήματα, ἵνα ἡ ὁμολογία κώλυμα αὐτοῖς γένηται" προς ὃ τοῖς αὐτοῖς μὴ προσπεσεῖν. ταῦτα τοίνυν, ἀγαπητοὶ, ἀναλογιζόμενοι καὶ συνοοῦντες τὸ ἡμέτερον δεσπότου τὴν φιλανθρωπίαν, μὴ ῥαθυμῶμεν, ἀλλὰ πρότερον πολλὴν ἑαυτῶν τὴν ὀπτμέλειαν ποιώμεθα, καὶ ⓦ ῥύπον ⓦ ἀπὸ τῶν ἁμαρτημάτων σκαθάρωμεν, καὶ ὅτω ὀπτὶ τὰς προσβείας τῶν ἀγγέ- 15 ων απυδώμεν. ἐὰν γὰρ βυλώμεθα νηφὴν ἡ ἐγρηγορέναι, ἐ δι' ἑαυτῶν προσκαλεσώμεθα μείζονα. τὰ μείζονα" ὀπόσομεν. ὅπως γὰρ φιλανθρωπός ἐστιν ὁ δεσπότης ὁ ἡμέτερος, ὑχ ὅτω δι' ἑτέρων προσκαλούμενος ὑπὲρ ἡμῶν ὀπινύει, ὡς δι' ἡμῶν αὐτῶν. ὅρα ἀγαθότητος ὑπερβολήν. ἐὰν ἴδῃ σὲ προσκεκρουκότας ἡμᾶς, σὲ ἡπιμφμένους, σὲ μηδεμίαν πρόφασιν ἔχοντας, μακροθυμήσαντα, ἡ ὅτι ⓦ πλοῦτον τῆς φιλανθρωπίας 20 αὐτῦ καταφυγὴν ἐβελήσαντας, βύθεως ὀπινύσι τοῖς αἰτήσεσι, ἡ χεῖρα ὀρέγει χειμάζοις, ἡ ἀναύσησι πεπλωκόσι, καὶ βοᾷ λέγων· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἀλλ' ἵνα μάθητε καὶ ἐξ αὐτῶν τῶν προσταμάτων, ὅτι πολλοὶ δι' ἑαυτῶν μᾶλλον προσκαλέσαντες ἤλθοσαν ὀπιτυχεῖν τῶν ἀσυδαζομένων, ἢ δι' ἑτέρων, ἀναλαβὼν ὅτι τοὺς ὀπιτυχόντας εἰς Ier. 11. δ. μέσον προσαγαγεῖν, ἵνα ἡ ἡμεῖς μιμησώμεθα, ἡ εἰς ζῆλον διεγερθῶμεν. ἀκούσωμεν τοίνυν πῶς ἡ Χαναναία σκείνη γυνὴ καπόδωσος ὕσα τὴν ψυχὴν ἡ ἀλλόφυλος, ἐπειδὴ εἶδε ⓦ τῶν ψυχῶν ἰατρὸν, ἡ τ" ἥλιον τῆς δικαιοσυνης ἀνατείλαντα τοῖς ἐν σκότει καθημένοις, ὅπως μὴ θερμῆς ἡ ζεούσης προθυμίας τὴν προσοδον ἐποιήσατο, ἡ ὅτε ὃ γυναῖκα αὐτὴν εἶ), ὅτε ὃ ἀλλόφυλος, ὀκνηροτέραν ἡγήσαντο παρεσκύασεν, ἀλλὰ πρώτα τὰ κωλύματα ταῦτα παρωσαμένη, προσελθοῦσά φησιν· Ἐλέησόν με, κύριε, Matth. κε. 30 ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἀλλ' ὁ τὰ ἀπόῤῥητα τῆς βασιλείας ὀπιστάμενος σιγᾷ ἡ οὐκ ἀποκρίνεται, ἵ λόγου μεταδίδωσιν, οὐδὲ οἰκείρᾳ ὃ γυναῖον, ὁρῶν μὴ τοσαύτης οἰμωγῆς προσελθοῦσαν, ἀλλὰ μακροθυμίᾳ βυλόμενος τ λανθάνοντα θησαυρὸν ἐν τῇ γυναικὶ κατάδηλον ἅπασι ποιῆσαι. ἤδει γὰρ ⓦ κρυπτόμενον μᾶργαρίτην, ὃν οὐκ ἐβύλετο λαθεῖν, ἡ δῆλα τοῦτο ἀναβάλλεται, ἡ οὐδὲ ἀποκρίσεως ἄξιοῖ, ἵνα ἡ πολ- 35 λὴ τῆς γυναικὸς προσεδρία, διδασκαλία πᾶσι γένηται τοῖς μὴ τοῦτα. ἡ ὅρα τὸ Θεοῦ τὴν ἄφατον ἀγαθότητα. αὐτὸς μὲν, φησιν, οὐκ ἀπεκείνατο αὐτῇ, ἀ ὃ μαθηταὶ συμπαθέστεροι ἡ φιλανθρωπότεροι νομίζοντες εἶ), ὑ τολμῶσι φανερῶς εἰπεῖν, παρακάλουν αὐτὴν τὴν αἴτησιν, ἐλέησον αὐτὸν, ἀναγκάζοντι ἐπ' αὐτῇ· ἀλλά τί; ἀπόλυσον αὐτὸν, ὅτι κράζει ὄπισθεν ἡμῶν, μονονυχὶ λέγοντες, ἐλθὲ θεράπευσον ἡμᾶς τῆς ἐπα- 40 ῳδείας· ἀπάλλαξον ἡμᾶς τῆς κραυγῆς τῆς πρὸς αὐτῆς γινομένης. τί οὖν ὁ δεσπότης; νομίζετέ μέ, φησιν, εἰκῆ σεσιγηκέναι, ἡ μὴ ἀξιῶσαι αὐτὸν ἀποκρίσεως; ἀκούετε· οὐκ ἀπεκάλυψεν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ισραὴλ. οὐκ ἴστε, φησὶν, ὅτι ἀλλόφυλος ἐστιν ἡ γυνή; οὐκ ἴστε ὅτι ἡ ὑμῶν ἤδη πρηπύπτουσα εἰς ὁδὸν ἐθνῶν μὴ ἀ-

ἀπελθῇν; τίνος οὖν ἕνεκεν ὕπως μὴ ἐξεπάσως τὴν συμπάθειαν ἐπιδείκνυται; σκόπει τὴν βουλήμαπον τοῦ Θεοῦ σοφίαν. πῶς γάρ, ὅτε ἔδοξεν ἀποκρίνεσθαι, τὸ σιγῆς βαρύτερον κατηχήσατο τῆς γυναικός, καὶ μονονουχὶ χεῖρα αὐτῇ δέδωκε τὴν πλησίον, καὶ μικρὸν αὐτὴν διεγεῖραι βουλόμενος, ἵνα μάθωσιν ἀγνοοῦντες (α) μαθηταὶ τὴν ἐγκεκρυμμένην ἐν αὐτῇ πίστιν. ἀλλ' οὐδὲ ὕπως ἐναρέχησεν, οὐδὲ ὀκνηρστέρα γέγονε διασαφῆσαι καὶ τοῖς μαθηταῖς οὐδὲν πλέον δυῦσαν ἔχειν. καὶ οὐκ εἶπε πρὸς ἑαυτήν, εἰ μηδὲ ὕπου ἴσχυσαν δυσωπῆσαι τὸν ἐμοῦ ἱκετεύσαντα ποταπόν μου, τίνος ἕνεκεν εἰκῇ καὶ μάτην παρεστερῶ; ἀλλὰ καθαίρω ὑπὸ πυρὸς φλεγομένη, καὶ ἐμπιπραμένη τὸν λογισμόν, καὶ ἁπλῶς ἀγχόνην ἀγαπομένη, παρέστηκα παρακινοῦσα καὶ λέγουσα, κύριε, βοήθει μοι. καὶ οὐδὲ ὕπως ὀπτανθεὶς τῇ γυναικί, ἀλλ' ἀποκρίσιν ποιήσατο τῆς παρούσης βαρυτέραν. οὐκ ἔστι, φησί, καλὸν λαβεῖν (β) ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. συνόησον, ἀγαπητέ, καὶ θαύμασον σὺν ἡμῖν τῆς ψυχῆς αὐτῆς (γ) πόθον καὶ τὴν πίστιν τὴν ὑπερβάλλουσαν, ὅτι κυνάριον ἀκούσασα οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεπήδησεν, ἀλλὰ μετὰ πολλῆς εὐγνωμοσύνης φησί, ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ὁμολογῶ, φησί, κυνάριον εἶναι. ὡς κυνάριον οὖν, μὴ ἀξίωσον τῶν ψιχίων τῆς τραπέζης. εἶδες γυναικὸς πίστιν καὶ εὐγνωμοσύνην. κατεδέξατο ὁ ἐρημίτης, καὶ προσεχρήσατο ἐπέτυχε τῆς ἀπουδαζομένου, καὶ ἐπέτυχε μετὰ πολλῶν τῶν ἐγκωμίων. τί γὰρ φησιν ὁ Χριστός; ὦ γύναι, μεγάλη σου ἡ πίστις. γενηθήτω σοι ὡς θέλεις. ὦ γύναι. θαυμασμοῦ ὄντως ῥῆμα, ἐπαίνου πολλοῦ γέμει ὁ ἐρημίτης. μεγάλην, φησίν, ἐπεδείξω τὴν πίστιν· διὰ τοῦτο ὅσα σοι ἂν ἄρξει, ὅσα ἂν θελήσῃς. ὅρα φιλοτιμίας δαψίλειαν, καὶ θαύμασον τὸ δεσπότου τὴν σοφίαν. ἆρα οὐκ ἂν προσοιμοις ἐνομίζομεν ἀσυμπαθῆ τινα αὐτὸν εἶναι, ὅτε διακρινόμενον καὶ οὐδὲ ἀποκρίσεως ἀξιοῦντα ὁ γυναῖον; μὴ γὰρ ταῦτα διὰ τῆς προτέρας καὶ διὰ τῆς δευτέρας ἀποκρίσεως μονονουχὶ ἀπελαύνοντα, καὶ τὴν μὴ τοσαύτην πόθου προσελθοῦσαν ἀποσοβοῦντα; ἀλλ' οὐκ τὸ τέλους κατάμαθε τὸ Θεοῦ τὴν ἀγαθότητα, ὅτι βουλόμενος αὐτὴν προφανεστέραν ἐργάσασθαι, διὰ τοῦτο τῇ μακροθυμίᾳ ἐχρήσατο. εἰ μὲν γὰρ θύρεως ἐπένευσεν, οὐκ ἂν ἐγνωμεν ἡμεῖς τῆς γυναικὸς τὴν ἀρετήν. ὅπου γὰρ μακρὰν ἀνεβάλλετο, καὶ τὸ δεσπότην ἐγνωμεν τὴν ἄφατον φιλανθρωπίαν, κἀκείνης τὴν πίστιν τὴν ὑπερβάλλουσαν. ταύτην γὰρ πᾶσαν τὴν ἰσοτιμίαν εἰς μέσον προαγαγὼν ἀναγκάσθημεν, ἵνα μάθωμεν, ὅτι οὐχ οὕτω δι' ἑτέρων προκαλούμενος ἀνύομεν, ὡς αὐτοὶ δι' ἑαυτῶν, ἐπειδὰν μὴ θερμότητος προσώμεν καὶ διεγηγερμένης διανοίας. ἰδοὺ γὰρ αὕτη καὶ τοῦ μαθητὰς ἔχουσα ὑπὲρ αὐτῆς ἱκετεύοντας, οὐδὲν πλέον" ὀνησαν ἠδυνήθη, μᾶλλον ὅτε αὐτὴ δι' ἑαυτῆς προσμείνασα τὴν φιλανθρωπίαν ἐπεσπάσατο τὸ δεσπότην. καὶ τῇ προσολῇ ὁ ἐκείνη τὸ φίλτρο τὸ ἀωρὶ τῆς νυκτὸς προσηλυομένῳ, καὶ οὐ τρεῖς ἄρτους αἰτήσαντες ὁ δεσπότης ὁ αὐτὸ αἰτήσεται. Εἰ γὰρ καὶ μὴ διὰ τὸ φίλος αὐτοῦ εἶναί, φησιν, ἀναισχυντίαν αὐτῷ, διὰ γοῦν τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει. εἰδότες τοίνυν τὴν ἄφατον φιλανθρωπίαν τοῦ ἡμετέρου δεσπότου προσίωμεν αὐτῷ, δεικνύντες καὶ μονονουχὶ πρὸς τῶν ὀφθαλμῶν τῶν ἡμετέρων προπίπτοντες καὶ εἴδους ἕκαστον τῶν ἡμῶν πεπλημμεληκότων, καὶ τὴν παρρησίαν τῶν προγόνων συγχώρησιν αἰτούμενοι, εἰς ὃ ἐξῆς πολλὴν τὴν ἀκρίβειαν ὑπιδειξώμεθα, ἵνα καὶ πλείονα τὴν πρὸς αὐτὸν εὔνοιαν ὑπιασασώμεθα. ἀλλ' ἐπιμελήθωμεν, εἰ δοκεῖ, ὅπως τὴν ἀκολουθίαν τοῦ ἀναγνώσματος.

30 Ἀνέβη δέ, φησι, Λὼτ" εἰς Σηγὼρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, καὶ αἱ δύο θυγατέρες αὐτοῦ

Ἀκ. ια. ϐ.

ἀ. αὐτῶν

αὐτῶ μετ' αὐτῶ. ἐφοβήθησαν γὰρ οἰκῆσαι ἐν Σιγὼρ. καὶ ᾤκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς, καὶ αἱ δύο θυγατέρες αὐτῶ μετ' αὐτῶ.

Εναγμάζοντα ἔχων ἔτι Ⓦ φόβον τῆς πυρώσεως τῆς ἐπαχθείσης τοῖς κύκλῳ τοῦ Σόδομα πόρρωθεν ἀπέστη ὁ δίκαιος, καὶ εἰς ὄρος, φησὶ, κατοικεῖ μετὰ τῶν θυγατέρων, καὶ ἐν ἑρημίᾳ ἑαυτὴν καὶ μονώσει λοιπὸν ἐτύγχανεν ἐκφεύγειν οἰκεῖον.

31 Εἶπε δέ, φησὶν, ἡ πρεσβυτέρα, ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. 32 Δεῦρο, καὶ ποτίσωμεν Ⓦ πατέρα ἡμῶν οἶνον, καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, ἵνα ἐξαναστήσωμεν σπέρμα ἐκ τοῦ πατρὸς ἡμῶν.

Μετὰ βλαβείας καὶ φόβου πολλοῦ ἀκούωμεν, ἀγαπητοὶ, τῶν ἐν ταῖς θείαις γραφαῖς κειμένων. οὐδὲν γὰρ ἁπλῶς καὶ εἰκῇ γέγραπται, ἀλλὰ πάντα συμφερόντως καὶ πρὸς ὠφέλειαν ἡμετέραν, καὶ ἡμεῖς ἕνια ἀγνοοῦμεν. καὶ γὰρ πάντων δυνάμεθα μετὰ ἀκριβείας εἰδέναι τὴν αἰτίαν, ἀλλ' ὅμως ἔχει τινὰ ἐγκεκρυμμένον θησαυρόν. καὶ νῦν ἄνοιξε τῆς γραφῆς, ὅπως πάντα σα φῶς διηγησαμένη. καὶ τὸν σκοπὸν ἡμῖν γνωρίσασα τῶν τοῦ δικαίου θυγατέρων, ἀρκούσαν ἀπολογίαν ὑπὲρ αὐτῶν ἐποιήσατο, ἵνα μηδεὶς πρὸς τὸ γενικὸς ἀφορῶν καταγνοίη τοῦ δικαίου, ἢ τῶν τούτου θυγατέρων, ὡς δι' ἀσέλγειαν τῆς μίξεως γεγυμνωμένης. σκόπει γὰρ, ὅπως νῦν μὲν ὑπὲρ τῶν θυγατέρων ἀπολογεῖται ἡ ἁγία γραφὴ, μετὰ δὲ ταῦτα ὑπὲρ τοῦ δικαίου. πῶς οὖν ὑπὲρ τῶν θυγατέρων τοῦ δικαίου ἀπολογεῖται; Εἶπε, φησὶν, ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ. ὅρα τὸν σκοπὸν μετὰ ἀκριβείας, καὶ πάντος αὖθις ἀπαλλάξεις ἐγκλήματος. ἐνόμισαν πάντως ἐλευθερίαν γεγυμνῶσθαι, καὶ μηδένα ἐπικαλυφθῆναι. εἶτα καὶ τοῦ παντὸς ἐώρων οἰκήτορας. ἵν' οὖν, φησὶ, μὴ ἀφανισθῇ ὁ γένος, καὶ ἀνώνυμοι γενώμεθα (τοῦτο γὰρ ἐν τῷ παλαιῷ πολιτεύσασιν, ὥστε δηλοῦν τῆς τῶν ἐκγόνων διαδοχῆς ἐκτείνεσθαι αὐτῶν τὸ γένος) ἵνα οὖν, φησὶ, μὴ τελευτήσῃ καὶ ἡμεῖς ἀφανισμὸν ὑπομείνωμεν, τοῦ μὲν παντὸς πρὸς γῆρας ἐλάσαντος, οὐδενὸς ὄντος εἰσεκτεμνομένου ἀνδρὸς, ᾧ συγενόμεθα διαπορεύεσθαι ἐκπαθῶν, καὶ καταλιπεῖν τοῦ σπέρματος διαδοχὴν, δεῦρο, φησὶν, ἵνα μὴ τοῦτο γένηται, ποτίσωμεν Ⓦ πατέρα ἡμῶν οἶνον. ὅπερ οὐκ ἂν ποτέ, φησὶν, ἀνάσχοιτο οὐδὲ ἀκοῇ τοῦτο παραδέξασθαι ὁ πατὴρ, διὰ τὸ οἴνου τὴν ἀπάτην ἐργασώμεθα.

33 Ἐπότισαν οὖν τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ἤδει ἐν τῷ κοιμηθῆναι αὐτὸν, καὶ ἀναστῆναι.

Εἶδες πῶς καὶ ὑπὲρ τοῦ δικαίου ἀπελογήσατο ἡ θεία γραφὴ, οὐχ ἁπαξ, ἀλλὰ δεύτερον. πρότερον μὲν γὰρ οὐχ ὧν αἱ θυγατέρες τοῦ διὰ τοῦ οἴνου ἐργάσαντο, ἔδειξεν ὡς οὐκ ἂν ἑτέρως ἠδυνήθησαν πεῖσαι τὸν πατέρα οὕτω καταδέξασθαι· νυνὶ δὲ λοιπὸν οἴμαι καὶ οἰκονομίας ἕνεκα τῆς φύσεως τὸ γενικὸν, ὥστε τοσοῦτον αὐτῷ κέρδος ἐγενέσθαι, ὡς πάντα ἀγνοῆσαι, ἵνα ἀνεύθυνος γένηται τῶν ἐγκλημάτων. καὶ γὰρ ἁμαρτήματα σκληρὰ ἡμᾶς καταχρίνει καὶ καταδικάζει, ἅπερ ἂν εἰδότες καὶ ἑκόντες ἁμαρτάνωμεν. ὁρᾷς δὲ τὴν γραφὴν μαρτυρουσαν τῷ δικαίῳ, ὅτι ὅλως οὐκ ἤδει τὸ γενικός. ἀλλὰ πάλιν ἕτερον ἀναχύπτει τῆς μέθης. δεῖ γὰρ πάντα διερευνᾶσθαι, ὥστε μηδεμίαν καταλιπεῖν τοῖς ἀγνώμοσι καὶ δυσμενέστοις ἀφορμὴν. τί οὖν καὶ περὶ τούτου εἴπωμεν; ὅτι καὶ τοσοῦτον ἐξ ἀκρασίας καὶ τῆς μέθης αὐτῷ γέγονεν, ὅσον ἀπὸ ἀθυμίας. μηδεὶς οἶνον τολμάτω ἢ τοῦ δικαίου πατέ καταψηφίσασθαι, ἢ τῶν τούτου θυγατέρων. πῶς γὰρ οὐκ ἂν εἴη μανίας

ἑκάστης καὶ παιδαγωγούσης, ὅς ἡ θεία γραφὴ πάντας ἀπήλλαξεν ἐγκλήματος, μᾶλλον δὲ ὑπὲρ ὧν τοσαύτην ἀπολογίαν συνέθηκεν, ἡμᾶς τοὺς μυρίοις ἁμαρτημάτων φορτίοις πεπληρωμένους καταδικάζειν, καὶ μὴ ἀκούειν Παύλου λέγοντος, Εἰ Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; καὶ ἵνα μάθῃς ὅτι οὐκ ἁπλῶς οὐδὲ εἰκῇ τοῦτο γέγονεν, ἀλλ' ἡ ὑπερβολὴ τῆς ἀθυμίας μετὰ τῆς τοῦ οἴνου παραθήκης τοσαύτην αὐτῷ ἄγνοιαν συνεχώρησεν ἐγγενέσθαι, ἄκουσόν τί φησιν. 34 Ἐγένετο δὲ τῇ ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα τοῖς νεωτέροις· ἰδοὺ, ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν. ποτίσωμεν αὐτὸν οἶνον καὶ τὴν νύκτα ταύτην, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν τὸν πατέρα ἡμῶν σπέρμα. Ὁρᾷς πῶς ὀξὺ ὀρθῆς γνώμης τοῦτο ἐπρίσιον; ὅπερ γὰρ ἠδυνήθην, φησὶν, ἐγὼ δὲ ἀσυνδιάζομαι μοι πληρῶσαι, ἀναγκαῖον καὶ σὲ αὐτὸ διαπραξάσθαι. ἴσως γὰρ εἰς ἔργον ἡμῖν ἐκβήσεται καὶ τῆς προγονικῆς, καὶ οὐκ εἰς τέλος ὁ γῆρος ἡμῶν ἀφανισθήσεται. 35 Ἐπότισαν δὲ καὶ τὴν νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς. καὶ οὐκ ἤδει ἐν τῷ κοιμηθῆναι αὐτὴν, καὶ ἀναστῆναι.

Σκόπησον, ἀγαπητὲ, ὅτι ὁ πάντων τοῦ Θεοῦ οἰκονομίας ὠμὸν ἔργον ὁ γεγονὸς. ὥσπερ γὰρ ὅπλῳ τοῦ πορνοπλάστου, καθάπερ ὑπὸ καθεύδοντος αὐτοῦ ἐκ τῆς πλευρᾶς μέρος λαβὼν οὐδεμίαν αἴσθησιν αὐτῷ συνεχώρησε γενέσθαι, ἀλλὰ τὸν πλευρὸν ἐκεῖνον εἰς γυναῖκα διαπλάσας παρέστησε τῷ Ἀδάμ· καὶ αὐτὸν δὴ τρόπον καὶ νῦν. εἰ γὰρ ἡ τοῦ πλευροῦ ἀφαίρεσις, ὅπερ τὸν ἔκστασιν αὐτῷ ὁ Θεὸς ἐπήγαγεν, ἐνεπαγθὴς γέγονε, πολλῷ μᾶλλον νῦν τοῦτο δὴ ἐγένετο. ὅπερ γὰρ εἶπεν ἐκεῖ ἡ θεία γραφὴ, ὅτι ἐπέβαλλεν ἔκστασιν ὅτε καὶ Ἀδάμ, καὶ ὕπνωσε, τοῦτο ἐνταῦθα ἐσήμανε διὰ τοῦ εἰπεῖν, ὅτι οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι, καὶ ἀναστῆναι. 36 Καὶ συνέλαβον, φησὶν, ἐκ τοῦ πατρὸς αὐτῶν, 37 Καὶ ἔτεκεν ἡ πρεσβυτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωάβ, λέγουσα, ἐκ τοῦ πατρός μου. οὗτος πατὴρ Μωαβιτῶν. 38 Ἔτεκε δὲ καὶ ἡ νεωτέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὼν, λέγουσα, υἱὸς τοῦ γήρους μου. οὗτος πατὴρ Ἀμμανιτῶν.

Ὁρᾷς πῶς οὐκ ἀσελγείας ἦν ὁ γεγονὼς, ὅτι παιδαγωγήσας καὶ τὰς προσηκούσας τοῖς τεχθεῖσιν ἐπιτηδεύσας μιμήσασθαι ὁ γεγηθυῖαν, καὶ μονονουχὶ καθάπερ ἐν σκηνῇ τινὶ τοῖς τῶν παιδίων ὀνόμασιν ἀναποτιθέμενα τοῦ γεγονότος τὸν μυκτῆρα, καὶ ἤδη προλέγουσαν, ὅτι ἔθνη ἐξ αὐτῶν ἔσαι, καὶ εἰς πλῆθος ἐκταθήσεται τὰ τεχθέντα· ὁ μὲν γὰρ, φησὶν, ἔσαι πατὴρ Μωαβιτῶν, ὁ δὲ, πατὴρ Ἀμμανιτῶν. ἀλλὰ τότε μὲν, ὅπερ ἀρχὴ καὶ προοίμια ἦν, καὶ ἀφ' τῆς τοῦ γένους διαδοχῆς τὸν μυκτῆρα αὐτοῖς ἐβούλοντο διατηρῆσαι, ἐπεὶ σαυτὸν ἀσυνδιάζω τοῦ δικαίου αἱ θυγατέρες ἐποίησαντο.

ΗΘΙΚΟΝ Νυνὶ δὲ, ὅπερ ἀφ' τοῦ τοῦ Θεοῦ χάριν καὶ τῆς εὐσεβείας ὑπεδέδωκε, καὶ τῷ μακαρίου Παύλου, Παρακάλλοιπον ὁ ἄγημα τοῦ κόσμου τούτου, τοῦ ἀφ' τῆς τῶν ἀγαθῶν πράξεως ἔργων μνήμην ἑαυτοῖς καταλιμπάνωμεν, ἵνα καὶ μὴ τοῦ ἐντεῦθεν μετάσασιν, ἡ τῆς ἀρίστης ἡμῶν πολιτείας ἀκρίβεια, ἐπόμνησις καὶ διδασκαλία γένηται τοῖς εἰς ἡμᾶς ὁρῶσιν. οἱ γὰρ ἐπαίρετοι, καὶ σώφρονα βίον μετιόντες οὐκ ἐν τῇ ζωῇ ταύτῃ μόνον τυγχάνοντες, τὰ μέγιστα τῶν εἰς αὐτοὺς ὁρώντας ὠφελεῖν δυνάμενα, ἀλλὰ καὶ μετὰ τοῦ βίου παύσασθαι. καὶ ἵνα μάθῃς, ὅσα μοι πόσος ἐστὶν ἀριθμὸς παρῆλθε μέχρι τῆς σήμερον, καὶ ὁσάκις αὖ βαλεῖν μέλλω εἰς τὴν σωφροσύνης ζηλῶν τινας ἐπαγαγεῖν, Ἰωσὴφ εἰς μέσον ἀγαγόντες, δυεῖν ἦν, τὸν καλὸν, τὸν νέον, τὸν ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας τοσαύτην ἀνδρείαν παρὰ τοῦ σωφροσύνου ἐπιδειξάμενον, ὅτω τοῖς τοῦ μίμησιν τοῦ δικαίου τοῦτ' ἀκούοντας διεγείρειν ἀσυνδιάζομεν. τίς γὰρ ἂν, εἰπέ μοι, κατ' ἀξίαν

θαυμάσειε

θαυμάσιε τὸν μακάριον τοῦτον, ὅτι ἐν δουλείᾳ τυγχάνων, καὶ ἐν αὐτῷ τῷ ἀνθρώπῳ τῆς ἡλικίας, ὅτε μάλιστα ἡ κάμινος ὀπτὴ πλέον ἐξάπτεται τῷ ὀπτῶντι, ὁρῶν τὸν αὐτοῦ δεσπότην ὀπτιπεδῶσαν αὐτῷ καὶ μαγειρεύουσαν, τοσαύτην ἐπεδείξατο τὴν ἀνδρείαν, καὶ οὕτω πρὸς τοῦτο τῆς σωφροσύνης ἀγῶνας ἀπεδύσατο, ὡς τῆς ἀκολάστου γυναικὸς ἐκείνης γυμνὸς μὲν τῷ ἱματίων ἀποπηδῆσαι, ὃ δὴ τῆς σωφροσύνης ἔνδυμα πρὸς βαλαλέσθαι; καὶ τίνα ἰδεῖν πρόβλημα κάμινον καὶ πρόβολον, ἀρνίον ταῖς τοῦ λύκου χερσὶν ἐμπεσόν, μᾶλλον δὲ τῆς λεαίνης, καὶ ἁρπασθῆναι δυνηθέν, καὶ καθάπερ πρίστερον τὸ ἱερεῖον ἁρπαφυγόσαν τὴν βλαβὴν, ὅτου ⟨W⟩ δίκαιον τῷ ἐκείνης ἁρπαγέντα χειρῶν. οὐκ οὖν ὅτω θαυμαστὸν εἶναί μοι δοκεῖ, ὃ τοὺς τρεῖς παῖδας ἐκείνους ἐν μέσῃ τῇ καμίνῳ τῇ Βαβυλωνίᾳ ἐκείνῃ τοῦ πυρὸς δυνατέρους γενέσθαι, ⟨C μηδὲν πλέον τὰ σώματα αὐτῶν παθεῖν, ὡς θαυμαστὸν καὶ πρόβολον τοῦτον εἰς τὴν κάμινον ταύτην τὴν τῆς Βαβυλωνίας χαλεπωτέραν ἐμπεπληκότα, τὴν ἀσέλγειαν λέγω τῆς Ἀγυπτίας, ἀνέπαφον διαμεῖναι, καὶ καθαρὸν τῆς σωφροσύνης τὸ ἔνδυμα διατηρήσαντα οὕτως ἐξελθεῖν. καὶ μὴ θαυμάσῃς, ἀγαπητέ. ὁπόσῳ γὰρ τὰ πρὸς ἑαυτοῦ εἰσπέπτωκεν, εἶχε καὶ τὴν αἰῶνα ῥοπὴν αὐτῷ συμπαρέσυρεν, καὶ τὴν πυρὰν ἐκείνην κατασβεννύουσαν, καὶ ἐν μέσῃ τῇ καμίνῳ τὴν δρόσον τὴν πρὸς τὸ πνεύματος ἀναζωπύρησιν. εἰδέτε πῶς σπάρετοι καὶ σπουδῆς παντὸς ἐργάται, καὶ μὴ τὴν ἐντεῦθεν μετάστασιν ὠφελείας ἡμῖν ἀποθέσεις γίνονται. δεῖ γὰρ τοῦτο ⟨W⟩ δίκαιον τοῦτον εἰς μέσον νῦν παρηγάγομεν, ἵνα τούτῳ πάντες ἐπώμεθα. τοῦτον οὖν ἅπαντες ζηλώσωμεν, καὶ αὐστηροὶ τῶν ἡδονῶν γενώμεθα, ⟨C εἰδότες, ὅτι οὐκ ἔστιν Εφ. 5. 18.
ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, ὅπως ἑαυτοὺς καθοπλίζωμεν· καὶ ἐννοοῦντες ὅτι σῶμα περικείμενοι, πρὸς ἀσωμάτους δυνάμεις πυκτεύειν ἀναγκαζόμεθα, φερτιθώμεθα τοῖς ὅπλοις τοῦ πνεύματος. δεῖ γὰρ τοῦτο ὁ φιλάνθρωπος δεσπότης, ὅπως σάρκα περικείμενοι πρὸς τὰς ἀσωμάτους δυνάμεις πυκτεύωμεν ἀνάλογον, καὶ τὰ ὅπλα ἡμῶν ἀόρατα κατεσκεύασεν, ἵνα τῇ δυνάμει τῶν ὅπλων περιγινώμεθα τῆς φύσεως τῶν ἀντιπάλων. θαρρούντες τοίνυν τῇ τῶν ὅπλων δυνάμει, τὰ πρὸς ἑαυτῶν ἐισφέρωμεν, καὶ δυνησόμεθα τῇ πονηρίᾳ. ταύτῃ τῇ πνευματικῇ φερτίζόμενοι, αὐτὸν τοῦ διαβόλου συγκόψαι τὸ ὄφιν. οὐδὲ γὰρ ἐνεγκεῖν δύναται τὸν ἐντεῦθεν ἀσπασμὸν, ἀλλὰ, κἂν ὑπεχωρήσῃ ἴσως ἀπὸ σωτηρίας, βύθιος ἀποτυφλοῦται τὰς ὄψεις. ἔνθα γὰρ μὴ ἡ σωφροσύνη, ⟨C σεμνότης, καὶ πολλὴ τῶν ἄλλων ἀρετῶν ἡ ζωοδός, ἐκεῖ ⟨C ἡ τοῦ πνεύματος χάρις μὴ δαψιλείας ἐφίσταται. διὰ τοῦτο ⟨C Παῦλος ἔλεγεν, Εἰρηνεύετε μὴ πολύτων, καὶ τὸν ἁγιασμόν. ἐκκαθάρωμεν τοίνυν ἑαυτῶν, ἀδελφοὶ, τὸ ζωοειδὲς, καὶ ἀποσμήξωμεν ἡμῶν τὸ λογισμὸν, ἵνα πάσης ῥυπαρᾶς ἐννοίας ἀπηλλαγμένοι τοῦ πνεύματος τὴν χάριν * ὑπασπασώμεθα, καὶ τῶν τοῦ διαβόλου περιγενώμεθα μηχανημάτων, καὶ καταξιωθῶμεν τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσεων, ὧν γένοιτο πάντας ἡμᾶς ὑπερτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ρωμ. 12. 18. Εβ. 12. 14.

* Al. ἀνασπασώμεθα.

Λογ. με. ΚΑΙ ΕΚΙΝΗΣΕΝ ΕΚΕΙΘΕΝ ΑΒΡΑΑΜ ΕΙΣ γῆν πρὸς λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης, καὶ ἀνὰ μέσον Σὺρ, ⟨C παρῴκησεν ἐν Γεράροις.

ΑΙρω ὁρῶν ὑμᾶς ζωτῆς ἐχομένους τοῦ τὸν ἀκροάσεως, καὶ μὴ πολλῆς τῆς ἡδονῆς δεχομένους τὸν τοῦ ἡμῶν διδασκαλίαν, καὶ δι' τοῦτο καὶ αὐτὸς μὴ πλείονος τῆς προθυμίας καθ' ἑκάστην ἡμέραν ὑμῖν τὸν τοῦ λόγου ἡμῶν ζωὴν καὶ βύτελῆ τράπεζαν παρατίθεσθαι καταδύω. ἡ γὰρ ὀπτεταμένη ὑμῶν ὄρεξις ἀποκρύπτει τῆς τραπέζης τὸν βύτελειαν, καὶ τὰ μικρὰ μεγάλα ποιεῖ φαίνεσθαι. τοῦτο καὶ ὅτι τῶν ἀληθῶν ἐδεσμάτων ἐστὶν ἰδεῖν. ὥσπερ γὰρ ὁ κεχορτασμένους λαβὼν τοὺς δακτυλίους, κἂν μεγάλα καὶ πολυτελῆ παρατεθῇ τὰ ἐδέσματα, ὁ τῶν ἐσιωμένων κόρος λυμαίνεται τῶν παρατεθέντων τὸν πολυτέλειαν, καὶ τὰ μεγάλα πολλάκις ὑ- 10
δενὸς ἄξια λόγου φαίνεται, διὰ τὸ μὴ μετ' ἡδονῆς παραβάλλειν αὐτοῖς τοὺς ἐσιωμένους· οὕτως ὁ πεινῶντας καὶ ὄρεξιν ἔχοντας παραλαβὼν τοὺς ἐσθίοντας μέλλοντας, κἂν βύτελῆ παραθῇ τὸν τράπεζαν, μεγάλη αὐτὴ φανεῖται διὰ τῆς προθυμίας Ιγ. τὸν τῶν ἐσιωμένων, μετὰ πολλῆς ἡδονῆς καταναλισκόντων τὰ παρατιθέμενα. ℣ αὐτὸν δὴ ἔφην καὶ ἡμεῖς θαρροῦντες ὑμῶν τῇ ὀρέξει τῇ πνευματικῇ οὐκ ὀκνοῦμεν, καὶ βύτελῆ [ὦμεν] καὶ ζωὴν ἔχοντες τράπεζαν, ταύτην παρατίθεσθαι ζωὴν ἐκ τῆς ὑμετέρας ἀγάπης. Παρ. τὸ τοῦ Σοφοῦ ὃς ἔλεγε, Κρείσσων ξενισμὸς λαχάνων μετ' ἀγάπης, ἢ βοὸς ἀπὸ φάτνης μετ' ἔχθρας· δείκνυσι ὅτι ἡ ἀγάπη ἑτέρως ὁρᾷ τὰ παρατιθέμενα, καὶ τοῖς ἐκείνης ὀφθαλμοῖς καὶ τὰ βύτελῆ, πολυτελῆ δείκνυσι), καὶ τὰ μικρὰ, μεγάλα. Πῶς οὖν οὐκ ἔστι μακαριστότερον ἡμᾶς ὅτι τοσούτων" γνησίων ἀγαλλομένων, οὕτω θερμῶς καὶ διεγηγερμένων κεκτημένους ἀγάπην; οὐδενὸς γὰρ οὕτω μᾶλλον δεῖ τῶν λεγόντων, ὡς εὐνοίας ἀκροατοῦ. ὅταν γὰρ ἴδῃ τὸν προθυμίαν ζέουσαν τῶν ἀκροατῶν, ἐνθουσιᾷ καὶ αὐτὸς καὶ πολλῷ, ὡς εἰπεῖν, τὸν ἰσχὺν προσλαμβάνει, εἰδὼς ὅτι ὅσῳ δὴ πλείονα παρατίθησι τράπεζαν ταύτην τὸν πνευματικὴν, τοσούτῳ καὶ τῆς εὐπορείας αὐτῷ αὔξεται. ἀπ' ἐναντίας γὰρ τοῖς ἀληθινοῖς καὶ πνευματικοῖς. ἐκεῖ μὲν γὰρ ἡ δαψίλεια τῆς τραπέζης δαπάνην ἐργάζεται, καὶ τὸν ὑσίαν ἐλαττοῖ τοῦ ἑστιάτορος· ἐνταῦθα δὲ ἄπαν τοὐναντίον, ὅσῳ δὴ πλείους ὦσιν οἱ μετέχοντες, τοσούτῳ αὔξεται ἡμῖν τὰ τῆς οὐσίας. Οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν, ἀλλ' ἅπερ αὐτὰ τοῦ" πνεύματος χαρίεις διὰ τὸν οἰκείαν φιλανθρωπίαν, καὶ τὴν ὑμετέραν οἰκοδομὴν χορηγήσῃ. Φέρε οὖν, ὅπως μὴ τοσαύτης ἡδονῆς καὶ προθυμίας τῇ ἀκροάσει παραβάλλετε, πάλιν τῶν προφήτας ἡμῖν ἀναγνωσθέντων ἑρμηνεῦσαι ποιήσωμεν, ἵνα ὃ ἐντεῦθεν κέρδος καρπωσώμεθα, τοῦ Χριστοῦ λέγοντος, Ἐρευνᾶτε τὰς γραφάς. ὅπως γὰρ δήπουθεν ἐστὶν αὐτῆς πολὺς ὁ πλοῦτος, καὶ ὁ μὲν βάθει κρυπτόμενος, διὰ τοῦτο τὴν ἑρμηνέως χρεία, ἵνα τοῦ δυνάμεν τοῦ ἐν τῷ βάθει κρυπτομένῳ καταμαθόντες πολλῷ ἐκεῖθεν τὴν ὠφέλειαν θύρᾳ δικαίᾳ λάβωμεν. διὰ δὲ τοῦτο τὰς ἀρετὰς τῶν δικαίων ἀπόντων ἢ τοῦ πνεύματος χάριν γραφῇ παραδοθῆναι ὡκονόμησεν, ἵνα ἡμεῖς ἔχωμεν διηνεκῆ διδασκαλίαν, καὶ πρὸς ζῆλον καὶ μίμησιν τῶν δικαίων ℣ ἑαυτῶν βίον οἰκονομῶμεν. ἀκούσωμεν τοίνυν τῆς θείας γραφῆς, ἵνα καὶ σήμερον ἡμῖν περὶ τοῦ πατριάρχου διηγήσασθαι βούλεται.

κεφ. κ. 1 Καὶ ἐκίνησε, φησὶν, ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς λίβα, καὶ ὤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σοὺρ, καὶ παρῴκησεν ἐν Γεράροις.

Πόθεν ἐκίνησεν; ἀπὸ τοῦ τόπου ἔνθα ἦν ἐσκηνωμένος, ὅπου καὶ τὸν τῶν ἀπόντων δεσπότην μετὰ τῶν ἀγγέλων ὑπεδέξασθαι κατηξιώθη. ἐκεῖθεν, φησὶ, κινήσας παρῴκησεν ἐν Γεράροις. ὅρα τῶν δικαίων τὸν ἀγγωγὸν, ὅπως ἦν ζωσταλμένη καὶ ἀπέ-

εστος

εκπος, ὅπως μετ' ὀχολίας τας μετοικασάσεις ἐποιοῦντο, καθάπερ παροικοι καὶ πάρεπίδημοι, οὕτω ⓦ ἑαυτῶν βίον ὡκονόμουν, καὶ ποτὲ μὲν ὧδε, ποτὲ δ' ἐκεῖ τας σκηνας ἐπήγνυντο, καθάπερ ὁι ξένη διαγοντες· ὃ καθάπερ ἡμεῖς ποιοῦμεν, τὴν ξένην ὡς πατρίδα οἰκοῦντες, καὶ οἰκίας οἰκοδομοῦντες λαμπρὰς, καὶ τοὰς καὶ ὑψηπάτους, καὶ ἀγροὺς κεκτημένοι, καὶ λουτρὰ καπασκευάζοντες, καὶ ἕτερα μυρία. ἀλλ' ὅρα ⓦ δίκαιον καὶ ὁι τοῖς οἰκουμένοις μόνοις καὶ τοῖς ποιμνίοις τὴν ὑσίαν ἅπασαν κεκτημένον, καὶ ὑδαμοῦ ἰσάμενον, ἀλλὰ ποτὲ μὲν εἰς τὴν Βεθὴλ τὴν σκηνὴν πηγνύτα, ποτὲ δ' ἐπὶ τὴν δρυν τὴν Μαμβρῆ, καὶ ποτὲ μὴν εἰς Αἴγυπτον καταίνται, νυνὶ δ' ὁι Γερασηνοὶ καπασκηνοῦται, καὶ πάντα μετ' ὀχολίας ἀποσκευάζοντα, καὶ τὴν ὑγιεινομοῦσαν τὴν ὡς τὸν οἰκεῖον δεικνύτην δίκαι πάντων ὑπιδεικνύμενον. καὶ μὴν τοσαύτας ἀποκρίσεις καὶ ἐπαγγελίας ἐκ τοῦ Θεοῦ εἰς αὐτὸν γεγενημένας, ὁρῶν ἑαυτὸν τοσαύτας ἐπισάσεσι κυκλούμενον, καὶ ποικίλοις ἐκ διαφόροις πειρασμοῖς ἐμπίπτοντα, καθάπερ ἀδάμας ὑς ἀπείρετος, εἰσήκει τὴν φιλόθεον αὐτοῦ γνώμην δεικνύς, καὶ οὐδενὶ πω ἐν τῷ μέσῳ κωλυμάτων νικηθέντος γινόμενος. ὅρα γὰρ καὶ νῦν, ἀγαπητέ, οἷος αὐτὸν πειρασμὸς εἰς τὰ Γέραρα καταλαμβάνει, καὶ θαύμασον ὃ δικαίου τ' ἀρετῆς τὴν δυνάμεν, ὅπως ὃ πᾶσιν ἀφόρητον, καὶ ὁ οὐδὲ ἀκμὴ τις ἀνδρὸς δέξασθαι δύναται, τοῦτο οὗτος ὑπέμενεν, ὁ δυσμενεικῶν, οὐδὲ ἀπαιτῶν εὐθυώρας τὴν γνωμῶν ⓦ δεσπότιν, καθάπερ ⓓ πολλοὶ τὴν ἀνθρώπων ποιοῦσι, καὶ ταῦτα μυρίοις ἀμυρτημάτων φορτίοις πιεζόμενοι, ἐπειδὴν δυσχερέσι ποσὶ περιπέσωσιν, εὐθέως πολυπραγμονοῦντες καὶ περιεργαζόμενοι λέγουσι, Διὰ τί ὃ καὶ ὃ Συμεὼν; καὶ τίνος ἕνεκεν τόδε Συμεχωρήθη; ἀλλ' οὐχ ὁ δίκαιος οὗτος· δι' ὃ καὶ πλείονος ἀπήλαυσε τῆς ἀνώθεν ῥοπῆς. τοῦτο γὰρ ἀληθῶς ὑγιαίνοντος οἰκέτου, μηδὲν τῶν ὑπὸ τὸ δεσπότου γινομένων πολυπραγμονεῖν, ἀλλὰ σιγῇ πάντα καταδέχεσθαι, καὶ μὴ πολλῆς τῆς θαρρησίας. καὶ σκόπει πῶς καὶ δι' αὐτῆ τῇ παρακολουθουμένων πειρασμῶν ἡ τοῦ δικαίου ἀρετὴ μᾶλλον ὀξέλαμπε, τοῦ Θεοῦ φανερὸν αὐτὸν διὰ πάντων δεικνύτος. ὥσπερ γὰρ εἰς τὴν Αἴγυπτον κατῆλθεν, ὡς ἄγνωστος καὶ ξένος καὶ ὑδενὶ γνώριμος, καὶ ἀληθῶν μὴ πολλῆς τ' τιμῆς ἐκεῖθεν ἐπαναβήσεσθαι· ὅτω καὶ νῦν παροικήσας ἐν Γερασηνοῖς, ἐν μὴ τοῖς παροικοῦσι καὶ πρὸ ἑαυτοῦ ὑπιδείκνυται· μὴ δὲ ταῦτα τοσαύτης ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ συμμαχίας, ὡς καὶ τὸν βασιλέα, καὶ τοὺς αὐτόθι πάντας οἰκουμένους παρὰ τὴν ἀρεταπείαν τοῦ δικαίου πᾶσαν ὑπιδείκνυσθαι ἀσυνδύνω.

2 Εἶπε δέ, φησιν, Ἀβραὰμ περὶ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μού ὑστιν. ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μού ὑστι, μή ποτε ἀποκτείνωσιν αὐτὸν ⓓ ἄνδρες τῆς πόλεως διὰ αὐτήν.

Ὅρα πῶς ἀπὸ τυραννικωτάτων παθῶν ἐπολιορκεῖτο ἡ τοῦ δικαίου ψυχὴ, καὶ φόβος αὐτὸν ὀξωθεῖτο. ἀλλὰ καί σοι σφόδρα χαλεπὸν ὄντα τὸν παρόντα φόβον, τὸν τῆς παρουσίας τῆς γυναικός, παρωθεῖτο ὁ τοῦ θανάτου φόβος. ἵνα γὰρ τοῦτον ἐκφύγῃ, ἀπὸ ἐμμένειν ὁρᾶν τοῖς οἰκείοις ὀφθαλμοῖς τὴν κτισιν αὐτῷ τοῦ βίου ἀπὸ τῆς τοῦ βασιλέως χερσὶ ἡμυθεῖν. ὅσον γὰ τοῦτο ἔστιν ἀφόρητον, ἴσασιν ὅσοι γυναῖκας ἔσχυσι. διὰ τοῦτο καὶ σοφός τις ἔλεγε, Μεσὸς ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, καὶ φείσεται ἐν ἡμέρᾳ χρίσεως, οὐκ Παρ. 6 λδ.
ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν τὴν οὐδενὶ ἐποίησαν. ὅρα λοιπὸν τὸν δίκαιον διὰ τὸν τοῦ θανάτου φόβον τοῦτο ὃ βαρὺ καὶ πᾶσιν ἀφόρητον ἡμυναίως ἀνεγκόντα. τοῦτο γὰ ὑπὲρ τῶν σωματικῶν παθῶν συμβαίνει ἔθος. ἐπειδὴν γὰρ δύο κατ' αὐτὸ πάθη πολιορκῇ ὃ σῶμα ὃ ἡμέτερον, ἡ τοῦ ἑνὸς ὑπόστασις ἀποκρύπτει ὃ ἕτερον, καὶ ὅλοι τῆς ὀδύνης ἐκείνης γινόμεθα, καὶ πολλάκις οὐδὲ αἰσθησιν ὃ ἑτέρου λαμβανόμεν, τῆς πολλῆς ὀδύ-

νης

νης ποιεῖ σώσης ἡμᾶς, καὶ οὐκ ἀφιείσης τὸν ἐλάττονος πεῖραν λαβεῖν. Ⓦ αὐτὸν δὲ ἡ θέσπον ὁ δίκαιος οὗτος νῦν ὁρῶν τὸν θανάτου Ⓦ φόβον ἐπικείμενον, πάντα καὶ λοιπὰ φορητὰ ἡγεῖτο. ἀλλὰ ταῦτα * ἀκούων, ἀγαπητέ, μὴ καταγνῷς τοῦ δικαίου μακροψυχίαν, εἰ Ⓦ θάνατον ἐδεδοίκει· ἀλλὰ θαύμασον τὸν πάντων ἡμῶν δεσπότην τὸν ἐκβοῶντα καὶ ἡμᾶς φιλανθρωπίαν, ὅτι Ⓦ θάνατον Ⓦ τοῖς δικαίοις ἐκείνοις καὶ ἁγίοις τότε φοβερὸν, τοῦτον νῦν διὰ παντὸς ἀφοβήτον εἰργάσατο ὁ Χριστὸς, διὰ οὗ ἐδεδοίκεισαν Ⓓ ἀναιρετοὶ ἐκβοῶν καὶ τοσαύτην παῤῥησίαν πρὸς τὸν Θεὸν ἐσχηκότες, τοῦτον νῦν καταγελῶσι καὶ νέοι καὶ κόραι ἁπαλοί. οὐδὲ γὰρ θάνατός ἐστι λοιπὸν, ἀλλ' ὕπνος διὰ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω. ὁ γὰρ θάνατος τοῦ δεσπότου τὸν ἀθανασίαν ἡμῖν ἐδωρήσατο, καὶ καταλθὼν εἰς " τὰ ᾅδου ἐξέλυσεν αὐτοῦ τὰ ὠδῖνα, καὶ τὸν ἰσχὺν αὐτοῦ καθεῖλε, καὶ τὸ φοβερὸν πρὸ τούτου καὶ ἀμείλικτον, τοῦτον οὕτως ἀνταφαίρητον εἰργάσατο, ὡς καὶ ἀντιπαλαῖν καὶ ἐπείγεσθαι πρὸς τὸ ἀντιβλέπειν μετάστασιν. διὰ τοῦτο καὶ Παῦλος βοᾷ λέγων, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον. ἀλλὰ ταῦτα νῦν μὲν τὸν τοῦ Χριστοῦ παρουσίαν, μὲν ὁ συγκλασθῆναι τὰς πύλας τὰς χαλκᾶς, μὲν ὁ πάντα τὸν τῆς οἰκουμένης " ἥλιον τὸ δικαιοσύνης ἐκλάμψαι. τότε δὲ ἔτι φοβερὸν εἶχε τὸ πρόσωπον, καὶ κατέσεισε τῶν δικαίων ἐκείνων ἀνδρῶν τὸν διάνοιαν. διὸ δὲ πάντα τὰ ἄλλα κούφως ἔφερεν, κἂν ἀφόρητα ἐτύγχανεν ὄντα. διὰ τοῦτο καὶ ὁ δίκαιος οὗτος φοβούμενος τὴν ἐν Γεραρείοις οἰκουμένων τὸν ἀπιστίαν, οὐχ ὡς γυναῖκα, ἀλλ' ὡς ἀδελφὸν ἐπαγόμενος, ὅπου τὸν ἐντεῦθεν παρεσκεύασεν ποιῆσαι. καὶ καθάπερ εἰς τὸν Ἄγνωστον κατελθεῖν αὐτὸν συνεχώρησεν ὁ Θεὸς, βουλόμενος καὶ τοὺς ἀγνώμονας ἐκείνους καὶ ἀναμαθήτους τοῦ δικαίου " γνώσεως τὸν ἀρετὴν, ὅπου καὶ ἐντεῦθεν τὸν οἰκείαν μακροθυμίαν ἐπιδείκνυται ὁ δεσπότης, ἵνα καὶ τοῦ δικαίου ἡ ὑπομονὴ διὰ πάντων ἐκλάμψῃ, καὶ ἡ τοῦ Θεοῦ πρὸς αὐτὸν βουλὴ πᾶσι καταδηλος γένηται.

Ἀπέσειλε γὰρ Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων λαβεῖν τὸν Σάῤῥαν.

Εἰδὼς σύ, φησι, τῆς γνώμης τὸ φιλόθεον, ἰδοὺ ὅπερ προσελαβὼν εἶπες τῷ παιδὶ, τῦτό σοι παρεσκευάσα. ϗ ἔλαβε ϗ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἀντὶ Ισαὰκ τῦ ὑιοῦ αὐτῦ. εἶδες Θεοῦ φιλοθεΘρησίαν. ϗ ἡ ψυσία ἀπηρτίσθη, ϗ ὁ πατριάρχης τὸ φιλόθεον αὐτῦ τῆς γνώμης ἐπεδείξατο, ϗ ἀπὸ τῆς προαιρέσεως τὸν σέφανον ἐκομίσατο, καὶ τὸν Ισαὰκ λαβὼν ἐπάνειπι μυρίων σεφάνων. Ταῦτα δὴ πάντα τύπος ἐγίνετο τ σαυτοῦ. Διὰ τῦτο ϗ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἔλεγεν, Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, ϗ εἶδε ϗ ἐχάρη. πῶς εἶδεν ὁ προ τοσύτων γενεῶν; Ioan. 8. 56.

χρόνων; διὰ δὲ τύπου, διὰ τῆς σκιᾶς. καθάπερ γὰρ ἐνταῦθα τὸ πρόβατον προσηνέχθη ἀντὶ τοῦ Ἰσαάκ, οὕτως ὁ λογικὸς ἀμνὸς προσηνέχθη ὑπὲρ τῆς οἰκουμένης. ἔδει γὰρ ἐν τῇ σκιᾷ προδιαγραφῆναι τὴν ἀλήθειαν. ὅρα μοι γὰρ, ἀγαπητέ, πῶς ἅπαντα διὰ τῆς σκιᾶς προετυποῦτο· μονογενὴς ἦν, μονογενὴς ἐνταῦθα· ἀγαπητὸς ἦν καὶ γνήσιος,

Matth. ιζ. 5. ἀγαπητὸς καὶ ἐνταῦθα καὶ γνήσιος. Οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, φησιν. ὑπὲρ τοῦ παντὸς ἦν ἐκεῖνος εἰς ὁλοκαύτωσιν ἀνεφέρετο, καὶ τοῦτον ὁ πατὴρ ὑπέδωκε. καὶ βοᾷ Παῦ-

Rom. η. λβ. λος λέγων, Ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. μέσει τοῦτο ἡ σκιά, λοιπὸν ἡ τῶν πραγμάτων ἡ ἀλήθεια πολὺ τὸ ὑπερέχον ἐπιδείκνυται. ὁ γὰρ ἀμνὸς οὗτος ὁ λογικὸς ὑπὲρ ἁπάσης τῆς οἰκουμένης προσεφέρετο, ὅτος τὴν οἰκουμένην ἅπασαν ὑπεξεκάθηρεν, οὗτος τοὺς αἰθέριους τῆς πλάνης ἠλευθέρωσε, καὶ πρὸς τὴν ἀλήθειαν ἐπῆγαγε, οὗτος τὴν γῆν ἀνθρώπου ἐποίησεν, ἀντὶ τῶν στοιχείων ἀναλάζας τὴν φύσιν, ἀλλὰ τὴν ἐν τοῖς ἀνθρώποις πολιτείαν εἰς τοὺς ὑπὲρ γῆς αἰθερίους μετῆρεν. διὰ τοῦτο πᾶσα ἡ τῶν δαιμόνων θεραπεία λέλυται, διὰ τοῦτο οὐκ ἔτι λίθοις καὶ ξύλοις προσκυνοῦσιν οἱ θεοί, οὐδὲ ὁ λόγῳ τετιμημένοι τοῖς ἀναισθήτοις ὑποκύπτουσιν, ἀλλὰ πᾶσα ἀπελήλαται πλάνη, καὶ ὁ τῆς ἀληθείας φῶς τὴν οἰκουμένην κατήγασεν. εἶδες τῆς ἀληθείας τὴν ὑπεροχήν· εἶδες τί μὲν ἡ σκιά, τί δὲ ἡ ἀλήθεια.

14 Καὶ ἐκάλεσε, φησὶν, Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει κύριος ὤφθη.

Ὅρα τοῦ διηγητοῦ τὴν φιλόθεον γνώμην, πῶς ἐκάστοτε ἐκ τῶν συμβαινόντων τὰς προσηγορίας τοῖς τόποις ἐπιτίθησι. τὴν γὰρ περὶ τοῦ Θεοῦ ἡμῶν ἐπίσκεψιν βουλόμενος, καθάπερ ἐν ξηρᾷ χαλκῇ, ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας, φησὶ, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, κύριος εἶδεν. ἤρκει μὲν οὖν προσελθὼν Ἀβραὰμ τῷ διηγήσασθαι καὶ τὸ ζῶντα ἐπάγαγεῖν τὸν Ἰσαάκ, καὶ τὸ ἀξιωθῆναι τῆς ἐγκωμίων ἐκείνων τῆς μεγάλων, τὸ νῦν ἔργων ὅτι φοβῇ τὸν Θεὸν σύ· ἀλλ' ὁ φιλόπτωμος ταῖς δωρεαῖς ἀεὶ νικᾷ καὶ ταῖς εὐεργεσίαις τὴν ἔννοιαν τὴν ἡμετέραν, ὅπως διαφιλοτιμήσηται καὶ νῦν τοῦ δικαίου τὴν γνώμην, καὶ ἀμειβόμενος φησι πάλιν πρὸς αὐτόν·

15 Καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ, 16 Λέγων, κατ' ἐμαυτοῦ ὤμοσα λέγει κύριος, ὃ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, 17 Ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθυνῶν πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ἐχθρῶν αὐτῶν, 18 Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Ἐπειδὴ ἐπλήρωσε, φησὶ, τὸ πρόσταγμα τὸ ἐμὸν, καὶ τὴν ὑπακοὴν παρέσχετο τὴν πρέπουσαν τοῖς ἐπαγγελθεῖσι, τότε ὡς βεβαίαν τὴν ὑποταγὴν ἐδέξαμην, ὅτῳ ἐγκείνται καὶ τὴν ἐπαγγελίαν ἐφήκοτες· διὰ τοῦτο καὶ ὁ δεσπότης τὴν ἀνθρωπίνην σωτηρίαν χρηματίζων, φησὶ, κατ' ἐμαυτοῦ ὤμοσα, ὃ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. σκόπει μοι φιλανθρωπίαν δεσπότου. οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. καὶ μὴν ζῶντα αὐτὸν ἐπάγει. ἀλλὰ μὴ τῷ τέλει προσέχῃς, ἀγαπητὲ,

ἀλλὰ

ἀλλὰ τῇ γνώμῃ καὶ ὅσον ὃ ἀπὸ τῆς οἰκείας προαιρέσεως ἤμαξε τῷ δεξιᾷ ὁ πατριάρχης, καὶ κατὶ τῆς δέρρας τοῦ παιδὸς ἐπαφῆκε τὸ ξίφος, καὶ ἀπηρτισμένῳ ἀπειργάσατο τὴν θυσίαν. διὸ καὶ ὁ δεσπότης, ὡς εἰς ἔργον τῆς θυσίας ἐνεχθείσης, ὅπου τὸν ἔπαινον τοῦ δικαίου ζωτιθησι, καὶ φησιν, ὅτι σὺκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. σὺ μοὶ σὺκ 5 ἐφείσω διὰ τὸ ἐμὸν προσταγμα, ἐγὼ δὲ ἐφεισάμην διὰ τὴν σὴν ὑπακοήν. ἕνεκεν οὖν τῆς ὑπακοῆς ταύτης ἀμειβόμενός σε εὐλογήσω καὶ πληθυνῶν πληθυνῶ σε. ὅσα εὐλογίας ἐπίτασιν, αὐτὶ τοῦ, ὅτι πλέον πληθυνῶ τὸ σπέρμα σου. ὅτος γὰρ ὁ τῇ γνώμῃ σου σφαγιασθεὶς ὥσπερ εἰς πλῆθος ἐκτεινόμενον ἔξει τὸ σπέρμα, ὡς τοῖς ἄστροις καὶ τῇ ἄμμῳ παεισωθῆναι, ὃ πάντα τὰ ἔθνη εὐλογηθῆναι ἐν τῷ σπέρματί σου, αὐθ' ὧν ὑπήκου- 10 σας τῆς ἐμῆς φωνῆς. ταῦτα δέ σοί, φησιν, ἄπαντα ἔσται διὰ τὴν πολλὴν ὑπακοήν.

ἰδ. ρεξην. Ἅρα τῶν μυρίων ἡμῖν ἀγαθῶν ΄΄ παρέξενος γίνεται ὁ ὑπακούειν τῷ δεσπότῃ, καὶ ΗΘΙΚΟΝ πείθεσθαι αὐτοῖς τοῖς παρεσάγμασι, καὶ ὁμοίως τῷ πατριάρχῃ τούτῳ μὴ παρεργάζεσθαι τὰ πρὸς αὐτὸ ἐπιτατόμενα· ἀλλὰ καθάπερ οἰκονόμους οἰκέτας πλεονῶν τὰ διατεταγμένα, καὶ ὡς ὑπὲρ τούτων λόγον ἀπαχρεῦν τῷ δεσπότῃ. ἐὰν οὖν ὅπου παιδεύσωμεν 15 ἑαυτούς, δυνησώμεθα καὶ τοῦ αὐτοῦ ὑπακοῆς τῷ δικαίῳ ἐπιδείξασθαι, καὶ τῶν αὐτῶν στεφάνων ἐπιτυχεῖν. πῶς γὰρ ὑπακούσωμεν; ἐὰν τὰς ἐντολὰς αὐτοῦ διὰ τῶν ἔργων πληρῶμεν. Οὐ γὰρ ἀκροαταί, φησι, τοῦ νόμου δικαιωθήσονται, ἀλλὰ ποιηταί. Ὠφελος γὰρ Ρω. β. ιγ. ὄφελος, ἐὰν καθ' ἑκάστην μοὶ ἀκούωμεν, ἀμελῶμεν τῆς τούτων ἐργασίας; διὸ παρακαλῶ, ὅπως τὰ ἐργασίαν [αὐτῶν] τῶν ἔργων ἀπεύσωμεν (οὐδὲ γὰρ ἄλλως σωθῆναι δυ- 20 νατὸν) ἵνα καὶ τὰς ἡμερτημένα ἀπονιψώμεθα, καὶ τῆς πρὸς αὐτὸν τοῦ δεσπότου φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

25 Λογ. μη. ΑΠΕΚΡΙΘΗΣΑΝ ΔΕ ΟΙ ΥΙΟΙ ΤΟΥ ΧΕΤ πρὸς Ἀβραάμ, καὶ εἶπον, βασιλεὺς παρὰ Θεοῦ εἶ σὺ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου.

Ἐπ' ἄρετε ἀδελφοί, τοῦ πατριάρχου τὴν ἀνδρείαν· εἴδετε ψυχὴν ἀδάμαντος στερροτέραν, πῶς ὁ ἥκειν εἰς αὐτὸν λόγος τοῦ Θεοῦ τὸν παιδὸς ἐθήρευτο, καὶ τῇ μὲν γνώμῃ ἤμαξε τὴν δεξιάν, καὶ ὁ ἱερεῖον προσήνεγκε· λόγῳ δὲ τὸ ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν σῶον καὶ ὑγιῆ παῖδα λαβὼν ἐπανήει, καὶ ἀπὸ τῆς προαιρέσεως ἀνεκηρύττετο ὁ πατριάρχης, καὶ τὸ φάσμα λαμπρὸν ἀνεδήσατο, καὶ τοῦτον τελευταῖον ἀγῶνα ἠγωνίσατο, ἵνα λόγῳ πάντων ὁ φιλόθεον αὐτοῦ τῆς γνώμης ἅπασι γλύπται καταδήλων. ἴδωμεν καὶ σήμερον τοῦ δικαίου τούτου ὁ φιλοθεώτερον, ὅσην ποιεῖται τοῦ παιδὸς τὴν κηδεμονίαν. ὅπου γὰρ μὴ ὁ ἀπὸ τῆς θυσίας ταύτης ἐπιμελεῖν τῆς καινῆς καὶ παραδόξου διεδέξατο αὐτὸν τῆς Σάρρας τὸ πένθος, αἰτήσας παρὰ τῶν υἱῶν Χὲτ κτῆσιν τάφου, καὶ περιάμενος τόπον ἀπένειμε νεκροῖς, καὶ ταύτην παρὰ τῶν ἐγχωρίων κτήσεως ποιεῖται ὁ πατριάρχης διὰ τὴν τῆς Σάρρας τελευτήν. δεικνῦσι γὰρ ἡμῖν ἡ θεία γραφὴ διὰ πάντων τοῦ δικαίου τὴν ἀρετὴν, καὶ ὅτι ὡς πάρεσι καὶ παρεπίδημος ἀπάντα δίνυε χρόνον, καὶ τοῦτο ἐπισημαίνατο, ἵνα μάθωμεν ὅτι ὁ τοιοῦτος τῆς ἀπολαύσεως τῆς αἰωνίου συμμαχίας, καὶ ὅπως εὐφροσύνης γενησώμεθα, καὶ ὅπως τοῦτον

σῦτον πλῆθος ἐκταθεὶς οἰκεῖτ, ὃν ἐκτήσατο, καθάπερ νεῶν ποιοῦσιν, ἀγροὺς καὶ κώμας καὶ πολλὰ πινα ἕτερα ἀφανῆ τοιαῦτα. Εἶχε γὰρ ἀρχαῖον πλοῦτον ⓦ ἀπὸ τῆς γνώμης, καὶ οὐδεμίαν τοιαύτην ἐποιεῖτο τῶν ἀσυδλῶν. ἀκουέτωσαν ⓓ ἀδελφοὶ ὄντες μιᾶ καὶ ἀφόρῃ τὰ πάντων τοιαῦτα ἀλλόμενοι, καὶ πάντα χοῦ, ὡς εἰπεῖν, τῆς οἰκείας πλεονεξίας τῶν ἐπιθυμίαν ἐκτείνοντες, καὶ μιμείσθωσαν τὸν πατριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τῆς Σάρρας ὃ λείψανον ἐχωκότα, μέτρεις ὅτε καὶ ἀπ' αὐτῆς τῆς ἀνάγκης ὠθούμενος, ὠνήσατο τὸν ἀγρὸν καὶ τὸ σπήλαιον παρὰ τῶν υἱῶν Χέτ. ὅτι γὰρ παίδολεσίου ἦν παρὰ τοῖς τῶν Χαναναίων οἰκοῦσιν, ἄκουε τῶν υἱῶν Χέτ πρὸς αὐτὸν λεγόντων.

ιεβ. κγ. 6 Βασιλεὺς παρὰ Θεοῦ σὺ ἐν ἡμῖν. ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου. οὐδεὶς γὰρ ἡμῶν ὃς μὴ κωλύσῃ τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ.

Ἀλλ' ὅρα ⓦ δίκαιον, ὅπως καὶ ἐκεῖνοι παιδεύει δι' αὐτῶν τῶν ἔργων τὴν οἰκείαν φιλοσοφίαν, καὶ ὁ πρότερον ἀνέχεται λαβεῖν τὸ μνημεῖον, πρὶν αὐτὴν δικαίαν καταβάλλῃ τιμήν. Εἰ γὰρ καὶ ὑμεῖς, φησιν, ὥσπερ ἐμὲ ἀγνώμονες γεγόνατε, ἀλλ' ἐγὼ οὐκ ἀνέξομαι, εἰ μὴ πρότερον τὴν δέουσαν τιμὴν καταβάλλοιμι, λαβὼν παρ' ὑμῶν τὸ μνημεῖον. 19 Καὶ δι' ὃς, φησι, τὸ ἀγρύλιον ἔλαβε τὸ μνημεῖον, καὶ ἔθαψε Σάρραν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τοῦ διπλοῦ, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ. Καὶ ὁ οὕτω πρόθυμος καὶ πρόβολος, καὶ τοσαύτην παρρησίαν παρὰ τῷ Θεῷ ἔχων, καὶ παρὰ πάντων, ὡς εἰπεῖν, τὴν αὐτὴν τοσαύτης ἀπολαύων θεραπείας, ὡς καὶ τοῦ υἱοῦ Χέτ βασιλέα αὐτὸν ὀνομάζειν, οὐδὲ ἓν μα ποδὸς ἐκέκτητο. διὰ τοῦτο

Ες. ια. θ. ὁ μακάριος Παῦλος ἀναπηρίαν τοῦ δικαίου τούτου τῶν ἀρετῶν γράφων ἔλεγε, Πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Εἶτα διδάσκων ἡμᾶς πῶς πίστει παρῴκησεν, ἐπήγαγε, ἐξεδέχετο γὰρ τὴν τοῦ θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. τῇ ἐλπίδι, φησί, τῶν μηνόντων ἀφρεώσεων τῶν παρόντων, καὶ τῇ προσδοκίᾳ τῶν μειζόνων ἐλαττον ἐφρόντιζε τούτων τῶν ἐν τῷ παρόντι βίῳ, ἃ ταῦτα περὶ τοῦ νόμου, περὶ τῆς γαστρός. ποίαν οὖν ἔξομεν ἡμεῖς ἀπολογίαν, εἰπέ μοι, ⓓ μὴ τοσαύτας ἐπαγγελίας καὶ τὰς ὑπερβαλλούσας τῶν ἀπορρήτων ἀγαθῶν τοὺς παρόντας ἐπομένους, καὶ ὠνύμενοι ἀγροὺς, καὶ πάντα χοῦ φαιδρύνεσθαι ἀσυδαίζοντες, καὶ ἀπὸ πλεονεξίας καὶ ἁρπαγῆς ταῦτα ἄπαντα συλλέγοντες, καὶ ὅταν ὁ μακάριος περὶ φήτης θρηνῶν ἔλεγε, Τὸ δὲ τῶν ἔργων πληροῦντες, Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγροὺς πρὸς ἀγροὺς ἐγγίζοντες, ἵνα μὴ πλησίον ἀφέλωνται; ἵνα μὴ καὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ὁρῶμεν γινόμενα, καὶ χήρας μὲν ἁρπαζομένας, ὀρφανοὺς δὲ ἀποδυομένους, καὶ τοῦ ἀδένδρου ὑπὸ τῶν δυναστέρων πιεζομένους; ἀλλ' οὐχ ὁ δίκαιος τοῦτο· ἀλλὰ καὶ μυηθέντα ὠνήσασθαι βουληθείς, ὅπου εἶδεν ἑτοίμους ἀφειδοῦσαι βουλομένους τοῦ αὐτὴν ἔχειν, πρότερον ἐδέξατο, πρὶν ἢ τὴν δικαίαν καταβάλῃ τιμήν. ἆρα ἐνοοῦντες, ἀγαπητοί, μιμησώμεθα καὶ ἐν τῇ χαίρειν περὶ τοῦ νόμου, καὶ μὴ περὶ τὰ πλείονα ἐπιθυμίαν ἐκκαιόμενοι, μᾶλλον ἑαυτοῖς καὶ σφοδρότερον ἐπισωρεύωμεν τὸ πῦρ τὸ ἀσβεστον, τὴν φλόγα τὴν ἀφόρητον. ἀκουσόμεθα γὰρ, εἰ ἐπιμείνοιμεν ταῖς τοιαύταις

Λευ. ιβ. κ. ἁρπαγαῖς καὶ πλεονεξίαις, τὰ πρὸς τὸν πλούσιον ἐκεῖνον εἰρημένα, Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται, οἶνος γὰρ ἔστε-

χεν, ἀγαπητὲ, τοσαῦτα συλλέγειν ἀσυδαίζεις, ἅπερ μετ' ὀλίγον μέλλων ἐντεῦθεν ἀφαρπάζεσθαι καταλείψεις ἐνταῦθα, καὶ μόνον οὐδὲν ἀπ' αὐτῶν καρπώσασθαι δυνηθείς, ἀλλὰ καὶ ὃ φορτίον τῶν ἁμαρτημάτων ὑπὲρ τῶν οἰκείων ὤμων ὑποφερόμενος,

καὶ

χ̀ ἀ̓ποφαντα λοιπὸν μεταγνώσκων. καὶ τὰ μὲν πρὸς σὲ μὴ πλεονεξίας συλλεγόμενα πολλάκις δὲ εἰς τὰς τῶν ἐχθρῶν χεῖρας ἐλθόντα· αὐτὸς ὁ τῷ ὄντι τούτοις δίκην ἀπαιτήσων. ποίας οὖν οὐκ ἂν εἴη τοῦτο πρόφασεως, ὃ ἑτέροις πονεῖσθαι, καὶ αὐτὸς τῷ ὄντι τούτοις δίκην διδόναι; ἀλλ' εἰ καὶ ἄφετέρων ὅπως τὰ καθ' ἑαυτὸν ῥᾳδίως διεθήκαμεν, νῦν γοῦν τὸ δέον βουλευσώμεθα, καὶ μὴ * ἁπλῶς ἀφελώμεθα τοῦ δικαίου ποιώμεθα πρόνοιαν. ὧδε γὰρ μέγα τὸ παρόντος φήσεται τὰ ἡμέτερα, οὐδὲ ὅτι τῆς ξένης δίκης πρώτους ἐσόμεθα, ἀλλὰ μετ' ὀλίγου εἰς τὸν οἰκεῖον ἐπανήξομεν πατέρα. πρώτα οὖν ποιῶμεν, ὥστε μὴ ἐκεῖ σὺν ἀνδρείᾳ ἡμᾶς ἡγεῖσθαι. τί γὰρ ὄφελος ἐν ξένῃ μὲν πολιὰν τὸν πλοῦτον καταλιπεῖν, ἐν δὲ τῇ οἰκείᾳ πατρίδι μηδὲ τῶν ἀναγκαίων τὸν χρείαν ἔχειν; ἀπεύσωμεν οὖν, παρακαλῶ, ὡς ἐπὶ κακοῖς, καὶ τὰ ὅτι τῆς ξένης ἐκεῖ μεταδῶμεν. εἰ γὰρ καὶ πολὺ τὸ δίκαιόν, ἀλλὰ σφόδρα ὀκνηρὸς ἡ μεταχείρισις. καὶ γὰρ οἱ μεταχειρίζοντες ἕτοιμοι, εἰ μὴ ἀσφαλείας ἐκεῖσε βαδίζοντες, καὶ ἐν ἀσύλῳ θησαυρῷ ἀποτιθέμενοι, ἅπερ ἂν δι' αὐτῶν πρόσαπορεῖλαι δυνηθῶμεν. αἱ γὰρ τῶν πενήτων χεῖρες εἰς τὰ ταμιεῖα τῶν ὑφαντῶν ἀποτίθενται τὰ παρ' ἡμῶν διδόμενα. ὅταν οὖν εἰς ἡ βιοτὴ ἡ τοσαύτη καὶ ἀσφάλεια, ἵνος ἕνεκεν φυόμεθα; ὑπὲρ τίνος ἔτι πάσης ἀσυδησίας τοῦτο διαπορούμεθα, ἵνα ἐκεῖ ταῦτα φέρωμεν, ἔνθα μάλιστα αὐτῶν χρῄζομεν; διὰ τοῦτο καὶ ὁ πατριάρχης οὗτος, ὡς ἄλλοτε εἶδον, κατῴκει τὴν Χαλδαίαν, ὅθεν ἐκείνην εἵλετο τὴν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. ἐὰν οὖν καὶ ἡμεῖς βουληθῶμεν τὸν δίκαιον τοῦτον μιμήσασθαι, καὶ ἡμεῖς εἰς ἐκείνην κατοικήσωμεν ἄν, καὶ εἰς τὸν κόλπους τοῦ πατριάρχου φθάσωμεν. ἡ γὰρ κοινωνία τῶν πραγμάτων, καὶ τῆς ἀπολαύσεως τὴν κοινωνίαν ἡμῖν χαρίζεται. ἀλλ', εἰ δοκεῖ, ἐπανέλθωμεν λοιπὸν ὅτι τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ἴδωμεν μετὰ τῆς Σάρρας θάπτων, ὅσην ὁ δίκαιος ποιεῖται φροντίδα τοῦ παιδὸς, τοῦ Ἰσαὰκ λέγω. ἀκούσωμεν οἷόν τῶν θείας γραφῆς διηγουμένης ἡμῖν.

κζ. κδ. 25 1 Καὶ Ἀβραάμ, φησὶν, ὢν πρεσβύτερος, προβεβηκὼς ἡμερῶν, καὶ κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα.

Τίνος ἕνεκεν τοῦτο ἡμῖν ἐπεσημήνατο; ὅτι μέλλει φροντίδα ποιεῖσθαι τοῦ Ἰσαὰκ καὶ ἀσυδησίαν, ὥστε νύμφιον αὐτοῦ ἀγαγέσθαι, διὰ τοῦτο ἐσήμηνεν ἡμῖν τὴν ἡλικίαν τοῦ πατριάρχου. πρίν γὰρ, φησὶ, τοὺς ἑκατὸν γῆρας ἔλασε, βουλόμενος Ⓜ Ἰσαὰκ τῆς κοινωνίας 30 τῶν Χαναναίων συγγενείας ἀπαλλάξαι, ἵνα μὴ ἐκεῖθεν ἀγάγηται γυναῖκα, καλέσας, φησὶ, τῶν οἰκετῶν τὸν δυνούστερον, ἐντέλλεται αὐτῷ περὶ τούτου, καὶ φησί·

2 Θὲς τὴν χεῖρά σου ὑποκάτω τοῦ μηροῦ μου.

Τῇ μὲν Ἑλλάδι γλώττῃ ὅπου γέγραπται, ὑποκάτω τοῦ μηροῦ μου· ἐν δὲ τῇ Ἑβραΐδι φωνῇ, ὑποκάτω τοῦ ὀσφύος. καὶ τίνος ἕνεκεν τοῦτο ποιεῖ; ὅτι ἐντεῦθεν ἡ ἀρχὴ τῆς γλυκύτητος τοῦ 35 Ἰσαὰκ γέγονεν. ἰδίωμα γὰρ τοῦτο τῶν παλαιῶν ἀνδρῶν. καὶ ἵνα μάθῃς ὅτι συμπαθείας τινὸς ἕνεκα τοῦτο γινόμενον, ὅρα αὐτὸν ὅτι πάσχοντα τοῦ μὴ χεῖρα αὐτοῦ ὅτι θεῖναι, οὐδέπω ἐπάγοντα,

3 Καὶ ἐξορκιῶ σε κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ, καὶ τὸν Θεὸν τῆς γῆς.

Ὅρα πῶς καὶ τὸ οἰκεῖον διδάσκει εἰδέναι τὸ τῶν ἀπόντων δημιουργόν. εἶπον γάρ, Θεὸν οὐρανοῦ καὶ Θεὸν γῆς, ἅπασαν τὴν κτίσιν συμπεριέλαβε. καὶ τίς ὁ ὅρκος;

Ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων Χαναναίων, μέσῳ ὧν ἐγὼ κατοικῶ ἐν αὐτοῖς· 4 Ἀλλ' εἰς τὴν γῆν μου, ἣ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαάκ. ἐκεῖθεν

Εἶδες τὴν ὑποταγὴν τοῦ πατριάρχου τὴν πρὸς τὴν οἰκέτιν γενομένην. μὴ ἁπλῶς δὲ προσδράμῃς τὰ ῥηθέντα, ἀλλ' ἐννόησον ⟨W⟩ σκοπὸν τοῦ διηγήματος, καὶ λόγισαι ὅπως τὸ παλαιὸν ἐποιοῦντο οἱ προγονοῦντες, ὑπὲρ χρημάτων ὀρεγόμενοι πρόσοδον, ὑπὲρ πολλῶν πλήθους, καὶ δυσπρόσοδα καὶ πλέθρα γῆς ὅσα καὶ ὅσα, ὑπὲρ τοῦ ἔξωθεν κάλλους τὴν εὐμορφίαν, ἀλλὰ τῆς ψυχῆς τὸ κάλλος ἐπιζήτουν, καὶ ἔθνων εὐγένειαν. ὅπου γὰρ εἶδε τῶν ἐν τῇ Χαναναίᾳ οἰκούντων τὴν πονηρίαν, εἰδὼς ὅσον ὄγκον ἀγαθὸν ὁμόφυλον ἔχειν σύζυγον, ἀφεστάλκει τῷ παιδὶ, καὶ ὅρκον προσέθηκεν, ὥστε ἐκ τῆς συγγενείας αὐτοῦ ἀγαγέσθαι τῷ Ἰσαὰκ γυναῖκα. καὶ ὅτε ὁ Δημήτριος τοῦ τόπου, ὅτε αἱ ἄλλαι δυσχολίαι ἐκπεσοῦσαι αὐτὸν πρὸς τοῦτο πεποιήκασιν· ἀλλ' εἰδὼς τὸ πράγματος ὀφειλόμενον, πᾶσαν ποιεῖται τὴν σπουδὴν, καὶ ἀποστέλλει ⟨W⟩ οἰκέτιν. ἀλλ' ὁ μὲν πατριάρχης ὑπεμελόμενος τῆς τοῦ ψυχικοῦ ἀρετῆς τοῦ Ἰσαὰκ, καὶ φεύγων τὴν ἐγχωρίων τὴν πονηρίαν, τοῦτο ποιεῖ· ⟨Q⟩ οἱ νῦν ἅπαντες οὐκ ἂν ποτε ἀνάσχοιντο τοιοῦτόν τι ἐννοῆσαι, ἀλλὰ καὶ μυρίων ἡμῖν κακῶν ἀναίτιος ὁ νυμφίος, ἡ καὶ ἡ χώρα, ἕν μόνον ὑπιζητοῦσι, τὰ χρημάτων τὴν εὐσέβειαν, καὶ πάντα τὰ ἄλλα δεύτερα ἀνωφελῆ νενόμικασι· οὐκ εἰδότες ὅτι γνώμης διεφθαρμένης ὅσης, κἂν ἄφατος ὑπερρέῃ πλοῦτος, βαθύν τις εἰς ἑκάστην πενίαν ἕλκει, καὶ σφόδρα ὄφελος ἔσται τῆς εὐσεβείας, οὐκ ὄντος τῆς οἰκονομεῖν ταῦτα δυναμένης δεόντως ψυχῆς. ἀλλ' ὁ μὲν πατριάρχης ἀρχοῦσαν ὡς παιδὶ τὴν οἰκέτιν ἐποιήσατο, καὶ ὅρκοις αὐτὸν συνέδησεν. ἴδωμεν δὴ λοιπὸν τὴν ὑγνωμοσύνην τοῦ οἰκέτου, ὅπως ἐζήλωσε τοῦ δεσπότου τὸ φιλόθεον. ὅπου γὰρ εἶδε μετὰ πολλῆς σφοδρότητος ἀπελλόμενον ⟨W⟩ δίκαιον,

5 Φησὶ πρὸς αὐτόν· ἐὰν μὴ βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, βούλει ⟨W⟩ υἱόν σου ἀποστρέψω εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν; Ἵνα μή, φησὶ, δυσχολίας τινὸς παρεμπεσούσης ἐκβαίνειν δόξω τοὺς ἀποστόλους" σου, διὰ τοῦτο πιωδάνομαι, τί δεῖ με" προφυλάξασθαι, καὶ εἰ ἀρεστόν σοι τῷ Ἰσαὰκ ἐκεῖ ἀπελθεῖν, ὥστε λαβόντα τὴν γαμετὴν ὅτως ἐπανελθεῖν, εἰ μὴ δύναιτο, καθάπερ ἀνετείλω, ἡ χώρα μεθ' ἑαυτοῦ προσηλύσεται. Τί οὖν ὁ δίκαιος; ἀπαγορεύει τοῦτο αὐτῷ, καί φησι·

6 Πρόσεχε σεαυτῷ· μὴ ἀποστρέψῃς ⟨W⟩ υἱόν μου ἐκεῖ. Οὐ χρεία σοι γενήσεται τούτου, φησίν. ὁ γὰρ τῆς ἐπαγγελίας πρὸς με ποιησάμενος, καὶ ὅτι τοσοῦτον αὐξηθήναι ὁ σπέρμα αὐτοῦ ἐπαγόμενος, αὐτὸς σοι καὶ τοῦτο εὐοδώσει. μὴ τοίνυν ἀποστρέψῃς ⟨W⟩ υἱόν μου ἐκεῖ. 7 Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ Θεὸς τῆς γῆς.

Ὅρα πῶς καὶ δυνατέρω ὁρκῷ ⟨W⟩ παίδα, ⟨W⟩ δημιουργὸν τῶν ὅλων αὐτὸν ἐκπαιδεύει· καὶ νῦν μέλλων ἐπιδύεσθαι, τὰ αὐτὰ ῥήματα φησι, διὰ πάντων παιδεύων ⟨W⟩ οἰκέτην ἐπ' ἐκείνου τὴν πεποίθησιν ἔχοντα, ὅτι τῆς ὁδοιπορίας ἄψασθαι, καὶ θαῤῥεῖν χρὴ ἐπὶ τοῦ τέλους. διδάσκει γὰρ αὐτὸν ὅσης ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἀπήλαυσε τῆς παρὰ τοῦ τῶν ὅλων Θεοῦ" προνοίας, καὶ ὅτι αὐτὸς ὅτος, ὁ καὶ ἐκ τῆς οἰκείας πατρίδος ἀναστήσας, καὶ μέχρι νῦν τὰ κατ' αὐτὸν ὅτως οἰκονομήσας, καὶ ἐν αὐτῇ τῇ γήρᾳ τοῦ Ἰσαὰκ ⟨W⟩ ἔσχον χορηγὸν μόνος, αὐτὸς καὶ τὰ προκείμενα αὐτῷ κατευοδώσει.

Κύριος ὁ Θεός, φησὶ, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, αὐτὸς σοῦ, ὃς ἐλάλησέ μοι, λέγων, σοι δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, Οὗτος ὁ τοσαύτην προ ἐμὲ τὴν κηδεμονίαν ὑπιδειξάμενος, Αὐτὸς ἀποστελεῖ ⟨W⟩ ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. Θαῤῥῶν, φησιν, ἄπιθι. πέπεισμαι γὰρ, ὅτι ὁ τοσαύτην προ ἐμὲ τὴν εὐεργεσίαν ὑπιδειξάμενος, καὶ ταύτην προσθήσει ταῖς προλαβούσαις, καὶ ἀποστελεῖ ⟨W⟩ ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. αὐτὸς σοι προοδοποιήσει ἀπαντα

πάντα, αὐτός σοι ἡ τὴν γῆν ταύτην ποιήσει, ἡ λαούς αὐτὴν ἕξεις.

8 Ἐὰν δὲ γένηται, ὁ μὴ γένοιτο, ἡ ἀντιτείνῃ ἡ γυνὴ τῷ μὴ πορευθῆναι, ἀλλότριος ἔσῃ ἀπὸ τῆς ἀρᾶς τοῦ ὅρκου. τὴν μόνην τοι υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. Οὐκ ἀμφισβάλλω γὰρ ὅτι κατευοδώσει σοι κύριος. Ὡς δεικνὺς ὅπως ἐπεποίθει τῇ τοῦ Θεοῦ δυνάμει, ἀπαγορεύει τῷ παιδὶ τὸν Ισαὰκ ἐκεῖσε ἀπαγαγεῖν. Εἶπα δήπου μὴ ἀκριβείας διετέλεστο ὁ παῖς, ἡ ἀπήλλαξεν αὐτὸν τῆς φερνίδος (ἐδεδοίκει γὰρ ὁ παῖς, μὴ ὁπιορκήσας ἀλῷ ὁ πρεσβύτης μὴ πληρώσας) 9 Θεὶς, φησι, τὴν χεῖρα αὐτοῦ ὑποκάτω τοῦ μηροῦ, ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου, Ὥστε μὴ τὸν Ισαὰκ ἐκεῖ ἀπαγαγεῖν. Εἶδες πῶς ἐκ προοιμίων ἐδείκνυεν ὁ οἰκέτης τὴν ἑαυτοῦ καὶ τὴν τοῦ δεσπότου· ὅρα. λοιπὸν αὐτὸν ἐκ τῆς τοῦ πατριάρχου διδασκαλίας βελτίω γινόμενον καὶ μιμούμενον τοῦ δικαίου τὸ φιλόξενον. 10 Λαβὼν γάρ, φησιν, ὁ παῖς τοὺς καμήλους ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ, ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ, 11 Καὶ ἐκοίμισε τοὺς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι, 12 Καὶ εἶπε· κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ.

Ὅρα τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην. τὴν τῆς οἰκειότητος δεσπότην ἀπὸ τοῦ πατριάρχου ὀνομάζει. κύριε γὰρ ὁ Θεός, φησι, τοῦ κυρίου μου Ἀβραάμ, ὁ τοσαύτας περὶ αὐτὸν ἐνεργείας ἐπιδειξάμενος. καὶ τί θαυμάζεις, εἰ ὁ οἰκέτης αὐτὸν ὕπω καλῇ Θεὸν Ἀβραάμ; αὐτὸς ὁ τῶν ὅλων Θεὸς δεικνύς, ὅπως τῶν δικαίων τὴν ἀρετὴν περὶ πολλοῦ ποιῆται, φησιν, ἐγώ εἰμι ὁ Θεὸς Ἰακὼβ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἀβραάμ.

Κύριέ, φησιν, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ εὐόδωσον σήμερον ἐνώπιόν μου, καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. Πλήρωσον, φησι, καὶ εἰς ἔργον ἐλθὲν ποίησον καὶ δόξαν αὐτῷ· ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ, τὴν ἐπιθυμίαν αὐτοῦ πλήρωσον. Εἶπά, φησι, 13 Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· αἱ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ. 14 Καὶ ἔσται ἡ παρθένος, ᾗ ἐὰν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου ἵνα πίω, καὶ εἴπῃ μοι, πίε, καὶ τοὺς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαν πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. Εξοδ. γ. 5.

Ὅρα τοῦ οἰκέτου τὴν σύνεσιν. ὅπου γὰρ ἤδει τοῦ πατριάρχου τὸ φιλόξενον, καὶ ὅτι τὴν κόρην τὴν ἐκεῖ μέλλουσαν ἀπαντᾶσθαι, ὁμοήθειαν εἶναι πρὸς τὸν δικαίῳ, οὐδὲν ἕτερον τεκμήριον ἐπιζητεῖ, ἀλλ' [ἢ] ἀπὸ τῆς γνώμης τὴν φιλοξενίαν χαρακτηρίσας βούλεται τῆς κόρης, καί φησιν· ἐὰν ἐμοὶ αἰτήσαντος πρὸς αὐτῆς τὸ ὕδωρ, ἐπικλίνῃ μοι τὴν ὑδρίαν, καὶ μὴ μόνον τὸ αἰτηθὲν ποιήσῃ, ἀλλὰ καὶ τὴν ἀφιλοξενίαν τῆς οἰκείας γνώμης ἐπιδείξηται καὶ εἴπῃ, καὶ ταῖς καμήλοις σου ἐφυδρεύσομαι, ἀρκοῦσαν ἀπόδειξιν πρόσεχε. Ἀφὸ τῆς τοῦ ὕδατος παροχῆς τῆς τῶν ζώων ἐπιεικείας. συνίησον γάρ μοι, ἀγαπητέ, ὅσον ἐπὶ κόρῃ ἀπαλῇ ὑδρευομένῃ μόνον μὴ ἀνύποπτον εἶναι πρὸς τὴν αἴτησιν, ἀλλὰ καὶ καθάπαξ τὴν ὑδρίαν ἀπὸ τῶν ὤμων, καὶ παραχεῖν ἐμφορηθῆναι τῷ ἀποῦντι, καὶ ταῦτα ξένῳ ὄντι καὶ ὑδαμόθεν γνωρίμῳ, καὶ ὑ μόνον τούτῳ, ἀλλὰ καὶ τοῖς καμήλοις ἅπασαις ὑδρεύσασθαι, καὶ δεῖξαι ὅλῃ τὴν γενομένην ἐν τῇ ψυχῇ εὐχαρίστου καὶ τεκμήρια. ἢ οὐκ οἶσθ' ὅτι πολλοὶ καὶ ἄνδρες ὄντες ἀνυπόπτου πολλάκις πρὸς τοὺς τοιούτους αἰτήσεις; καὶ τί λέγω πρὸς ὕδατος" παροχήν; ἐνίοτε δράδας κατέχοντες, καὶ ὑπὸ τῶν πρίονων παραπαλλόμενοι, ὥστε παραχεῖν βραχὺ ἀναπνεῦσαι, ἵνα λύχνον ἀνάψωσιν, οὐδὲ τοῦτο ποιῆσαι ἀνέχονται, καὶ ταῦτα ὑπὸ τοῦ θεοῦ οὐδὲ μίαν ἐλαφρύνοντος, καὶ μυρίοι ὄντες ὁμοῦ μέλ-

λοντες ἀπῆλθεν. ἐνταῦθα ἡ κωμη καὶ κόρη καὶ ὑδρίαν ὅτι τῶν ὤμων φέρουσα, ἅ μόνον οὐκ ἐδυσχέρανε τοῖς τῶν αἰτοῦσιν, ἀλλὰ καὶ ὑπεδαψιλεύεται τῇ αἰτήσει, καὶ τὸ πολὺν πρέχει, καὶ ὅλῃ οἰκείας γνώμης καὶ ταῖς καμήλοις ὑδρεύσασθαι ἐπείγεται. ὁ γὰρ φιλόθεος Θεὸς ὑπεύσας τὰς τοῦ πατριάρχου προσευχάς, ἠπείγετο αὐτῷ προπέμψας ἅπαντα ταῦτα οἰκονόμησε γρηγορῶν, καθάπερ ἠτήσεν ὁ παῖς, ἅτως ἅπαντα εἰς ἔργον ἦλθεν. εἶτα ὅπως εἶδε σχεδὸν τῶν ἔργων τὴν ἐπέρτασιν τῇ εὐχῇ ὁ πατριάρχης, καὶ ἐπέτυχε καθάπερ ἐπεθύμει ἡ κόρης, καὶ εἶδεν αὐτὴ τὴν ὑπερβάλλουσαν παπεινοφροσύνην,

20 Ἔπαυσε γὰρ, φησι, καὶ ἀνεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ὅπι τὸ φρέαρ ἀντλῆσαι, καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις.

Ὅρα τὴν προθυμίαν ὅπιτεταμένην. ὃ γὰρ ἔπαυσε καὶ ἀνεκένωσε τὴν ὑδρείαν καὶ ἔδραμεν ὅπι τὸ φρέαρ, δείκνυσι τῆς κόρης τὴν ἄφατον προθυμίαν, ὅτι ἅτε ὡς ξένη ἀπέφυγε, ἅτε προφάσει τῆς φροντίδος ἀνένδυτε πρὸς τὴν αἴτησιν, ἀλλὰ μὴ πολλῆς ὑπεικείας φησὶ, πίε, κύριε. σπόσοι μοι σὺ ἡλικίᾳ τοιαύτῃ πόση καὶ σωφροσύνης ἦν αὐτῇ ἀκρίβεια, καὶ παπεινοφροσύνης ὑπερβολὴ, καὶ φιλοξενίας ὑπόπασις. πόσῳ πλούτῳ γοῦν οὐκ ἂν εἶπ ταῦτα μειρώτερα; πόσων θησαυρῶν ταῦτα οὐκ ἀν προτιμότερά τις ἡγήσαντο ; τοῦτο ἡ μεγίστη πρόξ, τοῦτο τὰ μύρια ἀγαθὰ, ὁ θησαυρὸς ὁ μηδέποτε δαπανώμενος. ὁρᾶν τοίνυν λοιπὸν ὁ βουλόμενος οἰκέτης σπουδὴν τοῦ Θεοῦ τὴν πρόνοιαν,

21 Κατεμάνθανεν αὐτὴν, φησι, καὶ προσιόντα τοῦ γνῶναι, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ.

Τί ὅτι, κατεμάνθανεν αὐτὴν ; αὐτὰ τὰ ῥήματα τῆς κόρης προεσκόπει, κατενόει ὁ βλέμμα, τὴν βάδισιν, ὁ σχῆμα, τὰ ἄλλα ἅπαντα, καὶ ἀνέμενεν ἰδεῖν, εἰ εὐώδωσε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. τὰ μὲν γὰρ ἤδη γεγυμνάσθαι, φησὶ, πολλῶν δείκνυσι τῆς κόρης καὶ ὑπερβάλλουσαν τὴν ἀρετήν. δι' ὃ καὶ ἀμεμβόμβους αὐτὴν τῆς ὑπακοῆς καὶ τῆς τοῦ ὕδατος παροχῆς, προεπήνουν αὐτῇ σκώπια χρυσᾶ καὶ δύο ψέλλια, καὶ προειργάζετο μὴ ἀκριβείας τὰ κατ' αὐτὴν,

23 Καὶ ἠρώτα, τίνος θυγάτηρ εἶ; καὶ εἴ ἐστι καὶ τῷ πατρί σου τόπος ἡμῖν καταλῦσαι; Σκόπει καὶ σὺ ταῦτα τῆς κόρης τὴν ἀπόκρισιν. καθάπερ γὰρ ὅπι τοῦ ὕδατος οὐ μόνον ὃ αἰτηθὲν παρέσχεν, ἀλλὰ μὴ ὃ πιεῖν αὐτὸν καὶ ταῖς καμήλοις ὑδρεύσατο, ἵνα καὶ σὺ ταῦτα πυθομένου τοῦ παιδὸς, εἴ ἐστι μόνον τόπος, ἀλλὰ τίνος ἐστὶν θυγάτηρ,

24 Φησὶν ἡ κόρη, θυγάτηρ εἰμὶ Βαθουὴλ τοῦ Μελχᾶ, ὃν ἔτεκεν αὐτῷ Ναχώρ.

Λέγει καὶ τὸν πατέρα καὶ τὸν πάππων, ἵνα γνωρίσας σκῆνος προθυμότερος γένηται. ὁρᾶ καὶ σωφροσύνην τῆς παιδός. οὐδὲ τοῦ παιδὸς ἐρωτηθεῖσα ἅ μόνον τοῦτο καταμηνύει, ἀλλὰ καὶ τοῦ παιδὸς τὸν πατέρα. καὶ πυθομένου, εἴ ἐστι τόπος μόνον καταλῦσαι, φησὶν ἅ μόνον τόπος, ἀλλὰ

25 Καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν.

Ταῦτα ἀκούσας ὁ οἰκέτης καὶ θαυμάσας τὴν παῖδα τῆς δαψιλοῦς φιλοξενίας, καὶ μαθὼν ὡς ἅ προὸς ἀγνῶτάς τινας προσφέρεται, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχώρ, ὃς ἀδελφὸς ἦν ἅ πατριάρχου, 26 Εὐδοκήσας, φησὶν, ὁ ἄνθρωπος προσεκύνησε τῷ κυρίῳ.

Ἠθεῖς, φησὶν, *ὅτι τοῖς ἐρημίοις προσῆλθε παιδὸς, προσεκύνησε τῷ κυρίῳ, τὴν εὐχαριστίαν ἀνήνεγκε τῷ δεσπότῃ τῷ θεῷ τὴν προσῆλθε τὸν πατέρα ἐνοικον τοσαύτην καὶ προσῆλθε αὐτὸν ὅτι δεξαμένῳ τὴν κηδεμονίαν, καὶ ὅτω πολὺ μετ' εὐχαλίας αὐτῷ κατευοδώσαντι· 27 Καὶ φησιν, εὐλογητὸς κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ τοῦ κυρίου μου.

Ἐπειδὴ

Επειδὴ εἶδε τῆς παιδὸς τὴν εὐγνωμοσύνην, ⁊ ἔμαθεν ἅπαντα Ζαφὼς πρὸς αὐτῆς, λοιπὸν καὶ αὐτὸς γνωρίζει τῇ κόρῃ, ὅστις ὄντι, καὶ ἀφ' ἧς τῆς βουλήσεως τῆς εἰς τὸν Θεὸν κατάδηλον αὐτῇ ποιῇ, ὅτι οὐκ ἐξ ἀλλοτρείας οἰκίας ὡδηγήσατο, ἀλλὰ καὶ ἀδελφός τοῦ Ναχὼρ ὄντων ὁ τούτου Ἀβραὰμ πατριάρχης. Ταῦτα πυθομένη ἡ παῖς μετὰ πολλῆς τῆς περιχαρείας δραμοῦσα, φησὶν. ὅσα πρὸς δι' ἑκάστου τὰ περὶ αὐτῆς γνωμῶν δείκνυσι τὸ προθύμον τὸ πρὸς τὴν φιλοξενίαν, ἀφ' τοῦ δρόμου, ἀφ' τῶν ῥημάτων, ἀφ' τῆς ὑπεικείας.

28 Ἔδραμε γάρ, φησι, ⁊ ἀπήγγειλεν εἰς Ⓦ οἶκον τῆς μητρὸς αὐτῆς κατὰ ῥήματα ταῦτα. Πάντα ἅπερ ἤκουσε παρὰ τοῦ παιδὸς, ἐγνώρισε τοῖς γονεῦσι.

29 Καὶ ἔδραμέ, φησι, Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ὅπου τὸ πηγάδι. Ὅσα καὶ ὅταν ἀφ' οὗ δρόμου δεικνύωσι τὸν πόθον. 30 Καὶ ἰδὼν τὸν ἄνθρωπον ἑστῶτα ὅπου τῆς πηγῆς μετὰ τῶν καμήλων, εἶπεν αὐτῷ· 31 Δεῦρο εἴσελθε· εὐλογητὸς κύριος. ἵνα τί ἕστηκας ἔξω; ἐγὼ γὰρ ἡτοίμακα τὸν οἶκον καὶ τόπον ταῖς καμήλοις. Ὅσα καὶ ὅταν εὐλογοῦντα Ⓦ κύριον ὅπου τῇ παρουσίᾳ τοῦ ξένου, καὶ πρὸς τὰ ἀφ' ὧν ἔργων φιλοξενίας πολλῷ τῷ προθύμῳ ὑπεδείκνυτο. Δεῦρο, φησιν, εἴσελθε· προλαβὼν ἡτοίμασα τὸν οἶκον καὶ τόπον ταῖς καμήλοις. 32 Εἶτα εἰσελθόντος αὐτοῦ, φησιν, ἀπέταξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ. Ὅσα πρὸς ⁊ ἐπὶ τῆς πλάνης ἐθάμβησαν πρὸς τὴν φιλοξενίαν ἦσαν πολλῷ τῷ καταυδῶ ὑπιδεικνύμενοι. καὶ ἔδωκε νίψασθαι τοῖς ποσὶν αὐτοῦ,

Καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ. 33 Καὶ παρέθηκεν αὐτοῖς ἄρτον φαγεῖν. Ἀλλ' οὐ ταῦτα σκέπει μοι τὰ οἰκέτα τοῦ πολλῷ Ζωέσιν. Τί γάρ φησιν;

Οὐ μὴ φάγω, ἕως τοῦ λαλήσαι με τὰ ῥήματά μου. Ὑμεῖς μοῦ, φησι, ἐπεδείξασθε τὰ πρὸς ἑαυτῶν· ἐγὼ γὰρ τὰ θεσπέσιον τῆς ἐμῆς ἀναπαύσεως λόγον ἵνα ποιήσωμαι, μέχρις οὗ τοῦ αἰτίου ὑμᾶς διδάξω, δι' οὗ ἐσχήκαμεν τὴν τοσαύτην ὁδὸν, καὶ ὅλως ἕνεκεν ἀπὸ τῆς Χαλδαίας οὐ ταῦτα ἀφήγημαι, καὶ πῶς εἰς τὸν οἶκον Ⓦ ὑμέτερον ὡδηγήθην, ἵνα πάντα μαθόντες ὅτου καὶ ὑμῖς τοῦ οἰκείου βύγνωμοσύνου ὑπιδείξασθε πρὸς Ⓦ ἐμὸν δεσπότην. καὶ ἀρξάμενος διηγεῖσθαι, φησί,

34 Παῖς Ἀβραάμ ἐγώ εἰμι· 35 Κύριος ὁ Θεὸς εὐλόγησε Ⓦ κύριόν μου σφόδρα, καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους, καὶ ἀργύριον ⁊ χρυσίον, καὶ παῖδας καὶ παιδίσκας, ⁊ καμήλους καὶ ὄνους. 36 Καὶ ἔτεκε Σάρρα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτὸν, ⁊ ἔδωκεν αὐτῷ πάντα, ὅσα ἦν αὐτῷ.

Ὅσα πῶς μετ' ἀκριβείας ἅπαντα αὐτοῖς διηγῆται. ἐκείνου εἰμὶ παῖς, φησιν, Ἀβραάμ, οἱ ἴστε. μεμαθήκετε τοίνυν ὅτι τοσαύτης εὐλογίας ἀπήλαυσε πρὸς τοῦ τὰ ἅπαντα δεσπότου, ὡς ἂν πλούτῳ γηραλέῳ αὐτοῦ πολλῷ. εἶτα διδάσκων καὶ τὸν πλοῦτον τὸν θεοσιδῆ, φησὶ, πρόβατα καὶ μόσχους, ἀργύριον ⁊ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους αὐτῷ γεγονέναι. ἀκούετε ⑭ πλούσιοι, ⑭ πλέθρα γῆς τόσα καὶ τόσα καθ' ἑκάστην ἡμέραν ὠνούμενοι, ⁊ λατομὰ καὶ πατητὰς ⁊ οἰκοδομὰς λαμπρὰς οἰκοδομούμενοι, ὁρᾶτε ἐν τίσιν ἐστὶν τὸ δίκαιον ἡ θεοσέβεια. ὕδατος ἀγρὸς, ὕδατος οἰκοδομή, ⁊ ἡ θεοσεβὴς πολυτέλεια· ἀλλὰ πρόβατα καὶ μόσχοι ⁊ κάμηλοι καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι. καὶ ἵνα μάθῃς τῶν οἰκετῶν τὸ πλῆθος πόθεν αὐτῷ ἐγεγόνει, ἐπήγαγε ἑτέρωθι, ὅτι οἰκογενῆς ἀπόντες ἦσαν. ὅτος οὖν ὁ δεσπότης ὁ ἐμὸς ἐν τοσαύτῃ θεοσεβείᾳ γεγενὼς, καὶ πολλῆς ἀπολαύσας τῆς ἄνωθεν ῥοπῆς, ἰδοὺ ἐκ γῆρως ἤλασεν, ἡ Σάρρα γὰρ ἔτεκεν αὐτῷ· τοῦτον ἔχων Ⓦ μονογενῆ, πάντων αὐτὸν κληρονόμον ἤδη κατέστησε. πάντα γὰρ ἔδωκεν αὐτῷ, ὅσα ἦν αὐτῷ. Εἶτα ὅπῃ διηγήσατο τὸν δεσπότην τοῦ θεοφιλοῦς, τὸν Ισαὰκ Ⓦ

τόκον,

τόκην, λέγε λοιπὸν τὰς ἐντολάς, ἃς λαβὼν παρὰ τοῦ δεσπότου * Εἰς τὴν Χαρράν παρεγένετο. 37 Καὶ ὥρκωσέ με, φησὶν, ὁ κύριός μου, λέγων, Οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ισαὰκ, ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ κατοικῶ, 38 Ἀλλ' ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. 39 Καὶ εἶπον τῷ κυρίῳ μου, Μήποτε οὐ βούλεται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, 40 Καὶ εἶπέ μοι, κύριος ὁ Θεὸς, ᾧ εὐηρέστησα ἐνώπιον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ, καὶ εὐοδώσει τὴν ὁδόν σου, καὶ λήψῃ τῷ υἱῷ μου γυναῖκα ἐκ τῆς φυλῆς μου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐὰν μὴ πείθηται ἡ γυνὴ τοῦ μὴ πορευθῆναι μετὰ σοῦ ἐντεῦθεν, 41 Τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου. Ὁ μὲν δεσπότης, φησὶ, ταῦτα ἐντειλάμενος, καὶ ταύταις με ταῖς παρεσυχαῖς ἐφοδεύσας ὅπως ἐξέπεμψεν· ἐγὼ δὲ θαρρήσας τὴν ἐκείνης παρευχαῖς, ἵνα μὴ παρελθόμενον ὅτι τὸ πηγίον, ταῦτα τὰ ῥήματα ἐφθεξάμην, 42 Καὶ εἶπον· κύριε, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδὸν, ἐν ᾗ ἐγὼ πορεύομαι, 43 Ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν ἀνδρῶν τῆς πόλεως ἐξέρχονται ὑδρεύσασθαι ὕδωρ· ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου, 44 Καὶ εἴπῃ μοι, καὶ σὺ πίε, καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνὴ, ἣν ἡτοίμασας τῷ θεράποντί σου Ισαάκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. Ταῦτα μὲν ἐγὼ κατ' ἐμαυτὸν εὐχόμενος τῷ Θεῷ κατεκόπτουσα· ὅπως δὲ τέλος εἴληφε τὰ πρὸ ἐμοῦ ῥήματα, καὶ τὸ θαρρεῖν με εἰς ἔργον ἔρχεται, καὶ τὰ ῥήματα πεφάνται ἐγένετο.

45 Πρὸ τοῦ δὲ συντελέσαι με λαλοῦσαν, ἰδοὺ Ρεβέκκα ἐξεπορεύετο τὴν ὑδρίαν ἔχουσα ἐπὶ τῶν ὤμων αὐτῆς. Εἶπον δὲ αὐτῇ, πότισόν με, 46 Καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν αὐτῆς, καὶ εἶπέ μοι, πίε σὺ, καὶ τοὺς καμήλους σου ποτιῶ.

Καὶ θαυμάσαντος λοιπὸν σιωπῇ τὸ τοῦ Θεοῦ μεγαλεῖον πρᾶγμα, ἐπηρώτων τίνος εἴη θυγάτηρ· ἐκ μαθοῦσα, ἐξ ὧν αὐτὴ μόνον εἶπεν, ὅτι ὁ πρὸς ξένους ἀφικόμενον, ἀλλ' εἰς τὴν οἰκίαν Ναχὼρ τοῦ ἀδελφοῦ τοῦ κυρίου μου, θαρσήσας

47 Περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια, 48 Καὶ εὐδοκήσας προσεκύνησα τῷ κυρίῳ, καὶ εὐλόγησα τὸν Θεὸν τὸν κύριόν μου Ἀβραάμ, ὅτι εὐώδωσέ μοι λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. Ἀλλὰ τὰ μὲν τοῦ Θεοῦ ὅπως σιαφορᾶς οἰκονομήθη. αἱ γὰρ προσευχαὶ ἐλπιλύθησαν καὶ ἠμόμην παρὰ τοῦ δεσπότου μου. ὑμεῖς δὲ λοιπὸν, Εἰ τὸ πρὸς ἑαυτὸν ὑπιδείκνυσθε, 49 Ποιεῖτε ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου. Εἰ δὲ μή, ἀπαγγείλατέ μοι. Ἤδη μοί, φησι, γνωρίσατε, ἵνα εἰδέναι ἔχω ὅ, τι δεῖ με ἀναπρέξασθαι. Εἰ δὲ μήγε, ἵνα ἑτέρωθι τὴν ὁδὸν ποιήσωμαι,

Καὶ ὑπιστρέψω εἰς δεξιὰ, εἰς ἀριστερά.

Εἶπα δὲ ὁ Θεὸς ἐν ὁ τὰ πάντα ἐξουμβρίζων ἀγγέλῳ τῷ τοῦ πατριάρχου προσευχάς, φησι πρὸς αὐτὸν ὁ πατὴρ τῆς κόρης καὶ ὁ ἀδελφός·

50 Παρὰ κυρίου ἐξῆλθε τὸ ῥῆμα τοῦτο. οὐ δυνησόμεθα ἀντειπεῖν καλὸν, ἢ κακόν.

Ἡ δίκαιος σύ, φησι, δείκνυσιν ὅλην τὴν τοῦ Θεοῦ οἰκονομίαν μεμνημένον. μὴ τοίνυν νομίσῃς ἡμᾶς ἀνταποδοῦναι τοῖς τοῦ Θεῷ δόξασιν. οὐδὲ γὰρ οἷόν τε τοῦτο πρὸς ἡμῶν γενέσθαι.

51 Ἰδοὺ ἔχεις τὴν κόρην. λαβὼν ἀπότρεχε, καὶ ἔστω γυνὴ τοῦ υἱοῦ τοῦ κυρίου σου, καθὰ ἐλάλησε κύριος.

Ἔδοξε

Εἶδετε ὅπως ὁ παλαιὸν ἐασσύδαζον γυναῖκας ἀγεδ τοῖς ἑαυτῶν παισὶν, ὅπως μὴ τ χρημάτων ψυχῆς βύλωνται ἐπιζήτουν. μήπου γραμματεῖα; μήπου ζωοθήκη ἢ τἀλλὰ τἀ καταγέλαστα, ἃ νῦν γίνε) ; ἢ αἱ αἱρέσεις σκῆναι αἱ τοῖς γραμματείοις ἐπηγειμέναι, ἐάν ἅπαις, φησὶ, τελευτήσῃ, ἐὰν ὧδε ἢ ὧδε ἢ ὧδε συμβῇ, ἀλλὰ πρὸς ἐκείνοις ὧδέν γιουδτον· ἀλλὰ ὁ μέγιστον ἢ ἀσφαλὲς γραμματεῖον, τῆς χόρης ὁ τόπος. ὕδαμῶ κύμβαλα καὶ χορείαι. καὶ τοῦτο εἶσῃ, ἐπειδὴν τοὺς Ⓦ νυμφίον τὴν κόρην ἴδῃς ἐπαιαχθῆσαν. 52 Ἀκούσας γὰρ ὁ παῖς ταῦτα ὧδε τ πατρὸς καὶ τ ἀδελφοῦ, τοῦ στενύνησι τῷ κυρίῳ ὅπὶ τὴν γλῶ. Ὅρα πῶς καθ' ἕκαστον τ γλωμῴων τῶν δεσπότην τῶν ὅλων τ εὐημερίαν διαφέρει. αὐτὸς γὰρ ἰῶ ὁ πάντα τοῦ ὁδοποιῶν, καὶ χ τὸ ῥῆμα τ παιδαρίου ἄπελθον τοῦ ἀποστείλας ἔμπροσθεν αὐτ τὰ πάντα αὐτῷ ὀξυμβρίζοντα. ἢ λοιπὸν μαθὼν ὡς τέλος αὐτῷ ἢ ἀσσυδαζόμενον ἔχει,

53 Ἐξενέγκας σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμὸν, ἔδωκε τῇ Ρεβέκκᾳ.

Λοιπὸν μὴ πρόῤῥησίας αὐτὴν θεραπεύει, ὡς ἤδη ἐκ τῶν ῥημάτων ἐγκυηθεῖσαν τῷ Ισαὰκ. τιμᾷ γὰρ δώρεις ἢ Ⓦ ἀδελφὸν ἢ τὴν μητέρα. καὶ ὅτε εἰς ἔργον εἶδεν ἐκβᾶσαν τὴν ὧδε τ δεσπότου ἐντολὴν, ὅτι λοιπὸν τῆς οἰκείας ἀναπαύσεως γ.

54 Ἔφαγον γάρ, φησὶ, καὶ ἔπιον, αὐτὸς, καὶ Ⓐ ἄνδρες Ⓐ μετ' αὐτ, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς τῷ θεῷ εἶπεν, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τ κύριόν μου.

Ἐπειδὴ πάντα μοι ὅπως κατευοδώθη, φησὶ, καὶ οὐδὲν ὅτι λοιπὸν ὃ ἐλλεῖπον, ἀλλὰ καὶ ὑμῖν τοῦτο ἀρεστὸν φαίη, ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς Ⓦ κύριόν μου.

55 Εἶπαν δὲ, φησιν, Ⓐ ἀδελφοὶ καὶ ἡ μήτηρ, μεινάτω ἡ παρθένος μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετ' ταῦτα ἀπελεύσεται. 56 Ὁ δὲ εἶπε πρὸς αὐτούς, μὴ κατέχετέ με, καὶ κύριος εὐοδώσει τὴν ὁδόν μου. ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς Ⓦ κύριόν μου. Τίνος ἕνεκεν, φησιν, ἐμποδίζεσθε καὶ βραδύνετε, τὸ Θεῷ ὁσαύτην εὐχερίαν ἐν ἅπασι μοι προσενηνέχθης ; ἀπολύσατέ με, ἵνα ἀπέλθω πρὸς Ⓦ κύριόν μου. 57 Οἱ δὲ, φησιν, εἶπον, καλέσωμεν τὴν παῖδα, καὶ ἐρωτήσωμεν αὐτήν. καὶ ἐκάλεσαν, ἢ εἶπαν αὐτῇ πορεύσῃ μετ' τοῦ ἀνθρώπου; 58 Ἡ δὲ εἶπε, πορεύσομαι. 59 Καὶ ἐξέπεμψαν Ρεβέκκαν τὴν ἀδελφὴν αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ Ⓦ παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ' αὐτ, 60 Καὶ εὐλόγησαν Ρεβέκκαν καὶ εἶπον αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ, γένοῦ εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων.

Ὅρα πῶς καὶ ὅτοι ἀγνοοῦντες σημαίνουσι τὴν χόρην τὰ μέλλοντα ἔσεσθαι, τοῦ Θεοῦ τ βουλὴν αὐτῶν πρὸς τοῦτο κατευοδώσαντος. ἀμφότερα γὰρ αὐτῇ προμυθοῦνται, ὅτι καὶ εἰς χιλιάδας μυριάδων ἔσαι, ἢ ὅτι κληρονομήσει τὸ σπέρμα αὐτῆς τὰς πόλεις τῶν ὑπεναντίων. εἶδες ἀπὸ πάντων δεσποτικὴν σοφίαν τοῦ Θεοῦ τὴν προνοίαν, πῶς καὶ ἀπὸ τῶν ἀπίστων προμυθεῖται τὰ μέλλοντα οἰκονομεῖ ὁ τῶν ἁπάντων δεσπότης.

61 Καὶ ἀναστᾶσαι, φησι, Ρεβέκκα καὶ αἱ ἄβραι αὐτῆς ἐπέβησαν ὅπὶ τὰς καμήλους. Εἶδες οἵαν ἀγε) νύμφην ὁ πατριάρχης, ὑδρευομένην, καὶ τ ὑδρίαν ἐπὶ τ ὤμων φέρουσαν, καὶ νῦν πάλιν ὅπιβᾶσαν ἐπὶ τὰς καμήλους. ὕδαμῶ ἡμίονοι ἀργύρῳ πεζαμπόμπαι ἀν τραχήλους, οὐδὲ οἰκετῶν ἐσμὸς, οὐδὲ ἡ πολλὴ βλακεία ἡ νῦν γινομένη, ἀλλὰ τοσαύτη ἰῶν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς ἢ ὅπὶ τὰς καμήλους αὐτὰς ὅπιβαίνειν, καὶ ὅτως ὁδοιπορεῖν.

Καὶ ἐπορεύθησαν, φησι, μετ' τοῦ ἀνθρώπου. 63 Ὁ δὲ Ισαὰκ ἐξῆλθε διαλεχθῆσαι εἰς τὸ πεδίον πρὸς δείλης· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὰς καμήλους ἐρχομένας.

ναις. Εἰς ὃ πεδίον, φησὶν, ὁ Ἰσαὰκ διατείνων ἐθεάσατο τὰς καμήλους·
64 Ἦρε δὲ Ρεβέκκα ἰδοῦσα τὸν Ἰσαὰκ, κατεπήδησεν ἀπὸ τῆς καμήλου, 65 Καὶ εἶπε τῷ παιδὶ, τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῖν; Ὅρα τῆς κόρης τὴν εὐγλωττίαν. ὅπερ εἰδὲ τὸν Ἰσαὰκ, ἐπενθάνετο τίς εἴη. ἐκ μαθοῦσα ὅτι αὐτός ἐστιν ὁ μέλλων αὐτὴν ἀγαγέσθαι, παρεβάλλετο, φησὶ, τὸ θέατρον, καὶ παρεγυμνώμενος ὁ πᾶς διηγήσατο πρώτα μετ' ἀκριβείας τῷ Ἰσαάκ. ἐν τούτοις σκέπτει μοι, ἀγαπητὲ, πῶς ἅπαντα ταῦτα καὶ περιττὰ ταῦτα καὶ ἀνόητα, ἅπαντα πομπὴ διαβολικὴ, ἅπαντα κύμβαλα ἐκ αὐλοὶ ἐκ χορεῖαι, ἐκ τὰ ματαιοτεχνικὰ ἐκεῖνα συμπόσια, καὶ αἰσχρολογίαι αἱ πάσης ἀκρασίας γέμουσαι, ἀλλὰ πᾶσα σοφία, πᾶσα σεμνότης, πᾶσα ἐπιείκεια. 67 Εἰσῆλθε δὲ, φησὶν, Ἰσαὰκ εἰς τὴν οἴκην τῆς μητρὸς αὐτοῦ, καὶ ἔλαβε τὴν Ρεβέκκαν, καὶ ἐγένετο αὐτῷ γυνὴ, καὶ ἠγάπησεν αὐτὴν, καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάρρας τῆς μητρὸς αὐτοῦ.

ΗΘΙΚΟΝ Ταύτην μιμείσθωσαν αἱ γυναῖκες· τοῦτον ζηλούτωσαν οἱ ἄνδρες· ὅπως καὶ νύμφας ἀγαγέσθαι σπουδαζέτωσαν. Ἵνος γὰρ ἕνεκεν, εἰπέ μοι, ὅλης ἀρχῆς καὶ ἐκ προοιμίων κηλίδων πληρώσαι συγχωρεῖς τῆς κόρης τὰς ἀκοὰς διὰ τῶν αἰσχρῶν ἀσμάτων, διὰ τῆς ἀκαίρου πομπῆς ἐκείνης; οὐκ οἶδα ὅπως ἡ νεότης εὐκόλως πρὸς ὄλισθον; ἵνα καὶ σεμνὰ τὰ γάμου ἐκπομπεύεις μυήσεια; δέον ἅπαντα ταῦτα ἀπελαύνειν, καὶ τὴν αὐδὴν ἐκ προοιμίων ἐκπαιδεύειν τὴν κόρην, καὶ ἱερέας καλεῖν, καὶ δι' εὐχῶν ἐκ βυλημάτων τὴν ὁμόνοιαν τοῦ ζευγνυμένου συσφίγγειν, ἵνα καὶ ὁ πόθος τοῦ νυμφίου αὔξηται, καὶ τῆς κόρης ἡ σωφροσύνη ἐπιτείνηται. καὶ διὰ πρώτων καὶ τῆς ἀρετῆς ἔργα εἰσελθόσηται εἰς τὴν οἰκίαν ἐκείνην, ἐκ πᾶσαν τοῦ διαβόλου αἱ μηχαναὶ ἐκποδὼν ἔσονται, καὶ αὐτοὶ μετ' ἡδονῆς τὸν βίον διάξουσιν, ἕως τῆς τοῦ Θεοῦ ῥοπῆς συγκροτούμενοι, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι ἐκ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 81

## Λογ. μθ. ΑΥΤΑΙ ΔΕ ΑΙ ΓΕΝΕΣΕΙΣ, φησὶν, ΙΣΑΑΚ τοῦ υἱοῦ Ἀβραάμ.

Ἄλλην ὑμῖν ὅπερ τὴν ξενὴν τράπεζαν διαλαγεῖν βούλομαι, καὶ 30 ἐκ τῶν προφητικῶν Μωϋσέως ῥημάτων τὴν ἑστίασιν ὑμῖν παραθεῖναι, μᾶλλον δὲ τῶν τοῦ πνεύματος. οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ Μωϋσῆς ταῦτα ἡμῖν ἐξέθετο, ἀλλ' ὑπὸ τοῦ ἁγίου πνεύματος συνεχόμενος. ἰδωμεν οὖν τί καὶ σήμερον ἡμᾶς διδάξαι βούλεται. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τὸν βίβλον ἡμῖν τῶν διηγημάτων ἐκτίθεται, ἀλλ' ἵνα ζηλώσωμεν τὰ τῶν τοῦ ἀρετῆς, καὶ μιμηταὶ γενώμεθα τῶν ἐκείνων κατορθωμάτων. ὅπερ γὰρ ἡμῖν καὶ τῷ πατριάρχῃ ἀκριβῶς διηγησάμενος, καὶ τελευταῖον αὐτοῦ ἆθλον τὸ περὶ τὴν τοῦ μονογενοῦς σφαγὴν, διδάξας ἡμᾶς πῶς δεῖ τῷ Θεῷ αὐτὸν καλλιέρημα, εἰ καὶ μὴ αὐτῷ ἔργῳ, ἀλλὰ τῇ προθυμίᾳ εἰργάσατο, τέλος ἐπέθηκεν ἐκείνοις τοῖς διηγήμασι, νῦν ἡμῖν ἐκπέφηνε καὶ τὸν τοῦ Ἰσαὰκ, τὸ σφαγέντα καὶ μὴ 40
Βλ. κε'. σφαγέντα. αἰνίττεται γὰρ ἔοικε τὸ γεγενός. ἄκουσον γὰρ Παύλου λέγοντος, Πίστει προσενήνοχε τὸν Ἰσαὰκ Ἀβραὰμ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. εἶτα ἵνα μάθωμεν ἀκριβῶς πῶς πίστει ταῦτα πάντα διεπράττετο, καὶ σαφῶς

πὰ τῇ ὑποθέσει ὁρῶν τὰ ὑπ' αὐτῆ γιγνόμενα ὐκ ἐταράττετο, φησιν, ὅθεν αὐτ' ἡ ἐν Βαβυλῶνι ἐκομίσατο. τί ὅτιν, ἐν Βαβυλῶνι κομίσατο; ὅπερ γὰρ αὐτ' εἰς ψυσίαν ἀνήνεγκε ἡ ἀπηρτισμένῳ τῷ γνώμῳ ἐπεδείξατο, αὐτὸς γε τ' σφαγὴν ἀνεδήσατο, ἡ Ⓦ παῖδα λαβὼν ἐπῆλθεν, ἡ ἡ ψυσία ὀφὰ πεφοράτο ἐπληρώθη, ἡ ἐδείκνυ ὀφὰ πάντων ὁ τῶν ὅλων Θεὸς τῆς οἰκείας φιλανθρωπίας τῷ Ἀβραὰμ, ἡ ὅτι ὐ σφαγὴν τ' Ἰσαὰκ βουλόμενος τοῦτο ἐπέταττεν, ἀλλὰ τὸ δικαίου γυμνάζων τ' Ἀβραὰμ. ἀλλ' ὥσπερ ἐλέγομεν τὸ πατριάρχου τῷ ἀρετῷ ὀφὰ πάντων λάμπουσαν, φέρε δὴ καὶ τ' Ἰσαὰκ σήμερον εἰς μέσον πεφηνότες, ἴδωμεν ὅπως δὴ αὐτὸς ὁ φιλάθλου αὐτῆ τῆς γνώμης ὀφὰ πάντων ὑπεδείκνυτο. ἄξιον γὰρ δὴ αὐτῶν ἐπαινέσαι τῶν τῆς γραφῆς ῥημάτων. 19 Αὗται αἱ γενέσεις Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τ' Ἰσαάκ. 20 Ἦν δὲ Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας, ἀδελφὴν δὲ Λάβαν, ἑαυτῷ εἰς γυναῖκα. ξζ. κε.

Σκόπει μοι, ἀγαπητέ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως οὐδὲν περίεργως ἴδῃσι. τίνος γὰρ ἕνεκεν ἡμῖν Ⓦ χρόνου τοῦ Ἰσαὰκ ὑπομιμνήσκεται, καὶ φησιν, ὡς ἦν Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε τὴν Ῥεβέκκαν; ἆρ' ἁπλῶς, οὐδὲ εἰκῇ. ἀλλ' ὅπερ μέλλει μετὰ ταῦτα τῆς Ῥεβέκκας ἡμῖν διηγεῖσθαι τ' χείρωσιν, καὶ ὅτι ἐξ ὠδῖνος τὸ δικαίου ἐκ τῆς παιδοποιΐας αὐτῇ γέγονε, βούλεται διδάξαι ἡμᾶς ὁ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαάκ, καὶ σημῆναι τ' χρόνον ἀκριβῶς, ὅσον ἐν ἀπαιδίᾳ γέγονεν ἵνα καὶ ἡμεῖς ζηλωτῶμεν τ' δίκαιον, οὕτω πεσεδρεύωμεν ταῖς πρὸς Ⓦ Θεὸν ἱκεσίαις, ἐπειδὴ αἰτῶμέν τι παρ' αὐτοῦ. Εἰ γὰρ ὁ δίκαιος ἐξ ὑπάρετος ὤν, ἐκ τοσαύτης ὠδῖνος ἀπολαύων πρὸς τὸν Θεὸν, τοσαύτην ἐπεδείκνυτο ἀσυλίαν καὶ ὑπόνοιαν, Ⓦ Θεὸν διϊσχυρῶς πρὸς καλῶν ὥστε λῦσαι τῆς Ῥεβέκκας τὴν χείρωσιν, τί δὴ εἰποιμεν ἡμεῖς ⓐ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ὑπὸ χείμενα, καὶ μηδὲ ὁ πολλοστὸν τοῦ δικαίου τούτου μέρος ὑπεδεικνύμενοι, ἀλλὰ καὶ πρὸς ὀλίγην ἀσυλίαν τινὰ ὑπιδειξώμεθα, ναρκῶντες καὶ ἀποπηδῶντές [ἐσμεν], Εἰ μὴ θᾶττον Εἰσακουσθείημεν; ὀφὰ τοῦτο, πρὸς καλῶ, ἐκ τῶν τῷ δικαίῳ τούτῳ συμβαίνων παιδευόμενοι, μηδέποτε παυώμεθα Ⓦ Θεὸν πρὸς καλούμενοι χάρ τ' συγχωρήσεως τ' οἰκείων πλημμελημάτων, ἀλλὰ θερμὴν καὶ ζέουσαν πεφυμίαν ὑπιδεικνυώμεθα, καὶ μὴ ἀκαλῶμεν, μηδὲ ὀκνηρότεροι γινώμεθα, Εἰ μὴ θᾶττον Εἰσακουσθείημεν. ἴσως γὰρ, ἴσως σοφιζόμενος ἡμῶν τὴν διϊσχυρὰν πεσεδρίαν ὁ δεσπότης, ὀφαναβάλλεται, βουλόμενος καὶ τῆς ὑπομονῆς ἡμᾶς κοινωνοὺς ποιῆσαι Ⓦ μαθόν, καὶ Ⓦ χαρὰν Εἰδῶς, καθ' ἣν λυσιτελές ὅτιν ἡμῖν τῶν ἀσυδαζομένων ὑπιτυχεῖν. οὐδὲ γὰρ ὅπως ἡμεῖς ἴσμεν τὸ συμφέρον ἑαυτοῖς, ὡς αὐτὸς ἀκριβῶς ὑπίσταται, ὁ τὰ ἀπόῤῥητα τῆς ὀφανοίας ἐκείνου ὑπισάμενος. διὸ ὁ πεσήκει μηδὲν πανεργάζεσθαι καὶ πολυπραγμονεῖν τῶν πρὸς τὸ Θεῖ γνωμῶν, ἀλλὰ πολλῷ τῷ ὐγνωμοσυνίῳ ὑπιδείκνυσθαι, καὶ θαυμάζειν τῶν δικαίων τὰς ἀρετάς. ὅπερ δὴ οἶνον εἶπεν ἡμῖν ἡ θεία γραφὴ, ὅσον ἐπὶ τοῖς ὠδῖνος τοῦ Ἰσαάκ, λέγουσα καὶ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. θέα μοι τὸ δικαίου τὸ φιλάθλου. ἐπειδὴ γὰρ εἶδε χωλυόυσαν τὴν φύσιν, ὅτι Ⓦ τῆς φύσεως δημιουργὸν ἑώρακε, καὶ τὰ δεσμὰ τῆς φύσεως ὀφ' ὧν τῆς ὠδῖνος λύειν ὑπείληπτο.

21 Ἐδέετο γὰρ, φησιν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. Ἐν τούτῳ πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν (ἐπεὶ τοιούτου βίου ἦν θαυμαστοῦ καὶ αὐτὴ, καὶ ὁ πὴρ αὐτῆς, καὶ πολλῆς τῆς θεοσεβείας ἀμφότεροι ἐπεμελοῦντο, καὶ οὐκ ἔλαττον ὑπολαβέσθαι αὐτῶν τῆς ζωῆς, καὶ εἰπεῖν ὅτι τῶν ἁμαρτιῶν ἦν ἔργον) εἶχε τοῦτο ἡ στεῖρα. καὶ ἵνα μαθῇς τὸ θαυμαστὸν, ὅτι οὐκ αὐτὴ μόνον στεῖρα ἦν,

ιῶ, ἀλλὰ καὶ ἡ μήτηρ τῶ δικαίω ἡ Σάρρα· καὶ οὐχ ἡ μήτηρ ὃ αὐτῶ μόνον, ἀλλὰ καὶ ἡ νύμφη, τῶ Ιακὼβ ἡ γυνὴ ἡ Ῥαχήλ· λέγω τί βούλεται τῶν χειρῶν τούτων ὁ χρεός. πάντες δίκαιοι, πάντες εὐάρετοι, πάντες ὑπὸ Θεοῦ μαρτυρούμενοι. ταῦτ' γὰρ αὐτῶν ἔλεγεν, Εξ. γ. ς. Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ισαὰκ καὶ ὁ Θεὸς Ιακώβ. καὶ ὁ μακάριος ὁ Παῦ- Εξ. β. ια. λος φησι, Διὸ οὐκ ἐπαισχύνεται ὁ Θεὸς, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν. πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ γραφῇ, πολλοὶ ⓐ ἔπαινοι ἐν τῇ παλαιᾷ, πόθεν ἄρα λαμπροὶ καὶ ἐπίσημοι, καὶ πάντες χεῖρας ἔχον γυναῖκας, καὶ ἐν ἀπαιδίᾳ ἦσαν μέχρι πολλῶ τοῦ χρόνου. ὅταν οὖν ἴδῃς ἀνδρα καὶ γυναῖκα ἐν ἀρετῇ ζῶντας, καὶ ἐν ἀπαιδίᾳ τυγχάνοντας, ὅταν ἴδῃς θεοσεβεῖς ὄντας, καὶ βλαβείας ἐπιμελομένους, ἀπαιδίας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι ἔργα. πολλοὶ γὰρ τοῦ Θεοῦ τὴς οἰκονομίας ⓐ λόγοι καὶ ἡμῖν ἀπόρρητοι, καὶ ὑπὲρ πάντων ἀνθρώπειν δεῖ, καὶ μόνας σκαίνας ταλανίζειν οὐκ ἐν κακίᾳ ζώντας, ἀλλ' οὐ παιδία μὴ κεκτημένους. πολλὰ γὰρ πολλάκις ὁ Θεὸς συμφερόντως οἰκονομεῖ, ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γεγονότων οὐκ ἴσμεν. διὰ τοῦτο πόθεν θαυμάζειν αὐτοῦ τὴν σοφίαν χρὴ, καὶ δοξάζειν αὐτοῦ τὴν φιλανθρωπίαν τὴν ἄφατον. ἀλλὰ ταῦτα μὲν πρὸς ὠφέλειαν ἡμῖν εἴρηται τὴν ὑμετέραν, ὥστε πολλὴν τὴν ἀνωμοζωίαν ἐπιδείκνυσθαι, καὶ μὴ περιεργάζεσθαι τοῦ Θεοῦ τὰς οἰκονομίας· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ἦσαν στεῖραι αἱ γυναῖκες. τίς οὖν ἐστιν ἡ αἰτία; ἵνα ὅταν ἴδῃς τὴν παρθένον πίκτουσαν ⓜ κοινὸν ἡμῶν δεσπότην, μὴ ἀπιστήσῃς. γύμνασόν σε ἐν ταύτῃ τὴν ἀρχαιοπαθείᾳ, φησὶν, ἐν τῇ μήτρᾳ τῶν στειρῶν, ἵν' ὅταν ἴδῃς πεπληρωμένην καὶ δεδεμένην μήτραν, πρὸς παιδοποιΐαν ἀνοιγομένην οὐκ ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκμάζον ὅπου παρθένος ἔτεκε. μᾶλλον δὲ θαύμασον καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. ὅταν οὖν λέγῃ πρὸς σὲ ὁ Ιουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτὸν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; δύο γὰρ κωλύματα τότε ἦν, τό, τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄλγεινον τῆς φύσεως· ὅτι δὲ τῆς παρθένου ἐν κώλυμα ἦν, τὸ μὴ μεταλαβεῖν αὐτὴν γάμου. πρὸς οὖν τοιοῦτοις τὴν παρθένον ἡ στεῖρα. καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο στεῖραι πρὸ ἐλάβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον ἀπὸ τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς τὴν παρθένον εἰρημένων. Luk. 1. ὅπερ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, Συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ιησοῦν, ὀξεπλάγη καὶ ἐθαύμασε καὶ εἶπε, πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; τί οὖν ὁ ἄγγελος; πνεῦμα ἅγιον ἐπελεύσεταί σοι, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. μὴ ζήτει, φησὶ, φύσεως ἀκολουθίαν, ὅταν ὑπὲρ φύσιν ᾖ τὰ γινόμενα. μὴ πρόβλεπε γάμων ὠδῖνας, ὅταν μεῖζον γάμου τῆς ἑνώσεως ὁ τρόπος ᾖ. καὶ πῶς ἔσται τοῦτο, φησὶν, ἐπεὶ ἄνδρα οὐ γινώσκω; ἐγὼ μὲν διὰ τοῦτο ἔσται, ὅτι ἄνδρα οὐ γινώσκεις. εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ μυστικῇ ταύτῃ. ὥστε διὰ τοῦτο ἀπιστεῖς, διὰ αὐτὸ πίστευε. οὐκ ὄντως κακὸν ὁ γάμος, ἀλλ' ὄντως κρεῖττων ἡ παρθενία· τὴν γὰρ τοῦ κοινοῦ πόνων δεσπότην εἰσοδον σεμνοτέραν ἐργάζῃ εἶναι τῆς ἡμετέρας. βασιλικὴ γὰρ ἦν ἡ εἴσοδος. ἔδει κοινωνὸν ἡμῖν τῆς γλυκύτητος, καὶ ὑπερβαλλόντως τῆς ἡμετέρας. καὶ ἀμφότερα ταῦτα γέγονε, καὶ ὅπως ἄκουε. ὃ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι κοινὸν πρὸς ἡμᾶς· ὃ δὲ χωρεῖς γάμου γενέσθαι μεῖζον, ἢ καθ' ἡμᾶς. καὶ ὃ μὲν ἐν γαστρὶ σχεῖν σε, τῆς φύσεως τῆς ἀνθρωπείας· ὃ δὲ χωρεῖς μίξεως γενέσθαι τὴν κύησιν, σεμνοτέραν τῆς ἀνθρωπίνης φύσεως, ἵνα καὶ τὴν ὑπερβολὴν καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς. καὶ σκόπει τὴν σοφίαν τοῦ γινομένου. ὅτε ἡ ὑπερβολὴ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν καὶ συγγένειαν ἐλυμαίνατο, ὅτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπερβολὴν ἡμαύρωσεν, ἀλλ' ἑκάτερα ἐδείκνυτο διὰ τῶν πραγμάτων, καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα,

τεχα, ἀ' ὃ ἀπλαγμένα τοῖς ἡμᾶς. ἀλλ', ὅπερ ἔλεγον, διὰ τοῦτο αἱ γεῖρες αὗται, ἵνα πιστευθῇ τῆς παρθένου ὁ ὄγκος, ἵνα αὐτὴ χειραγωγηθῇ τοῖς τὸν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς εὐσεβείας. ἄκουσον γὰρ τί φησιν ὁ ἄγγελος τοῖς αὐτοῦ· πνεῦμα ἅγιον ἐπελεύσεταί σοι, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. ὅτω, φησίν, ἔχεις τεκεῖν, καὶ τῆς ἐνεργείας τοῦ πνεύματος ὁ παῖς ἔσται. μὴ οὖν βλέπε τοῖς τοῦ γάμου, ἀπὸ τῶν ἔργων καὶ ἡ ἐνέργεια ἔρχεται. τὸ πνεύματος ὅτι χάρις ὁ νομόθετον. μὴ ζήτει φύσεως ἀκολουθίαν, μὴ κτῆ νόμος καὶ γάμου. ἀλλ' ὅπερ μείζονα τούτων ἰδοὺ ἐκείνης τὰ ῥήματα, βούλεται καὶ ἑτέρωθεν αὐτῇ τὸ θαρρεῖν ἀποδείξαι. σὺ δέ μοι σκόπει, ἀγαπητέ, πῶς ἡ γεῖρα αὐτοῦ χειραγωγῇ τοῖς τὸν πίστιν τοῦ τόκου. ὅπερ γὰρ ἡ προτέρα ἀπόδειξις μείζων ἰδοὺ τῆς διανοίας τῆς πρώτης, ἄκουσον πῶς ὁ ὅπι τὰ ταπεινότερα κατήγαγε λόγον, διὰ τῶν αἰσθητῶν αὐτοῦ χειραγωγῶν. καὶ ἰδού, φησιν, Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς. καὶ οὗτος μιοῦ ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ γείρα. διὰ τοῦ παρθένου πρώτως προσήγαγε διὰ τοῦ γείρων. ἐπεὶ τίνος ἕνεκεν προσήγαγεν αὐτῇ τὸ ὄγκον τῆς συγγενοῦς, καὶ τίνος ἕνεκεν ἔλεγε τῇ καλουμένῃ γείρα; διὰ πρώτων χειραγωγῶν αὐτοῦ πρὸς τὸ πιστεῦσαι τοῖς εὐαγγελισμῷ. διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τοῦ πήρωσιν τῆς φύσεως. διὰ τοῦτο καὶ χρόνον ἀνέμεινε τῆς κυήσεως. ὁ γὰρ δὴ ἀρχῆς καὶ ἐκ προοιμίων αὐτῇ βοήθειαν ἐπηγγείλατο, ἀλλ' ἑξαμηνιαίᾳ διελθόντος χρόνου, ἵνα ὁ τῆς μητρὸς ὄγκος τὴν κύησιν ἐπιδείξηται σαφῆ τοῖς ἀποδείξει τοῦ διαφόρου τῆς συλλήψεως. καὶ διὰ μοι τοῦ Γαβριὴλ τοῦ ἰσχύσιν. οὐκ ἀνέμεινεν αὐτοῦ τῆς Σάρρας, οὐδὲ τῆς Ρεβέκκας, οὐδὲ τῆς Ραχήλ. τίνος ἕνεκεν καὶ διὰ τί; καὶ αὗται γὰρ γείρεσαι ἦσαν, καὶ γεγηρακυῖαι, καὶ πολὺ καὶ ἐν αὐταῖς ὁ θαῦμα ἰδοῦ. ἀλλ' ὅπερ πρώτα τοῦτα παλαιὰ ἰδοὺ τὰ δικαιώματα, ὅτι τὸ προέφαπτον αὐτοῦ ἄτει, ἵνα διαναπήσῃ αὐτῆς τὸ διάνοιαν. ἀλλ' ἀναγκαῖον ὅτι ὁ προκείμενον τὸ λόγον ἀναλαβεῖν, καὶ γνωρίσαι τὸ δικαίᾳ τοῦτο τὸ ἀρετοῦ, ὅπως διὰ τῆς βύλης τοῦ γείρωσιν τῆς Ρεβέκκας ἔλυσε, καὶ τῶν δεσμῶν τῆς φύσεως πεισθῆναι. ἐδέετο γὰρ, φησιν, Ισαὰκ περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ ὅτι γείρα ἦν, Καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός. Μὴ ὅπερ βούλεσθαι οὕτω γέγραπται, νομίσῃς καὶ διάζευγμα αὐτὸν τετυχηκέναι τῶν ἀσυνδιάζομένων. καὶ γὰρ κ' ἐτῶν ἀριθμὸν διέμενε δεόμενος ὁ διάκαλων Θεόν, καὶ ὅτε ἐπέτυχε τοῦ πεθυμοῦντος. καὶ πόθεν εἰδόμεθα τοῦτο; ἐὰν μὴ ἀκριβείας ἐπιμελώμεθα καὶ ἐν τῇ θεία γραφῇ κείμενα. οὐδὲ γὰρ χρόνον ἡμᾶς ἀπέκρυψεν, ἀλλ' ἐσήμανε μὲν, λανθανόντως δέ, ὥστε διεγείραι ἡμῶν τὸν προθυμίαν, καὶ πρὸς ζήτησιν παρορμῆσαι. ὥσπερ γὰρ ἐδίδαξεν ἡμᾶς τῶν ἐτῶν τὸν ἀριθμὸν ὅσον ἰδοῦ, ἰδοὺ ἑκατὸν τὸν Ρεβέκκαν ἠγάγετο, ὅτω δὲ τοῦτο ἡμῖν δῆλον καθίστησιν. ἰδοὺ γὰρ, φησιν, Ισαὰκ ἐτῶν μ', ἰδοὺ ἔλαβε Ρεβέκκαν τὸν θυγατέρα Βαθουὴλ τοῦ Σύρου. ἔμαθες ἀκριβῶς τὸν χρόνον. εἶτα εἰπὼν ὅτι ἐδέετο Ισαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ ὅτι γείρα ἦν, ἵνα μάθωμεν τῶν ἐτῶν τὸν ἀριθμὸν, σημαίνει ἡμῖν πόσων ἐτῶν ἦν ὁ Ισαὰκ, ἰδοὺ ἐτέθησαν αὐτῷ δ παῖδες διὰ τῆς Ρεβέκκας.

26 Ἦν δὲ Ισαὰκ, φησιν, ἐτῶν ξ', ἰδοὺ ἔτεκε Ρεβέκκα.

Εἰ οὖν μί ἐτῶν ἦν ὅτε ἠγάγετο αὐτοῦ, ξ' δ' ἐτῶν ὅτε ἔτεκεν ἡ γυνή, δηλονότι ὁ τοῖς κ' ἔτεσι δεόμενος τοῦ Θεοῦ διέμενεν, καὶ ὅτω τοῦ πήρωσιν τῆς μήτρας τῆς Ρεβέκκας εἰς παιδοποιΐαν διήρρεν.

Ἰδοὺ βύλης δύναμιν, πῶς καὶ αὐτῆς προελθεῖν τῆς φύσεως ἴσχυσε. Τοῦτον καὶ ἡμεῖς πρώτες μιμησώμεθα, καὶ ὅτω ταῖς βύλαις προσευξώμεθα μὴ νικώσης ψυχῆς, μὴ κατεπαλαιούσης διανοίας· καὶ ἀκούσωμεν Παύλου θαυμοιωτος καὶ λέγοντος, Ἐπαίσχυντες ὁσίως ΗΘΙΚΟΝ α. Τιμ. β. ι.

ὁσίους χεῖρας χωρεὶς ὀργῆς καὶ διαλογισμοῦ, καὶ ἀσυνδιάσωμεν πάντοτε μὲν ἀπηλλάχθαι τῆς ἀγάπης καὶ ἐν γαλήνῃ ἔχειν τὸν λογισμόν, μάλιστα δὲ κατὰ τὸν καιρὸν τῆς θύρας, ὅτε πολλῆς ἡμῖν χρεία τῆς πρὸς τὸν Θεὸν φιλοσοφίας. ἐὰν γὰρ ἴδῃ κατ' αὐτὸν κειμένους νόμους τούτοις ἡμᾶς πειθομένους, παρέξει ἡμῖν τὴν πρὸς ἑαυτὸν δωρεὰν χαρίζεται τὴν φιλοτιμίαν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λογ. ν. ΕΝ ΓΑΣΤΡΙ ΔΕ ΕΛΑΒΕΝ Η ΡΕΒΕΚΚΑ, ΚΑΙ ἐσκίρτων τὰ παιδία, φησὶν, ἐν αὐτῇ.

ΒΟύλεσθε σήμερον τὰ λείψανα τῶν δικαίων ἡμῖν εἰρημένων ἀποδῶμεν ὑμῖν τῇ ἀγάπῃ; οὐδὲ γὰρ ἅπασαν τὴν ὑπόθεσιν εἰς τέλος ἀγαγεῖν ἡδυνήθημεν· ἀλλ' ὅτι διὰ τῆς οἰκείας θύρας καὶ τῆς πολλῆς εὐσεβείας ἴσχυσεν ὁ Ἰσαὰκ τὴν μητέρα τῆς Ρεβέκκας πρὸς παιδοποιΐαν διεγεῖραι, καὶ τὴν φύσιν αὐτὴν πεπηρωμένην, ὡς εἶπεῖν, διανοῖξαι, ταῦτα ἅπαντα διὰ τοῦτο ἰσχυρῶς ὑμᾶς ἐδιδάξαμεν. δείξαντες * τῷ ἐπὶ τὸν ἀριθμὸν, ὃν δὲ ὁμιλος καὶ ἱκετεύων τὸν Θεὸν διετέλεσεν· ὅθεν τοῦτο ὁ μακάριος ἐκεῖνος, καὶ εἰς τὰς τῶν εἰρωνῶν λόγους ἐξελθόντες, καὶ τὴν ἀρτίδυμον ὑμῖν εἰπόντες, δι' ὧν αἱ τῶν δικαίων ἐκείνων γαμεταὶ στεῖραι γεγόνασιν, ἐπαγαθὰ κατελύσαμεν τὸν λόγον. δεῖ δὲ σήμερον ἡμᾶς μαθεῖν καὶ τῆς Ρεβέκκας τὸ φιλόθεον, ἵνα μὴ μόνον ἀπὸ τῆς τοῦ δικαίου ἀρετῆς κερδάνωμεν, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τὴν Ρεβέκκαν διηγήσεως εἰς ζῆλον διεγερθῶμεν τοῦ ἀκούοντας. ὅτε γὰρ ἤκουσεν ὁ Θεὸς τῆς τοῦ δικαίου προσευχῆς,

22 Καὶ ἐν γαστρὶ ἔλαβεν ἡ Ρεβέκκα, ἐσκίρτων, φησὶ, τὰ παιδία ἐν αὐτῇ, Καὶ πολλὴν αὐτῇ πόνον αἱ ὠδῖνες παρεῖχον. Εἶπε γάρ, φησιν, Εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο;

Οὐδὲ γὰρ εἰς ἓν ὁ μέλλων γίνεσθαι, ἀλλὰ δύο κατ' αὐτὰ ἐν τῇ γαστρὶ παιδία περιέφερε, καὶ ἡ γενοπαθεία πολλὴν αὐτῇ τὴν ὀδύνην κατεσκεύαζεν. ἀλλ' ὅθεν μοι ἐντεῦθεν τῆς γυναικὸς τὸ φιλόθεον. ἐγώ, καθάπερ πολλαῖς τῶν νῦν γυναιξὶν τῶν ῥᾳθύμως ζώσῃ βλασφημίαις ἐγκατακάπτονται, ὅτι δὴ θεοπάλιν ἵνα συμμαχίαν ἔδραμεν, οὐδὲ πρὸς τοῦτο καὶ τοιαῦτα σοφισμοῖς ἴσως καὶ παραπηρήσεσι διὰ τῶν οἰκείων λογισμῶν κρίνειν βλασφημίας, οὐδὲ τῇ ἀπάτῃ τῶν πεπραγμένων καὶ τὰ κατὰ τὴν δυσθεσπέσιον φύσιν ἐπαγγέλλεσθαι βλασφημιῶν ἑαυτὴν ὑπέδωκεν, ἀλλ' ὅτι Ἐπορεύθη πυθέσθαι παρὰ κυρίου. Ὅσα γυναικὸς ζώσης. ὅτε εἶδεν ὅτι ὁ τῆς φύσεως δεσπότης ἴσως ὁ τὴν μήτραν αὐτῆς διανοίξας, καὶ τὴν ἄγονον γαστέρα ἀθέσμου ὥσπερ γόνιμον ἀπεργασάμενος, καὶ ἐώσης τῆς γαστρὸς τὸν ὄγκον μεγάλα ἵνα αὐτῇ ἐπιγωμένον, ἐπορεύθη, φησὶ, πυθέσθαι παρὰ κυρίου. τί ἐστιν, ἐπορεύθη πυθέσθαι παρὰ κυρίου; ἔδραμεν ὅτι τὴν ἀληθῆ γνῶσιν, καὶ ὅτι τὸν ἱερέα τὸν τοῦ θείου θεραπευτὴν, ἀπούσασα διὰ τούτων λαθεῖν τοὺς μαθεῖν τὴν γνῶσιν, καὶ διηγησαμένη πάντα τὰ καθ' ἑαυτὴν, ἐμάθανεν ἅπαντα μετ' ἀκριβείας, τὸ φιλόθεον θεοῦ Θεοῦ διὰ τῆς τοῦ ἱερέως γλώττης ἐκκαλύπτοντος αὐτῇ ἅπαντα σαφῶς, καὶ ταύτῃ προθυμοτέραν αὐτὴν ἐργαζομένου. καὶ ἵνα μάθῃς ὅσον ἴσως ὅτε τῶν ἱερέων τὸ ἀξίωμα, θαυμοῦ φησιν, ὅτι ὁ ἱερεὺς ταῦτα ἀπεκρίνατο. ἀλλ' ὅτε εἶπεν, ἐπορεύθη πυθέσθαι παρὰ κυρίου, ἐπῆγε,

Καὶ

23 Καὶ εἶπε κύριος αὐτῇ ἀγὼ τῆ ἱερέως, δύο ἔθνη ἐν τῇ γαστρί σου εἰσίν.
Καὶ γὰρ ἡ ἑτέρωθι ἀγίασθαι καλῶ ἱερέα ἡ θεία γραφή, δεικνῦσα ὅτι σκάνδαλα φθέγγεται ἄφωνα σιγήσει ἡ τοῦ πνεύματος χάρις. Εἶπεν οὖν κύριος αὐτῇ ἀγὼ τῆ ἱερέως,
Δύο ἔθνη ἐν τῇ γαστρί σου ἐστί, καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου ἀφορισθήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάττονι. Ὅσα προεῤῥήσεις ἀπόρρητα σαφῶς αὐτῇ μηνύων τὰ μέλλοντα γνήσεται. ἀλλόφυλοι γὰρ οἱ παῖδες ἐν τῇ γαστρὶ καὶ σκιρτῶντες, ἤδη προανεφώνουν ἄπορρητα μετ' ἀκριβείας. καὶ λοιπὸν ἐμεμάθηκεν ἡ γυνή, ὅτι οὐ δύο μόνοι τέξεται παῖδας, ἀλλ' ὅτι καὶ εἰς ἔθνη ὅλα σχισθήσονται, καὶ ὅτι ὁ ἐλάσσων κυριεύσει τοῦ μείζονος. 24 Καὶ ὅτε, φησὶν, ἤγγισεν ὁ καιρὸς τοῦ τόκου, 25 Ἐξῆλθεν ὁ πρωτότοκος πυῤῥάκης, ὡσεὶ δορὰ δασύς, 26 Καὶ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἡσαῦ. Μισεῖ γὰρ ἤδη καὶ ἐκ προοιμίων δεικνύτος τοῦ Θεοῦ, ὅτι πρείσσει καὶ τὰ ῥηθέντα ὁ ἐλάττων τοῦ μείζονος. κατεῖχε γάρ, φησι, τῇ χειρὶ τὴν πτέρναν Ἡσαῦ, ὅπερ ἦν σημεῖον καταγωνιζομένην τὸν ἰσχυρὸν εἶναι δοκοῦντα. καὶ σκόπει μοι τὴν θείαν γραφήν, ὅπως ἀγὼ τὰ μέλλοντα ὀξέως συμβήσεσθαι ἤδη προαναφωνεῖ, καὶ δείκνυσιν ἡμῖν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐκείνου τὸ ἐπιτήδευμα. 27 Καὶ ὅτι ὁ μὲν πρεσβύτερος ἦν ὁ κυνηγὸς καὶ ἄγροικος ἦν ἄνθρωπος, ἁπλαῦς, οἰκίαν οἰκῶν. 28 Διὸ ἡ μὲν Ῥεβέκκα ἠγάπα τὸν Ἰακώβ, ὁ δὲ Ἰσαὰκ τὸν Ἡσαῦ. ὅπερ ἡ θήρα αὐτοῦ, φησι, βρῶσις ἦν αὐτῷ.

Ὅσα πῶς οὖν παῖδας διενείμαντο, καὶ ἡ μὲν ἀγὼ τὸ ὅτι τῆς οἰκίας ἀγαπείσειν ὁρῶσα τὸ παιδὸς τὸ ἁπλαῦν, πλείονα τὴν εὔνοιαν πρὸς αὐτὸν ἐπεδείκνυτο· ὁ δὲ πατὴρ ἀγὼ τὸ πρωτότοκον σκῆνος γεγλῶτταν, καὶ ἀγὼ τὸν θηρευτὴν ἠγάπα Ἡσαῦ. ἀλλ' ὅτι μὲν τῇ φυσικῇ φιλοσοφίᾳ καταχαλυφθεῖσα ταῦτα ἐποίουν· ἡ δὲ προῤῥήσις εἰς μικρὸν εἰς ἔργον ἄξει ἡ λεγθεῖσα, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. ὅρα γὰρ θεόθεν.

29 Ἥψησε, φησὶν, Ἰακὼβ ἕψημα. Ἦλθε δὲ Ἡσαῦ σκληπτὸς, 31 Καὶ εἶπεν Ἰακὼβ, ἀπόδου μοι τὰ πρωτοτόκια. 32 Ὁ δὲ φησι, τί μοι τοῦτον ὄφελος, τῆς τελευτῆς ἤδη με καταλαμβανούσης, εἰ μὴ μεταλάβοιμι τῆς ἕψης; 33 Ὁ δὲ ἀγὼ ὅρκον ἀπαιτεῖ, ὥστε βεβαίαν αὐτὰ γνέσθαι τὴν μεταχώρησιν ἀγὼ ὡμόσε, φησὶν, Ἡσαῦ.

Ἰδοὺ λοιπὸν σκιεῦθεν διατεταμένη ἡ τάξις, καὶ ὁ τοῦ πρωτοτόκου ἀξίωμα μετῆλθεν ὅτι τῇ ἀρετῇ τῆς ψυχῆς ἁλίσκεται. Καὶ ἀπέδοτο, φησὶν, Ἡσαῦ τὰ πρωτοτόκια, Ἀντὶ τοῦ, πέπρακε τῆς ἕψης ἕνεκα τὸ ἀξίωμα τὸ παρὰ τῆς φύσεως αὐτῷ δωρηθέν. δὲ ἐπήγαγε, 34 Καὶ ἐφάυλισεν Ἡσαῦ τὰ πρωτοτόκια. Ἀγνώμων γέγονε περὶ τὴν καταφρονήσασαν αὐτοῦ ἐξ αὐτῆς τῆς φύσεως πρεσβείαν. τοῦτο ὅλον ἐγίγνετο, ἵνα κἀκείνου δειχθῇ ἡ ἀγνωμοσύνη, καὶ ἡ τοῦ Θεοῦ προῤῥήσις εἰς ἔργον ἐξέλθῃ.

35 Ταῦτα ὁ ἀκούοντες παιδεύωμεθα μηδέποτε τῶν παρὰ τοῦ Θεοῦ δωρεῶν ἀμελεῖν, μηδὲ μικρῶν ἕνεκα καὶ εὐτελῶν τὰ μεγάλα προΐεσθαι. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασιλείας οὐρανῶν προεχειμένης καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, περὶ τῶν χρημάτων ὀπτυμένην μεμψώμεθα, καὶ τὰ πρόσκαιρα, καὶ πολλάκις οὐδὲ μέχρις τέλους ἡμῖν παραμένοντα τῆς διανοίας καὶ ἀεὶ παραμένοντων προσπεμπόμενα; καὶ τί τοιαύτης ἀνοίας χεῖρον γένοιτ' ἄν, ὃ τῶν κακείνων ἀποστερούμεθα ὄφλοντες τὴν περὶ ταῦτα ὀπτυμένην, καὶ μηδὲ τούτων ἀπολαύειν καθαρῶς δεδυνήμεθα; τί γὰρ ὄφελος, εἰπέ μοι, τοῦ πολλῆς προεστώσης; ἢ οὐκ οἶσθ' ὅτι ἡ πολλὴ προσθήκη τῶν χρημάτων οὐδὲν ἕτερον ἡμῖν ἐργάζεται, ἢ φροντίδων προσθήκην καὶ περισπασμοὺς καὶ ἀγρυπνίαν; οὐχ ὁρᾷς ὅτι οἱ μάλιστα εἰσὶν ἀπόροι, ὡς εἰπεῖν, δοῦλοι,

δοῦλοι, ⓐ τὰ πλείονα προβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν τὰς σκιὰς αὐτὰς δεδοικότες; ἐντεῦθεν γὰρ ὑπόληψαι αἱ ὑπὲρ αὐλαὶ, αἱ βασκανίαι, ὁ φθόνος ὁ πολύς, τὰ μυρία ἄλλα κακά. καὶ πολλάκις αἰτίους ⓦ μυρία τὰ λαμπρὰ χρυσίου ἔχοντα ἀποκείμενα μαχαιρίζοντα ⓦ ἐπ' ἐργασπείᾳ ἐσηκόσια, καὶ ὁκ τῆς τῶν χειρῶν ἐργασίας τιμῶ τοῦ ὑφαντοῦ ποιοῦμενον. ποία οὖν ἡδονὴ, ἢ ποῖον κέρδος, ὅταν μήτε τούτων ἀπολαύωμεν, καὶ ἀγῶ τιμῶ πρὸς τῶν μειζόνων ἀποστερώμεθα; τί γὰρ λέγω τῶν μειζόνων; ὅταν μὴ τῶν ἐνταῦθα κακῶν, καὶ τῆς ἐκπλώσεως τῶν ἐκεῖ ἀγαθῶν, καὶ πρὸς τὴν γέενναν αὐτὴν ἀποτερπώμεθα. καὶ ὅπως λέγω τὰ μυρία ἁμαρτήματα τὰ ἐντεῦθεν συλλεγόμενα, τοῦ δόλους, τὰς συκοφαντίας, τὰς ἁρπαγὰς, τὰς πλεονεξίας. ἀλλὰ καὶ ἀπόντων τούτων ἐλεύθερος ἤ τις, ὅπερ οὐκ ἔστι τῶν ἀδυνάτων, τοσαῦτα γὰρ προβεβλημένος, χρημάτων καὶ τῆς οἰκείας μόνης ἀπολαύσεως γινόμενος, καὶ μὴ προϊέμενος τοῖς ἐν χρείᾳ ὅπου μὴ διαφυλείας, ὃ τῆς γεέννης πῦρ ⓒ ⓦ τοιοῦτον ἐκδέξεται. καὶ τοῦτο διδάσκει ἡμᾶς σαφῶς ἡ παβολὴ ἡ ἐν τῷ εὐαγγελίῳ κειμένη, ἵνα κἂν μὴ ἐκ δεξιῶν ἕστηκε, κἂν ἐξ εὐωνύμων. καὶ τοῖς μὴ τὴν βασιλείαν ἑτοιμάσασι λέγει τοῦ πρὸς τοὺς δεομένους ἀνελεήμονας. δοῦτε γάρ, φησιν, ⓐ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. τίνος ἕνεκεν δὲ λέγει τοῦτο; ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν. μέγας τοῦ ῥήματος ὁ ὄγκος. ὁ δεσπότης τῶν ἀπόντων καὶ δημιουργὸς φησιν, ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν. ποίας οὖν ἀνέχεται τοῦτο ψυχῆς, κἂν ἀνελιθίνη τυγχάνῃ; ὁ δεσπότης σου πεινῶν προσέρχεται, δὲ σὺ τρυφᾷς; καὶ τοῦτο μόνον δεινόν, ἀλλ' ὅτι καὶ τρυφῶν προσιοράν αὐτὸν ἀνέχῃ, καὶ ταῦτα οὐδὲ πολλοῦ τινος δεόμενον, ἀλλ' ἄρτου μόνου ἑνός, ὥστε ⓦ λιμὸν παραμυθήσασθαι. ἀλλ' αὐτὸς μὲν ὁ χρυσοστόμος πηγνύμενος προσέρχεται, σὺ δὲ τὰ τῶν σπόρων νήματα προσκείμενος οὐκ ὀπισθρέφῃ, οὐδὲ τὸ συμπάθειαν ὀπιδείκνυσαι, ἀλλ' ἀπλήστως παρατείνεις. δὲ ποίας ταῦτα δώσει σοι συγνώμης ἀξία; μὴ τοίνυν τοῦτο ἀσυδαίζωμεν, ὃ πάντων ὂν πάντως ἔσπουδε πλείονα προσκαλλεῖσθαι, ἀλλ' ἐκεῖνο σκοπῶμεν πῶς δ ταῦτα καλῶς διοικήσωμεν, καὶ τὸ τῶν ἐν χρείᾳ τυγχανόντων ἔνδειαν παραμυθησώμεθα, καὶ κείνων μὴ ἐκπέσωμεν τῶν ἀεὶ μενόντων, τῶν οὐρανίων μεταβολίων ὀπιδεχομένων. διὰ γὰρ τοῦτο καὶ τῆς ἡμέρας ἡμῶν τὸ τελευταῖον ἄδηλον ἡμῖν ἐποίησεν ὁ δεσπότης, ἵνα ἡμᾶς παρασκευάσῃ διὰ παντὸς ἑαυτοὺς νήφειν καὶ ἐγρηγορέναι, καὶ ταύτῃ μᾶλλον διεγείρῃ πρὸς τὸ τῆς ἀρετῆς ὀπιμέλειαν.

Μαρ. ιγ. λγ. Γρηγορεῖτε γάρ, φησιν, οὐκ οἴδατε τὸν ἡμέραν, οὐδὲ τὸν ὥραν. ἀλλ' ἡμεῖς δὲ ἀναίτιον προσκείμεθα, καὶ δι' ὅλου καθεύδομεν ὕπνον τοῦτον τὸν φυσικὸν βαρύτερον. ὁ μὲν γὰρ τῶν καθευδόντων ⓦ ὕπνον καὶ πρὸς τὰ κακὰ καὶ πρὸς τὰ καλὰ ἀνενέργητος τυγχάνει· ἡμεῖς δὲ ἕτερον ὕπνον καθεύδομεν, πρὸς μὲν τὰ τῆς ἀρετῆς ἔργα καθεύδοντες, πρὸς δὲ τὰ τῆς κακίας ἐγρηγορότες· καὶ κεῖνα μὲν ἀόκνως διαπραττόμενοι, ἐν δὲ τούτοις πολλὴν τὴν ῥᾳθυμίαν καὶ τὸν ὕπνον ὀπιδεικνύμενοι, καὶ ταῦτα ὁρῶντες καθ' ἑκάστην ἡμέραν τοῦ μὲν ἐντεῦθεν ἀπαγομένους, τοῦ δὲ καὶ ἐν τῷ παρόντι βίῳ πολλὴν τὴν μεταβολὴν ὑποφερομένους. δὲ τοῦτο αὐτὴ ἡ ἀνωμαλία παιδεῦσαι ἡμᾶς ἰκανὴ καὶ εἰς πόθον τῆς ἀρετῆς ἀναγαγεῖν, δὲ παρασκευάσαι ὑποφρίξαι τῶν παρόντων, δὲ ποθῆσαι τὰ μέλλοντα, καὶ πρόσπτυσαι τῆς σκιᾶς καὶ τῶν ὀνειράτων τὴν ἀληθειαν. σκιᾶς γὰρ καὶ ὀνείρατον τοῦτον τὰ παρόντα διεπνοχε. μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν, μηδὲ τὰς σκιὰς μεταδιώκωμεν· ἀλλ' ὀλίγον ποτὲ τῆς οἰκείας σωτηρίας φροντίδα ποιησώμεθα, καὶ τὰ χρήματα κενώσωμεν εἰς τοὺς δεομένους, ἵνα τῆς ὀπὸ τούτοις ἀμοιβῆς ἀξιωθῶμεν παρὰ τοῦ φιλανθρώπου Θεοῦ, οὗ γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι

π

πι καὶ φιλαν θεωπία τ̃ κυείου ἡμῶν Ἰησοῦ Χριστοῦ, μθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νυν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τ̃ αἰώνων. Ἀμήν.

Λογ. να'. ΕΓΕΝΕΤΟ ΔΕ ΛΙΜΟΣ ΕΠΙ ΤΗΣ ΓΗΣ, ΧΩ-
ρὶς τ̃ λιμοῦ τ̃ πρώτερον, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τ̃ Ἀβραάμ.

Ἄλλη ἐκ τῆς ἀκριβείας τ̃ πρώτου ἡμῖν ἐπιμηθώμεθα βουλόμενος τῆς πρὸς ὑμᾶς ἀσφαλοῦς διδασκαλίας. ὥστε εἰ δέοι ὑμᾶς σαφῶς ποῦ τ̃ λόγου πρώην κατελύσαμεν, ἐκ τούτου ἀναμνῆσαι σπεύδομεν ἀναλαβόντας, ἀναγκαῖον ἐποιησάμην τὴν ὑμετέραν ἀγάπην. Εἰ γὰρ καὶ αὐτοὶ διὰ τὸ πολλαῖς φροντίσι περιέλκεσθαι ἴσως ὑπελήθατε, ἀλλ' ἐμοὶ προσήκει εἰς ὑπόμνησιν ὑμᾶς ἀγαγεῖν, ἵνα διὰ τῆς μνήμης σαφέστερος ὑμῖν ὁ λόγος γένηται ὁ μέλλων σημαίνεσθαι ῥηθήσεσθαι. ἴστε οὖν πρότερον τῆς Ῥεβέκκας τὸ φιλόθεον διηγούμενοι, καὶ ἐκεῖθεν ὅτι τ̃ Ἡσαῦ καὶ τὸν Ἰακὼβ ἐλθόντες ἐκ διδυμείας μήτρας, εἶθα τὰ πρωτοτόκια ἀπέδοτο τῷ Ἰακὼβ ὁ Ἡσαῦ, τ̃ ἐφήματος ἀποκαύσας, καὶ διὰ τὴν τῆς ἔδρας ἐπιθυμίαν τ̃ πρεσβείας ἑαυτὸν ἀπεξέρησε. τοῦτο γὰρ ἐγίνετο οὐκ ἁπλῶς, ἀλλ' ἵνα ἡ τ̃ Θεοῦ πρόρρησις διὰ τ̃ ἔργων πληρωθῇ ἡ λέγουσα, Τὸν Ἰακὼβ ἠγάπησα, τ̃ δὲ Ἡσαῦ ἐμίσησα. ὅπερ γὰρ ὡς Θεὸς τὰ μέλλοντα προῄδει, προεμαρτύρησε καὶ τούτου τὸν ἀρετὸν, κἀκείνου τῆς γνώμης τὴν μοχθηρίαν. τί δέ ἐστι τοῦτο τὸ τ̃ πρωτοτοκίων, εἰ μὴ ὅτε ὁ καιρὸς ἐπέτρεπεν εἰπεῖν ὅτι τῆς ὑμετέρας ἀγάπης, ἀλλ' ἀναγκαῖον νῦν ὑμᾶς διδάξαι. μείζων γὰρ ἦν) τιμὴ τὸ παλαιὸν νομίζεσθαι. ἔχει δὲ τῆς ὕλης τὴν ὑπόθεσιν ἐντεῦθεν. ἵνα τὸ τ̃ Ἰσραηλίτ ἔθνος τῆς Αἰγύπτου ἀπαλλάξαι ἐβούλετο ὁ τ̃ ὅλων Θεός, καὶ τῆς τυραννίδος ἐλευθερώσας τὸ Φαραὼ διὰ τὴν πρὸς τ̃ πατριάρχου ἐπαγγελίαν, ἀντιτείνοντος καὶ κατέχειν βουλομένου ὅτε τὸ Αἰγυπτίου, μὴ τὰ διαφόρους πληγὰς ταύτην ἐπαγαγὼν τὴν πληγὴν ὁ δικαστὴς τελευταίαν, μονονουχὶ τ̃ οἰκείας χερὸς παρεσκεύασε τὸν Αἰγυπτίους ἐξώσαι τὸ τ̃ Ἰσραηλίτ ἔθνος. ἀθρόον γὰρ πάντων τ̃ Αἰγυπτίων τὰ πρωτότοκα διαιρεθῆναι προσέταξε, καὶ ἵνα ἴδειν καθ' ἑκάστην οἰκίαν οἰμωγὰς καὶ δάκρυα, καὶ οὐδὲ μέχρι τούτου ἔφη σημαίνειν τ̃ ἀπειλήν, ἀλλ' ἐκ τούτου προσεδόκων καὶ ὅτι πάντας ὁδῷ βαδίζοντας ἐλεύσεσθαι τὸν θάνατον. ἐπεὶ οὖν τῶν ἐν Αἰγύπτῳ πάντων τῶν γεννωμένων πρωτοτόκων ἀθρόον ὁ θάνατος γέγονεν, οἱ τ̃ Ἰσραηλίτας τῆς ἄνωθεν ροπῆς ἀπολαύοντες ἀβλαβεῖς διέμενον, δεικνὺς καὶ διὰ τούτου τ̃ περὶ αὐτοὺς εὔνοιαν ὁ τ̃ ὅλων Θεὸς, αἰτί τ̃ ἀναιρέσεως τ̃ πρωτοτόκων ἐκείνων, τὰ πρωτότοκα τ̃ Ἰουδαίων αὐτῷ ἀναπόφευκτον λοιπὸν προσέταξεν. ἐντεῦθεν καὶ ἡ Λευὶ φυλὴ εἰς ἱερουργίαν ἀφωρίσθη, καὶ ὀξ ἐκείνου μόνου τῶν δωδεκάφυλων τὰ πρωτότοκα ἀνεπήνετο τ̃ Θεῷ, ἀλλὰ καὶ τῶν ἀλόγων, καὶ πάντων ἀπαξαπλῶς. ἦν προσταγμα ἓν τὸ κελεῦον ἔν τε τῶν δωδεκάφυλων, ἔν τε τῶν ἀκαθάρτων ζώων τὴν τιμὴν καταπέμπειν. ἀλλ' εἰ καὶ ὕστερον αὕτη ἡ νομοθεσία γέγονεν ἡ περὶ τῶν πρωτοτόκων, ἀλλ' ὅμως ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδόκουν πλέον τι ἔχειν προτέρημα διὰ τὴν ἀνδρὸς μνήμην ἀναοίξαντες. ταύτην οὖν τὴν τιμὴν, ἓν καὶ ἐκ φύσεως ἔσχεν ὁ Ἡσαῦ, μετήνεγκε διὰ τὴν οἰκείαν ἀκρασίαν ὅτι διὰ βρώσεως ἀνδρὸς φόνον. καὶ ὁ μὲν καὶ ἐκ φύσεως αὐτῷ ὀφθεὶς ἀπώλεσεν· ὁ δὲ, καὶ ὅπερ οὐκ εἶχεν ἐκ φύσεως, αὐτῷ προσέλαβε. καὶ ὅπερ ἀνωθεν αὐτῷ ἓν κεχρησμῳδημένον, διὰ τοῦτο καὶ ἡ Ῥεβέκκα τὴν προσηκείαν αὐτῷ ὅτι πεῖσα, Ἰακὼβ αὐτὸν ἐκάλεσεν, ὅπερ πρεσβυτερισμὸς

νισμὸς ἐρμηνεύεται, καθάπερ ⸂δ⸃ ὁ Ἡσαῦ μὴ τὰς τῶ παῤῥὸς εἰς αὐτὸ εὐλογίας γεγενημένας ἀποδυσάμενος ἔλεγε, διχαίως ἐκλήθη ⸂δ⸃ ὄνομα αὐτῶ Ἰακώβ. ἐπέρικε γάρ με ἤδη δεύτερον τοῦτο, τότε μὲν τὰ πρωτοτόκιά μου εἰλήφε, νῦν δὲ εἴληφε τὴν εὐλογίαν μου. σκέπτει πόση τῆ παλαιᾶ νόσω ἡ ζωὴ σεις, μᾶλλον δὲ πόση τοῦ Θεοῦ ἡ σοφία, ὡς μὴ τὰς γυναικὰς καταισχύνειν μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε τὰς προφητείας τοῖς πατράσιν ἐπιλέγειν, ἀλλὰ συναποτίθεσθαι τῆ τοῦ παιδίου προφητείᾳ τὰ μηνύοντα ἑκάστῳ τῶν μελλόντων ἔσεσθαι τῷ προφωνοῦντι. καὶ ἀσφαλῶς εὑρήσεις ὁμωνύμους τοῖς γεννησαμένοις σὺν πατράσι καὶ μάλα πολὺ ἀδαμοῦ· ἀλλὰ καὶ ὁ πατὴρ τὴν προφητείαν τοῦ παιδὸς μέλλοντος ἐπιτίθεναι, ξένῳ τινὶ καὶ κακῶς ἐπιτίθησιν, ὥστε δι' αὐτῆς προμηνῦσαί τινα τῶν μελλόντων ἔσεσθαι· καὶ ἡ μήτηρ πάλιν ὁμοίως. ὅτε καὶ ὁ Λάμεχ τὸν υἱὸν προσαγορεύων, Νῶε ἐκάλεσε, καὶ ἐπήγαγε λέγων, οὗτος διαναπαύσει ἡμᾶς. ὅτε καὶ ἑκάστην προφητείαν διερμηνεύοντος μὴ ἀκριβείας εὑρήσεις πάντως τι ἀμφιβολίαν, ἃ καθάπερ νῦν ποιοῦσιν, ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπὸ τῶν γεννησαμένων καταδαίζοντες τὰς προφητείας ὀνομάζειν, ἀλλὰ πᾶς ὁ σκοπὸς αὐτοῖς ἦν, ὥστε διὰ συνεχῆ ⸂κατόμησιν⸃ συναποτίθεναι δεῖ τῆς προφητείας τῷ τιθέντι. ἀλλ' ἴδωμεν λοιπὸν μὴ τὰ τῶν προτοκίων ἐνθυμηθῶμεν, ἃ πάλιν ἡμῖν διηγεῖται ὁ μακάριος Μωϋσῆς περὶ τοῦ παῤῥὸς τούτου, καὶ ὅπως καθάπερ ὑπὸ τοῦ πατριάρχου, καὶ οὕτω λιμοῦ καταλαβόντος πολλῆς ἀξιοῦται τῆς ἄνωθεν κηδεμονίας διά τε τὴν οἰκείαν ἀρετὴν, διά τε τὴν εἰς τὸν πατριάρχην γεγενημένην ἐπαγγελίαν. 1 Ἐγένετο δέ, φησὶ, λιμὸς ὑπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρώτου, ὃς ἐγένετο ἐν τῷ χρόνῳ τοῦ Ἀβραάμ.

Ἵνα μὴ νομίσῃς περὶ ἐκείνου τοῦ λιμοῦ αὐτὸν διαλέγεσθαι, διὰ τοῦτο ἐπήγαγε, χωρὶς τοῦ λιμοῦ τοῦ πατριάρχου, αὐτὶ τοῦ, ἕτερος τοιοῦτος νῦν κατέλαβε λιμὸς τὴν γῆν ὑπὲρ τοῦ Ἰσαάκ, οἷος καὶ ὑπὲρ τὸν παῤῥὸν αὐτοῦ. καὶ ἡ τῶν ἀναγκαίων ἀπάνις πρόφασις ἐν θορύβῳ μείζονι καθίσα, καὶ ἐκ τῶν οἰκείων μετῳκίσαθαι κατήπειγε, καὶ πρὸς ἐκείνους τοὺς τόπους χωρῆν, ἔνθα τὴν ὑπαρξιν εἶχον αἱ ποίμναι τὴν ὑποείδιον τοῦ ὕδατος. ὅθεν καὶ ὁ δίκαιος τοῦτ' ἐποιήσατο τὸν λιμόν, Ἐπορεύθη, φησὶ, πρὸς Ἀβιμέλεχ εἰς Γέραρα. 25

Ἐνταῦθα γὰρ καὶ ὁ Ἀβραὰμ μὴ τὰ ἀπὸ τῆς Αἰγύπτου ἐπανόδου πάλιν ἀπῆλθεν. εἰκὸς ἦν καὶ τοῦτον ἐκεῖ ἀπελαυνέναι, ὡς ἐκεῖθεν ὁρμήσαντα βουλόμενον ὑπὲρ τοῦ Αἰγύπτου. καὶ ὅπου τοῦτο ἐστὶν, ἄκουσον τοῦ ἀφάτου τοῦ Θεοῦ βουλαγχίαν. 2 Ὤφθη γὰρ αὐτῷ, φησὶν, ὁ Θεὸς, καὶ εἶπε, μὴ καταβῆς εἰς Αἴγυπτον.

Οὐ βούλομαί σε, φησὶ, τοῦ μακρὰν ἐκείνου στέλλεσθαι ὁδὸν, ἀλλ' ἐνταῦθα μένειν. ἀλλ' οὐδὲ ἀφίημί σε πεῖραν τῆς ξενιτείας λαβεῖν, ἀλλὰ τοῦ ἐπόψεσιν τοῦ πρὸς Ⓦ πατέρα σου εἰς ἔργον ἄξω, καὶ τὰ ἐκείνῳ ἐπηγγελμένα εἰς σὲ ἐκβήσεται, καὶ σὺ τῶν πρὸς ἐκείνον ἐποψέσεων ὃ πέρας δέξῃ. μὴ καταβῆς εἰς Αἴγυπτον.

Κατοίκησον ἐν τῇ γῇ, ἣν ἐάν σοι εἶπω, 3 Καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ. Ἵνα μὴ νομίσῃ ὁ δίκαιος ὅτι βουλόμενος αὐτὸν τῆς ξενιτείας τῆς ἀπὸ τῆς λιμοῦ πεῖραν λαβεῖν, τοῦτο ὑπαπάτᾳ, καὶ ὑ συγχωρεῖ εἰς τοῦ Αἴγυπτον ἀπελθεῖν, φησὶ, μὴ ἀγωνία, μηδὲ φεύγητε, ἀλλ' ἐνταῦθα μένε. Ἐγὼ γὰρ ἔσομαι μὴ σῦ.

Τὸν χορηγὸν ἀπάντων τῶν ἀγαθῶν ἔχων, μὴ φεύγητε μηδενός. ἐγὼ γὰρ ὁ πάντων δεσπότης ἔσομαι μὴ σῦ, καὶ ὑ τοῦτο μόνον, ἀλλὰ Καὶ εὐλογήσω σε,

Ἀντὶ τοῦ, ὑπὲρ δόξαν σε ποιήσω, καὶ τοῦ πρὸ ἐμοῦ σοι βουλήθη πρέξω. τί αὖ εἶπε τοῦτο " μακαριώτερον τοῦ δικαίου τοῦ τοσούτου " βουλήθη τοῦδε τοῦ Θεοῦ δόξαμοῦ, ὅτι ἔσομαι μὴ σῦ, καὶ εὐλογήσω σε; τοῦτό σε πάντων εὐπορώτερον ἀποδείξει, τοῦτό σε ἐν πολλῇ τοῦ σίᾳ εἶ τοῦ σκυάσει, ὑπὸ σοι ἡ μεγίστη δόξα, τοῦτ' ἡ ἄφατος τοῦ φάεια, ὑπὸ

ἡ

ἡ ἀσφάλεια, τοῦτο τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ ἐμὲ εἶναι μετὰ σοῦ, καὶ εὐλογῆσαί σε. πῶς δέ σε εὐλογήσω; Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην.

Ὡς ξένος τὰ ἀλλότρια νομίζεις ἐπιχωριάζειν τοῖς μέρεσι τούτοις· ἴσθι ὅτι σοὶ καὶ τῷ σπέρματί σου πᾶσα αὕτη δοθήσεται ἡ γῆ. καὶ ἵνα θαρρεῖν ἔχῃς, μάθε ὅτι ⟨W⟩ ὅρκον, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου, τοῦτον ὅτι σοὶ φήσω. ὅρα συγκαταβάσεων Θεοῦ. οὐκ εἶπεν ἁπλῶς ταῖς ⟨ω⟩υθήκαις, ἃς ἐποιησάμην πρὸς τὸν πατέρα τὸν σόν, ὅτι τὰς ἐπαγγελίας, ἃς ὑπεχόμην. ἀλλά τί; ⟨W⟩ ὅρκον οὗ ὤμοσα. ὅρκῳ αὐτὸν βεβαιῶσαί μου, φησί, καὶ ὀφείλω εἰς ἔργον ἀγαγεῖν καὶ πληρῶσαι ⟨W⟩ ὅρκον τὸν ἐμόν. ὁρᾷς Θεοῦ φιλανθρωπίαν. οὐ πρὸς τιμὴν οἰκείαν ἀξίαν ὁρῶν φθέγγεται, ἀλλὰ πρὸς τιμὴν ἀθένειαν συγκαταβαίνων τὴν ἡμετέραν. ὅθεν γὰρ ⟨Φ⟩ αὖ θεσπίσωσιν ὡς ὅτι τὸ πλεῖστον ἐκείνα εἰς ἔργον ἀγαγεῖν σπουδάζουσιν, οὐχ ἅπερ δεῖ ἁπλῶς ⟨ὑ⟩ποσχωνται λίαν, ἀλλ' ὅσα αὖ μεθ' ὅρκου ἐπαγγέλωνται· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς πληροφορῶν τὸ δίκαιον, ὅτι πρώτως ἔσται τὰ πρὸς αὐτὸν λεγόμενα, φησίν, ἵνα δὲ ὅτι τὰ πρὸς ἐμοῦ ὁμνυόμενα εἰς ἔργον ἀγαγεῖν δεῖ. τί οὖν φησιν; ὁ Θεὸς ὤμοσε. καὶ τίνος ὀμόσας ἠδυνάτο; ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκα τὸ εἰρημένον. τὸ γὰρ βεβαίωσιν τῆς ⟨ὑ⟩ποσχέσεως ὅρκον ἐκάλεσε. Καὶ φήσω, φησί, ⟨W⟩ ὅρκον μου, οὗ ὤμοσα Ἀβραὰμ τῷ πατρί σου. Εἶτα διδάσκει αὐτὸν καὶ ἵνα ἐστὶν ἃ ⟨ὑ⟩πέσχετο, καὶ πρὸς τίνων αὐτῷ διεβεβαιώσατο.

4 Καὶ πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. Τοῦτο γὰρ καὶ τῷ πατριάρχῃ ἔλεγεν, ὅτι τοσοῦτον ἔσται τὸ σπέρμα σου, ὡς καὶ τοῖς ἀστροις καὶ τῇ ἀμμῳ παρεμφαίνων. Καὶ δώσω, φησίν, τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Διὰ τοῦτο ἦλθε ⟨ὑ⟩ποσχέσεις ταῖς εἰς ἐκεῖνον γεγενημέναις εἰς σὲ πληρώσω,

5 Ἀνθ' ὧν ⟨ὑ⟩πήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου. Ὅρα Θεοῦ σοφίαν, ὅπως διεγείρει τὸ δικαίῳ τὴν ἐγκαύνισιν, καὶ προθυμότερον ἐργάζεται καὶ προσκυδάζει μιμητὴν τοῦτον τὸν οἰκεῖον παῖδα καταζῆναι. εἰ γὰρ ἐκεῖνος, ἐπειδή, φησιν, ὑπήκουσε τῆς ἐμῆς φωνῆς, τοιούτης ἠξιώθη τῆς ⟨ὑ⟩ποσχέσεως, καὶ διὰ τὴν ἐκείνου ἀρετὴν εἰς σὲ τὸ ὅμοιον αὐτῷ τεθέντα τοιοῦτα πληρωθῆναι μέλλω, εἰ καὶ σὺ αὐτὸς ἐκείνου ζηλωτὴς καταστάς, καὶ τὴν ἐκείνου ὁδὸν ἔλθοις, ἐννόησον ὅσης ἀπολαύσεις τῆς πρὸς ἐμὲ θυμοίας, καὶ πόσης προθυμίας ἀξιωθήσῃ. ὁ γὰρ δίκαιον τοῦ ἑτέρου ἀρετὸν μέλλων θυμάσειν, εἰ καὶ αὐτὸς ἀνάρετος ἦν τὸ πρίν, πολλῷ πλείονος ἀξιωθήσεται κηδεμονίας. τί δέ ἐστιν, ἀνθ' ὧν ὑπήκουσε τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ ἐντολάς μου, καὶ τὰ δικαιώματά μου; εἶπον αὐτῷ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν αὖ σοι δείξω, καὶ κατέλειπε τὰ ἐν χερσί, καὶ τὰ ἀδηλα ἐδίωκε, καὶ οὐκ ἐνεδίασεν, οὐδὲ ἠμέλησεν, ἀλλὰ μετὰ πάσης προθυμίας τὸ ὑπίταγμα πληρῶν ὑπήκουσε τῆς ἐμῆς φωνῆς. πάλιν τὰ ⟨ὑ⟩πὲρ τὸν φύσιν αὐτῷ ἐπικελεύομαι, καὶ μετὰ τὸ τὴν ἡλικίαν ἀπαγορῦσαι, καὶ μηκέτι μήτε αὐτὸν, μήτε τὸν μητέρα τὸν ζῶν τοῖς τεκνογονίαν ἔχειν τινὰ ὑπιτηδειότητα, ἀκύων πρὸς ἐμοῦ, ὅτι τὸ ἐξ αὐτοῦ σπέρμα εἰς τοσοῦτον ἐκπεθήσεται, ὡς πᾶσαν πληρῶσαι τὴν γῆν, οὐδὲ τότε διεταράχθη ⟨W⟩ λογισμόν, ἀλλ' ὑπίσευσε· διὸ καὶ δικαιοσύνη αὐτῷ ἐλογίσθη, ὅτι τῇ δυνάμει τῇ ἐμῇ πιστεύσας, καὶ ταῖς ⟨ὑ⟩ποσχέσεσι θαρρήσας ταῖς ἐμαῖς, ἀνώτερος γέγονε τῆς ἀνθενείας τῆς αἰσθητικῆς. καὶ μὴ τό σε τεθῆναι, τὴν μητρὸς τῆς σῆς δυσχερεμνύσης πρὸς τὴν Ἰσμαὴλ ⟨W⟩ ἐκ τῆς παιδίσκης τεθέντα, καὶ βαλομένης αὐτὸν ἀπελάσαι τῆς οἰκίας μετὰ τῆς Ἄγαρ, ὥστε μηδὲν κοινὸν ἔχειν πρὸς σέ, τὸ πατριάρχου δίκαιον τὴν πατρικὴν φιλο-

στοργίαν

στορλάμ ἤδη χρόνον ἱκανὰ καὶ τοῖς ἐκφύγοντος ἀκούσας περὶ ἐμοῦ ὅτι, Ὃ δοκῶ ποιεῖ τῇ Σάρρᾳ, ἐπελάθετο τῆς φυσικῆς φιλοστοργίας, καὶ ὠξέβαλε τὸν Ισμαὴλ μετὰ τῆς παιδίσκης, καὶ πάντα χρόνον ἀνήκουστος τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ τοσαῦτα μου. καὶ γὰρ ὃ τελευταῖον προσταχθεὶς ὑπ' ἐμοῦ εἰς θυσίαν ἀνενεγκεῖν τὸν υἱὸν τῷ γήρει αὐτῷ δοθέντα, τὸν ὕστερον περιπόθητον, ὃ μᾶλλον ἐποίησε, καὶ διεπερᾶσαι ἐκέλευσε λογισμὸν, οὐδὲ ἀνεκοινώσατο τῇ μητρὶ τῇ σῇ, ὃ τοῖς παισὶν, ὃ σοὶ αὐτῷ ὃ μέλλον ὑπ' αὐτοῦ προσδήσεσθαι κατάδηλον ἐποίησεν, ἀλλ' ἐρρωμένῳ τῷ λογισμῷ καὶ συντεταμένῃ τῇ προθυμίᾳ εἰς ἔργον ἄγειν ὃ ὑπέταγμα ἠπείγετο ὃ ἐμόν. διὰ τοῦ γνώμου αὐτοῦ τεφρωσας ὃ ἔργον σκώλυσα γλυκύς. ἐπεὶ οὖν διὰ πρώτων πολλῶν ἐπεδείξατο τοῦ ὑπακοῆς καὶ τοῦ φυλακτοῦ τὴν ἐμὴν προσταγμάτων, διὰ τοῦτο σε, τὸ δὲ σκεύη τρυφέντα, τὴν ὑπὸ σχέσεων τὴν εἰς αὐτὸν γεγενημένην ποιῶ κληρονόμον. μίμησαι τοίνυν σκεύη τοῦ ὑπακοῆς, καὶ τοῖς πρὸ ἐμοῦ λεγομένοις πίστευε, ἵνα πολυπλασίονος τῆς ἀμοιβῆς ἀξιωθῇς ὑπὲρ τε τῆς τοῦ παιδὸς ἀρετῆς, ὑπέρ τε τῆς οἰκείας ὑπακοῆς, καὶ μὴ καταβῇς εἰς Αἴγυπτον, ἀλλ' ὑπὸ σοῦδα μένε. εἶδες θεοῦ φιλανθρωπίαν, ὅπως διὰ τῆς μνήμης τῆς ἀρετῆς τοῦ παιδὸς, τοῦτο τὸ λογισμὸν ἀνεύρωσε.

6 Κατῴκησε δέ, φησιν, Ισαὰκ ὁ Γεδάρεις.

Ὅρα τοῖς αὐτοῖς καὶ τοῦτοι προσπίπτοντα σχεδόν, οἷς ὁ πατὴρ προσέπεσεν. ὅπερ γὰρ τοῦ καθίκησιν ἐποιήσατο ὁ Γεδάρεις, 7 Ἐπηρώτησαν, φησιν, οἱ ἄνδρες τὸ τόπου περὶ τῆς Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ. καὶ εἶπεν, ἀδελφή μού ἐστιν.

Εφοβήθη γὰρ, μήποτε ἀποκτείνωσιν αὐτὸν, κτησάμενοι τὸ κάλλος τῆς γυναικός.

Μήποτε γάρ, φησιν, ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ρεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. 8 Ἐγένετο δὲ πολυχρόνιος ὁ καὶ προσκύλας ὁ Ἀβιμέλεχ εἶδε Ἰσαὰκ παίζοντα μετὰ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, 9 καὶ καλέσεν αὐτὸν, καὶ εἶπεν αὐτῷ, ἀρά γε γυνή σού ἐστιν; τί ὅτι εἶπες, ἀδελφή μού ἐστιν;

Επειδὴ οὐκ ἦν τὰ παιμνείων ἐφωράθη ὁ δίκαιος, οὐκέτι λοιπὸν ἔκρυπτε, ἀλλ' ὁμολογεῖ, καὶ τὴν αἰτίαν φανερὰν καθίστησι, διὰ τοῦ ἀδελφοῦ καλέσας κατεδέξατο. εἶπε γάρ, φησι, μήποτε ἀποθάνω διὰ αὐτοῦ. ὁ τοῦ θανάτου φόβος εἰς τοῦτό με ἐλθεῖν κατηνάγκασεν. ἴσως δὲ μεμαθηκὼς τοῦ, ὅτι δὲ ὁ πατὴρ τοῦτο τὸ δρᾶμα κατασκευάσας διέσωσεν ἑαυτὸν, καὶ διὰ τοῦτο δὲ αὐτὸς τοιοῦτόν ἦλθε τοῦ ὁδόν. ἀλλ' ὁ βασιλεὺς ἑναυλον ἔχων τοῦ μνήμου, ὃν πέπονθεν ὅτι τὸ πατριάρχου τοῦ Σάρρᾳ ἀφελόμενος, πρόσχημα τοῦ τῆς ἀνωθεν ὑπομνήσεως ἑαυτὸν τοῦ λίθινον κατασήσας, φησὶ πρὸς αὐτὸν,

10 Τί τοῦτο ἐποίησας; μικροῦ ἔκοιμήθη τις τὸ γλυκὺς μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. Ταῦτα, φησὶ, τοῦ ἀπατεῶνι δὲ ἤδη ὑπεσημαίνοντο τοῦ τὸ παιδὸς τὸ σὸν, καὶ νῦν εἰ μὴ ταχέως συνεῖδομεν, καὶ αὐτὰ ἂν ἐμέλλομεν τοῦτο μένειν, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. καὶ γὰρ καὶ τότε διὰ ἄγνοιαν ἁμαρτάνειν ἐμέλλομεν, καὶ νῦν τοῦτο τῆς ἀγνοίας μακρὰν δεῖν ἡμᾶς ἁμαρτίαν προσπεσεῖν προσκρούσας. 11 Συνέταξε δέ, φησιν, Ἀβιμέλεχ τῷ λαῷ αὐτοῦ λέγων, πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου, ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτῳ ἔνοχος ἔσται.

Ὅρα θεοῦ προνοίαν, ὅρα κηδεμονίαν ἄφατον. ὁ γὰρ εἰπὼν αὐτῷ, μὴ καταβῇς εἰς Αἴγυπτον, καὶ, κατοίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, σοὶ ἐστὶ ὁ ταῦτα πράττα οἰκονομῶν, καὶ τὸ δίκαιον ἐν τοσαύτῃ ἀσφαλείᾳ καθίστας. σκόπει γὰρ τὸν βασιλέα ἔργον τοῦτο ποιούμενον, ὡς ἐν ἀδείᾳ ὄντα εἶναι αὐτὸν, καὶ πάσης ἀπηλλάχθαι φροντίδος. θανάτου γάρ, φησιν, ἐπείλησεν ἅπασιν, εἴ τις ἅψαιτο αὐτοῦ, ἢ τῆς γυναικὸς αὐτοῦ. ὅπερ γὰρ τοῦ

ἐστὶ

ἰῶ ὁ φόβος, ὁ τ᾽ θανάτ᾽ λέγω, ϰαταστείων τ᾽ δικαί᾽ τὴν ἀληθείαν, ἀλλ᾽ τοῦτο ἐ τ᾽τον ἐϰβληθῆναι πεποίηϰεν ὁ φιλάνθρωπος δεσπότης, ϰὴ ἐν πάσῃ ἀσφαλείᾳ αὐτὸν λιπὼν ἀφάγειν. ϰὴ ὅρα δ᾽ θαυμαστὸν ϰὴ παράδοξον, πῶς δύμηχάνος ὢν ϰὴ σοφὸς ϰὴ πανοῦργα ϰὴ δ᾽ βάλημα δ᾽ οἰϰεῖον μεταϰυβαίζων, ϰὴ ἐν ἀπόρῳ ποτὲ μὲν εἰσϰων, ἀλλ᾽ τῶν ἐναντίων [αὐτῶν] ἐ πολεμίων ἐπὶ νομίζεσθαι, ἀλλ᾽ τούτων τὴν ἀσφάλειαν τοῖς ἰδίοις θεράπουσι γλυέσθαι παρέχειν. πόθεν γάρ, εἰπέ μοι, ὁ βασιλεὺς ἔστ᾽ τοσαύτην τ᾽ δικαίου ποίησιν τὴν παρόησίαν, μονονουχὶ ἀναϰηρύττων αὐτὸν ἅπασι τοῖς τὴν πόλιν οἰϰοῦσι, ἐ παρεφάνη δείϰνυσι ϰὴ παρεσϰεύασεν αὐτῷ; ὅτω ϰαὶ ὁ Ναβυχοδονόσορ μὴ δ᾽ βαλεῖν Δαν. γ. ϰα.
εἰς τὴν ϰάμινον τοὺς παῖδας τοὺς τρεῖς, ϰὴ ἀλλ᾽ τῶν παραγμάτων μαθεῖν τὴν νέων, τὴν ἀρχομένων τὴν ἀρετήν, ὅτε ἀναϰηρύττειν αὐτὸς ἤρξατο, ϰὴ πανταχοῦ ἀλλ᾽ τῆς οἰϰείας γλώττης παρεφανῆς ϰαθ᾽ ἅν. τοῦτο γὰρ ὅτι μάλιστα τῆς παρουσίας τῆς τ᾽ Θεοῦ δυνάμεως, ὅταν ἀλλ᾽ τῶν ἐχθρῶν ἀναϰηρύττεσθαι τοὺς αὐτὸν δούλους παρασϰευάζῃ. ϰαὶ ὁ μὲν θυμὸς τὴν ϰάμινον ἐϰείνην ἑπταπλασίονα ποιήσας, ὅπερ εἶδεν ὅτι ἀλλ᾽ τὴν ἀνώθεν συμμαχίαν ϰὴ τῆς τ᾽ πυρὸς ἐνεργείας παρειληλύθετο ἡ τῶν παίδων ἀρετή, ἀ᾽θεσον μεταβαλλόμενος ἐϰφεύγασι λέγων, Ⓐ δοῦλοι τ᾽ Θεοῦ τ᾽ ὑψίστου. ὅρα μὴ μόνον αὐτοὺς ἀναϰηρύττοντα, ἀλλὰ ϰὴ τ᾽ δεσπότην τῶν ὅλων. Ⓐ δοῦλοι γὰρ τ᾽ Θεοῦ, φησι, τ᾽ ὑψίστου ἐξέλθετε. τί γέγονεν; ὁ σὺ τῇ τιμωρείᾳ προέδωϰας; ὁ σὺ ὅπου τοσοῦτον ϰήρυγμα τὴν ϰάμινον παρεσϰεύασας; ναί, φησιν, ἀλλὰ νεοπόρῳ ξένα ϰὴ παράδοξα παρέγματα. τὸ γὰρ στοιχεῖον τοῦτο τῆς οἰϰείας ἐνεργείας ἀπιλαθόμενον, ὥσπερ δεσμοῖς τισι πεδηθέν, τοσαύτην ἐπεδείξατο τὴν ἀναχολὴν, ὡς μηδὲ τῶν τειχῶν ἐφάψασθαι αὐτῶν. ὅλον ὅτι ζωωδὲς, ὅτι ἀπὸρ αἰθερίου φύσιν ὅτι ὁ γεγονὼς, ϰὴ ἀπόῤῥητός τις ϰὴ θεία δύναμις ὅτιν ἡ ταῦτα ἐργαζομένη, ϰὴ τῶν παίδων τότων τοσαύτην ποιουμένη τὴν παρρησίαν. εἶδες θεοῦ φιλανθρωπίαν, ὅπως οὐϰ ἐϰαταλιμπάνων τοὺς ἰδίους θεράποντας συνεχώρησεν εἰς τ᾽ ϰάμινον εἰσενεχθῆναι, ἀλλὰ ϰὴ αὐτοῖς βαλόμενος λαμπροτέρους ἐργάσασθαι, ϰὴ τ᾽ οἰϰείαν δύναμιν ἐνδειϰνύμενος, ϰὴ τ᾽ βαρβάρου ϰαταμάλαξε τ᾽ ἀγριότητα, ϰὴ τ᾽ τοσαύτην μαϰροθυμίαν ἐπεδείξατο. ὅδε γὰρ ὅτω θαυμαστὸν ἵνα, εἰ παρὰ τ᾽ ἀρχὴν ἐϰώλυσεν αὐτοὺς εἰς τ᾽ ϰάμινον ἐμβληθῆναι, ὡς νῦν θαυμαστότερον γέγονε, ϰὴ πολὺ δ᾽ παράδοξον, ὅτι ϰὴ ἐν μέσῳ τῷ πυρὶ τυγχάνοντας οὐδὲν ἀπὸν παθεῖν συνεχώρησεν. ὅταν γὰρ αὐτοὺς βάλλῃται, ϰὴ τοὺς ἐν μέσοις τοῖς δεινοῖς γενομένους δυωτέρους ϰαθίστησι, ϰὴ τοὺς πάθοντας τῶν ποιούντων δυναπωτέρους ἀπεργάζεται. ὅτε ϰὴ ὅτι τῶν ἀποστόλων ἐλάττων. Ⓐ ἔχοντες γὰρ αὐτοὺς ἀπειλημμένους ἐν τῷ μέσῳ, ϰὴ μονονουχὶ τοὺς ὀδόντας ϐήττοντες ϰατ᾽ αὐτῶν, παρὸς ἀλλήλους ἔλεγον, Τί ποιήσομεν τοῖς ἀθέοις τότοις; ἰσχὺν αὐτοὺς ἔχοντες, ἐν ἀπορίᾳ ϰαθίστηϰεισαν. τοσοῦτόν ὅτιν ἡ ἀρετὴ ἰσχύειν, ϰὲ ὅπως ἡ ϰαϰία ἀδενὲς, ὡς ἐϰείνην μὲν ἐν τῷ πάσχειν παρεισίνεσθαι, τοῦτον δ᾽ ἐν τῷ ποιεῖν τ᾽ οἰϰείαν ἀδένειαν ἐπιδείϰνυσθαι. Πρ. δ. ϰ.

Ὅπερ εἰδότες, ἀγαπητοὶ, πολλ᾽ τῆς ἀρετῆς ποιώμεθα λόγον, ϰὴ φεύγωμεν τὴν ΗΘΙΚΟΝ
ϰαϰίαν. ὅτω γὰρ ϰὴ τ᾽ αἰῶνα ἐπιτασσώμεθα ῥοπὴν, ϰὴ τῶν μελλόντων ἐπιτυγχάνωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι ϰὲ φιλανθρωπίᾳ τ᾽ ϰυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα ϰὲ ϰράτος, νῦν ϰὴ ἀεὶ, ϰὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νϐ. ΕΣΠΕΙΡΕ ΔΕ ΙΣΑΑΚ ΕΝ ΤΗ ΓΗ ΕΚΕΙΝΗ,
ϰὴ εὗρεν ἑϰατοστεύσαν ϰριθῶν ἐν τῷ σπαρῷ ἐϰείνῳ.

ΤΑ

ΤΑ λείψανα τῶν ἁγίων Εἰρηναίων ἀναγκαῖον ἀποδιῶναι σήμερον τῇ ὑμετέρᾳ ἀγάπῃ, καὶ τὸ λόγου τιμὴ ἀκολουθήσαι ἀναλαβόντας ἰδεῖν πάλιν Ⓦ δίκαιον Ισαάκ, ὅσης ἀπολαύει τῆς δι' ὧν ἔσχεν κηδεμονίας. ὁ γὰρ τὴν εἰς Αἴγυπτον καθοδον αὐτῷ διακωλύσας, καὶ εἰπών, παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ, ὕστερον αὐτὸν διὰ πολλῶν θαυμαστῶν ἀδίκησιν, ὡς μετὰ πολὺ ὀπτάφθονον αὐτὸν γενέσθαι τῷ διὰ βασιλεῖ Γεδώρων. ὁρώντες γὰρ αὐτὸν καθ' ἑκάστην ἡμέραν αὐξανόμενον τῇ εὐποιΐᾳ, ἐδεδοίκεισαν λοιπὸν τὴν αὐθρος τὴν αὐτοῦ κατοίκησιν, καὶ μετανάστασιν ἐκεῖθεν καταναγκάζουσιν. ἄξιον δὲ καὶ αὐτῷ διακοῦσαι τῶν ῥημάτων τῆς θείας γραφῆς, ἵνα διὰ πολλῶν θαυμάσωμεν τὴν Θεοῦ τοῦ εὐνοιαν· ἵνα δὲ καὶ σὺν αὐτῷ οἰκείως ὀπτιδείκνυται. 12 Ἔσπειρε δέ, φησιν, Ισαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύσαν κριθὴν ἐν ᾧ ἐνιαυτῷ ἐκείνῳ. Σκόπει μοι τὴν Θεοῦ τὴν σοφίαν· ἵνα δείξῃ τὸν δικαίῳ ὅτι δημιουργὸς ὢν τῆς φύσεως, καὶ ὅτι ἐξ ἀπόρων ποιεῖν δύναται, καὶ ὅτι καὶ ἐξ ἀρχῆς αὐτὸς τοῦ γένους τὸ οἰκείῳ τρόπῳ διήνειμε τοὺς τῶν καρπῶν βλάστην, Ⓦ δικαιοῦσας ἑκατονταπλασίονα τῶν ἐν αὐτῷ σπαρέντων· ὅτι τῆς γῆς κρείττονα τὰ δράγματα, ὁμοῦ καὶ αὐτὸν ἐν πλείονι καθιστᾶς εὐποιΐᾳ τὸν μηδενὸς ἐν χρείᾳ γενέσθαι, καὶ ἑκείνους διὰ τῶν ἔργων διδάσκων ὅσης ὁ δίκαιος ἀπολαύει τῆς δι' ὧν τροπῆς. εὐμήχανος γὰρ ὢν καὶ σοφός, διὰ τῶν αὐτῶν πολλάκις τρόπων καὶ τοῦ οἰκείους εὐεργετῆς, καὶ τοῦ ἐπὶ πεπλανημένοις διδάσκεσθαι τὸν διακαθαίρει τὸ οἰκείας τρόνοίας τὸ δυνάμιν. τοῦτο καὶ μετὰ ταῦτα καὶ τὸν Αἴγυπτον ἐποίησαν, ἐκείνοις μὲν διὰ ὠμοειδίας ἐπαγαγών, Ⓦ ὃ λαὸν τῶν Ισραηλιτῶν ἀπαλλῆ διαφυλάττων. ἐμεμάθηκον γὰρ ὁ μόνον διὰ τῆς κατ' αὐτῶν ἀγανακτήσεως τὸ τῶν ὅλων Θεοῦ καὶ δημιουργοῦ δύναμιν, ἀλλὰ καὶ διὰ τῆς τροφοίας τῆς εἰς ἐκείνους· καὶ ὅτοι πολὺν ὄκ ἐκ τῆς εἰς αὐτοὺς τροφοίας καὶ κηδεμονίας μόνον ἐδιδάσκοντο τὸ Θεοῦ τὸ καταβάλλουσαν τοῖς αὐτοῖς φιλανθρωπίαν, ἀλλὰ καὶ δι' ὧν ἐκείνους ἑώρων καθ' ἑκάστην ἡμέραν τὰς πληγὰς δεχομένους. ἐκ διὰ τῶν αὐτῶν τροπαίων καὶ τοῖς οἰκείοις καὶ τοῖς ἐναντίοις ἐδείκνυ τῆς οἰκείας δυνάμεως τὸν καταβολήν. καὶ γὰρ αὐτὰ τὰ στοιχεῖα τὸν πρὸς ἑαυτὸν διαχυνίαν καὶ τὸν ὑπακοὴν ὀπτιδείκνυται τοῖς ὁμοδούλοις, ὅταν ὁ δεσπότης εὐνοϊκῶς τοῖς αὐτοῦ" διάκειται. ἐκ τοῦτο δὲ τις θαυμάσειε τὸν ὅτι τὸ δικαίῳ τοῦτο. ὅπερ ἄλλοτε ἡ φύσις τῆς γῆς ὄκ ἐπεδείξατο, τοῦτο διὰ ὁ τροπαίων μείζων ἐγίνετο, ἕως ὃ μέγας ἐγένετο σφόδρα. Ἐπειδὴ γὰρ ὅτε ἐν τούτοις ἦν τὰ τῆς εὐποιΐας τοῖς δικαίοις, ἐν τῇ τῆς γῆς εὐετηρίᾳ, ἐν τῷ τῶν θρεμμάτων πλήθει, διὰ τοῦτό φησιν, εὐλόγησεν αὐτὸν ὁ Θεός, καὶ ὑψώθη ὁ δὲ θεσπος, καὶ ὃ, ἔπορος ἐγένετο· καὶ οὐχ ἁπλῶς ἔπορος, ἀλλὰ καὶ μείζων, φησιν, ἐγένετο σφόδρα. ἐννόησον γὰρ ὅσον ἦν ἑκατονταπλασίονα τῶν πρὸς αὐτὸν καταβαινομένων ἐκδέχεσθαι. εἰ δὲ τοσοῦτο μέγα φαίνεται, σκόπει τὸν ὀπτασιν τῆς Θεοῦ φιλανθρωπίας, ἵνα δὲ χρόνου προϊόντος πρὸς ἡμᾶς ἐπεδείξατο. τοῖς γὰρ μετὰ τὸν αὐτοῦ παρουσίαν τὸν ἀρετὴν μετιοῦσιν ὃ μόνον ἑκατονταπλασίονα ἐν ταύτῃ πρέχειν ὑπισχνῆται, ἀλλὰ καὶ τὸν αἰώνιον ζωὴν καὶ τὸν βασιλείαν τῶν οὐρανῶν εἰς ἀπόλαυσιν. Εἶδες φιλοτιμίαν δεσπότου, εἶδες ὀπτασιν εὐεργεσίας, εἶδες πόσον ἡμῖν κεχάρισται ἡ τοῦ μονογενοῦς πρόνοια, ὅπως ἀφατον τῶν

τροπαίων

πραγμάτων τὴν ἀνθρωπίνην ἐργάσατο. Τοῦτο οὖν ἕκαστος καθ' ἑαυτὸν λογιζόμενος, καὶ ὁρῶν τὴν ἀσφάλειαν, καὶ τίνα μὴν ἴσως, ἃ τοῖς πρὸ τῆς χάριτος πρέπει νουθετεῖται, τίνα δὲ μὴ τὴν χάριν, δοξάζετω καὶ τούτῳ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν, καὶ μὴ τῇ τῶν χειρόνων ἀνθρωπίνῃ δόξῃ πρὸς ἀφέτω. Ἀλλ' ὅτι τὴν ἀκηλιδωτίαν τοῦ λόγου ἐπιθυμήσῃ δίκαιον, καὶ ἰδεῖν ὅπως ⓐ οἱ Γεραρεῖς ὁρῶντες τὸ δικαίως τὸ πολλὴν εὐπρέπειαν, εἰς ζῆλον διηγέρθησαν, καὶ ἀπελαύνειν αὐτὸν ἐκεῖθεν ἐπεχείρησαν.

Ἐζήλωσαν γάρ, φησιν, αὐτὸν ⓐ Φυλιστιείμ. Εἶτα δείξαι βουλόμενος ἡ θεία γραφὴ οἱ τίνι ⓦ ζῆλον ἐπεδείκνυτο, ἐπήγαγε, 15 Καὶ πάντα ὅσα ὤρυξαν φρέατα ⓐ παῖδες οἱ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ, καὶ ἐνέπλησαν γῆς.

Σκόπει πόσον τὴν αὐθάδη καὶ κακίαν, ὡς τὴν ὑδάτων φθονῆσαι τοὺς δικαίους. καὶ οὐδὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ περιουσίᾳ καθεστὼς κατασχεῖν ⓦ φθόνον ἴσχυσεν, ἀλλά φησιν, ἀπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. πολλὴ ἡ ἀγνωμοσύνη. ἵνας γὰρ ἔνεκεν ἀπελαύνεις ⓦ δίκαιον; μὴ γὰρ ἐλυμήνατό τι τοῖς σοῖς; μὴ γὰρ ἠδίκησέ τι; ἀλλὰ τοιοῦτον ὁ φθόνος· οὐδὲν μετὰ λογισμοῦ πράττεται. δεῖ γὰρ αὐτὸν θαυμάζειν τοσαύτης εὐνοίας ἀπολαύοντα ⓦ δίκαιον τῶν τοῦ τῶν ὅλων Θεοῦ, μᾶλλον αἰδεῖσθαι, μᾶλλον θεραπεύειν, ἵνα μετὰ τοῦ εἰς ἀκραν ἡμᾶς ὑπασπάσηται καὶ αὐτὸς τὸ ἄνωθεν ῥοπήν· ὁ δὲ μόνον οὐ τοῦτο ποιῶν, ἀλλὰ καὶ ἀπελαύνειν ἐπιχειρῶν, 16 Καὶ φησιν, ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. Τοιοῦτον γὰρ ἡ βασκανία. οὐκ ἀνέχεται ὁρᾶν τὰ ἑτέρων εὐπραγοῦντα, ἀλλὰ τὰ τοῦ πλησίον εὐημερεῖν, οἰκείαν δυπραγοῦντα εἶναι νομίζει, καὶ τῆς τοῦ πλησίον ἀγαθοῖς. ὃ δὴ καὶ ἐνταῦθα γέγονεν. ὁ γὰρ βασιλεὺς, ὁ τῆς πόλεως ἁπάσης τὴν ἐξουσίαν ἔχων, καὶ πόθεν ἄνωθεν τὸ ἀπειλοῦν τὸ ἑαυτοῦ ἔχων, τῷ ξένῳ, τῷ ἀλήτῃ, καὶ ἐντεῦθεν ἐκβαλεῖν ὧδε μετὰ μισανθρωπίας φησὶν, ἄπελθε ἀπ' ἐμοῦ, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα. καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ἄνωθεν τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. πῶς τοίνυν ἀπελαύνεις τὸ δίκαιον; οὐκ οἶδα ὅτι, ὅπου δὴ αὐτὸ ἀπελθὸν συμβαίνῃ, ἐν τοῖς δεσπότου ἑαυτὸν εἶναι αὐτὸ ἀνάγκη; οὐκ ἐπαίδευσέ σε τὰ πραγμάτων ἡ πεῖρα, ὅτι ἡ τοῦ Θεοῦ χεὶρ ἐστιν, ἡ σκεπάζουσα τὸ δίκαιον καθιζῶσα; ἵνας οὖν ἔνεκεν, δι' ὧν τὸν δίκαιον ἀπελαύνεις, τὰ πρὸς τὸ αὐτοῦ δεσπότην ἀγνωμοσύνῃ ὑπεδείκνυσαι, καὶ οὐδὲ ἡ πολλὴ τοῦ ἀνδρὸς ὑπείκεια σε ἠμέλησε καὶ ἀδυνήθη τὸ βασκανίας τοῦ σοῦ, ἀλλ' ἠπιωθεὶς ἀπὸ τοῦ πάθους εἰς ἔργον ἀγαγεῖν ἀπειθοῦς τὸ φθόνου, καὶ πάλιν μετανάστην ἠμέλησε σκυβάζεις τὸ οὐδέν σε ἠδικηκότα; οὐκ οἶδας ὅτι καὶ εἰς αὐτὴν τὴν ἔρημον ἀπελθεῖν κατεναγκάσῃς, ὅπου θυμὴ χθόνιον ἔχει δεσπότην, ὡς καὶ ἐκεῖ ἡμόμενον πολλῷ πλέον σε ἀνέστερον αὐτὸν ἀποδείξαι; ὅδεν γὰρ ἰσχυρότερον τοῦ τῆς ἄνωθεν συμμαχίας ἀπολαύοντος, ὥσπερ οὐδὲν ἀσθενέστερον τοῦ τῆς ἐκεῖθεν βοηθείας ἠρημωμένου. Εἶδες, ἀγαπητὲ, καὶ τοῦ βασιλέως Γεραρων καὶ πάντων τῶν αὐτόθι οἰκούντων τῆς γνώμης τὴν μοχθηρίαν. ὅρα καὶ τοῦ δικαίου τὴν πολλὴν ὑπείκειαν, πῶς οὐκ ἐφείσατο μέγα, οὐδὲ ὁρῶν τὰ τῶν πραγμάτων πολλὴν τοῦ Θεοῦ τὴν ῥοπὴν ταῖς αὐτοῦ δυνάμεσι πεποιῆσθαι, ἀλλὰ καθάπερ τις ἀνὴρ καὶ ἀπροστάτευτος καὶ ὁπλοποίητος οὐδεμιᾶς ἀπολαύων βοηθείας, ὅτω μὴ πολλῆς τῆς ὑπείκειας, οὐδὲ μέχρι λόγων ἀντιτείνας τῷ βασιλεῖ, ἐποίει τὸ πρὸς αὐτὸν κελευόμενον, καὶ βαθέως ἐκεῖθεν ἀπανίστατο, καὶ πορρωτέρω ἐλαύνομενος, κατέστελλε τὸ πάθος τὴν φλόγα, ὁμοῦ καὶ τὴν ἐπαλλουσαν αὐτὸν ὑπείκειαν ἐνδεικνύμενος, καὶ ἐκεῖνο τὸ πάθος ἀποσβεννύμενος.

17 Καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ κατῴκησεν ἐν τῇ Φάραγγι Γεράρων.

Καὶ

Ματθ. ι. κγ. Καὶ ὅπερ ὁ Χριστὸς ποιῶν διετέλεσε τοῖς μαθηταῖς ἐπιτελλόμενος λέγων, Ὅταν διώκωσιν ὑμᾶς, φεύγετε εἰς ἑτέραν, τοῦτο καὶ οὗτοι ἤδη διὰ τῶν ἔργων ἐπλήρουν. καθάπερ Δαβὶδ τὸν Σαοὺλ τὸν πολιὸν φεύγων καταξέλλων, διὰ τῆς ἀναχωρήσεως ἑαυτὸν ἐπαγόμενον ἐκείνῳ τῷ πολλῷ παρεμυθεῖτο φλεγμονῇ, ⟨W⟩ αὖ ⟨W⟩ δὴ ἔφην ἐγὼ ὁ δίκαιος οὗτος ἐπλήρου τὸ Ρω. ιβ. ιθ. ἀποστολικὸν ἐκεῖνο λόγιον, Δότε τόπον τῇ ὀργῇ. καὶ καταλιπὼν τὴν πόλιν ἐξῆλθε, φησὶν, ἐν τῇ φάρσει. ἀλλ' ὅρα αὐτὸν καὶ ἐνταῦθα μετὰ πολλῆς τῆς ἐπιεικείας τὴν ἔνστασιν ἐνδεικνύμενον. οὐδὲ γὰρ μέχρι τούτου ἔστη τὰ δεινά, ἀλλὰ καὶ ἐνταῦθα ὠμοῦμαι καὶ τὰ φρέατα ὀρύξαι βαλόμενος μάχεσθαι ἐπεχείρησεν. 18 Ὤρυξε γὰρ, φησὶ, τὰ φρέατα, ἅπερ ἦσαν ⟨Q⟩ παῖδες τοῦ πατρὸς αὐτοῦ πεποιηκότες, καὶ ἐνέφραξαν αὐτὰ ⟨Q⟩ Φυλιστιείμ, καὶ ἐπέθηκεν αὐτοῖς τὰ ὀνόματα, ἅπερ ἐκεῖνος ὁ πατὴρ ἐθετείς. 19 Καὶ ὤρυξαν, φησὶν, ⟨Q⟩ παῖδες Ἰσαὰκ, καὶ εὗρον φρέαρ ὕδατος ζῶντος, Ἀντὶ τοῦ, κάτωθεν ἀναβλύζοντος. 20 Καὶ ἐμαχέσαντο ⟨Q⟩ ποιμένες Γεράρων, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ. Καὶ οὐδὲ ἐνταῦθα φιλονεικεῖ ὁ δίκαιος, οὐδὲ ἀντιτείνει, ἀλλὰ καὶ τοῖς ποιμέσι παραχωρεῖ. τοῦτο γὰρ ἀληθῶς ἐπιείκεια, ὄχ ὅταν τις παρὰ τὴν ἐν δυνατείᾳ ἀδικούμενος φέρῃ ῥᾳδίως, ἀλλ' ὅταν καὶ ἀπὸ τῶν νομιζομένων ἀπὸ δεξιτέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ. ἐνταῦθα μὲν γὰρ τὴν ἐπιείκειαν ἀν τις ὃ πρὸς λογίσαιτο τὸ ἐπηρεαζομένου, ἐκεῖ δ' ἴσως τις ἐρεῖ, διὰ τὸ μὴ δύνασθαι ἀντιτείνειν τὴν δυνατείαν τοῦ ἠδικηκότος, τὴν ἐπιείκειαν ἐπιδείκνυσθαι. ἀλλ' ἵνα μάθῃς ὅτι καὶ ἐπὶ τοῦ βασιλέως ὁ αὐτὸς τὴν ἐκείνου δυνατείαν ἐπεδείξατο τὴν ἐπιείκειαν, ἀλλὰ διὰ ⟨W⟩ οἰκεῖον ἔστω, ὅρα αὐτὸν καὶ ἐπὶ τῶν ποιμένων τὸ αὐτὸ ποιοῦντα. ὃ καθάπερ ἐκεῖνος ἔλεγε, ἀπελθὲ ἀφ' ἡμῶν, καὶ οὐδέπω καθάπερ ἐπίταγμα δεχόμενος ἀνεχώρει· ὅπου καὶ τῶν ποιμένων ἐπηρεάζειν ἐπιχειρούντων, καὶ τὸ φρέαρ οἰκειουμένων παραχωρεῖ. ὃ ἵνα διὰ συνεχοῦς ᾖ τοῖς μὴ ταῦτα ἡ γνῶσις τὰ ἀδικίας, ὄνομα ἐπιτίθησι τῷ φρέατι ἐκ τοῦ συμβεβηκότος. ὅθεν γὰρ φανερὸν ἐπεδείξαντο τὴν ἀδικίαν, Ἐχέλεσε, φησὶ, τὸ ὄνομα τοῦ φρέατος, [τόπου] ἀδικία.

Καὶ ἵνα λοιπὸν καθάπερ ἐν πλὴν χαλκῇ τὸ ὄνομα τοῦ τόπου διδασκαλία τοῖς ἐξῆς ᾖ τῆς τοῦ δικαίου ἐπιεικείας, καὶ τῆς ἐκείνων ἀγνωμοσύνης. τὸ γὰρ ὄνομα τοῦ τόπου ἕκαστον παρεσκεύαζε τὴν αἰτίαν τῆς παρασπορείας μανθάνοντα γινώσκειν τοῦ μὲν τὴν ἀρετὴν, τοῦ δὲ τῆς κακίας τὴν ἀφροσύνην. καὶ σκόπει πῶς καὶ οὗτος ἐπιτείνει τὸ οἰκεῖον ἀρετὴν, διὰ πάντων ἐπιδεικνὺς ἑαυτοῦ τὴν ἐπιείκειαν, καὶ ἐκείνοι τὴν ἀφροσύνην τῆς κακίας λαμπρὸν καὶ ἄκοντες πειρώνται ⟨W⟩ δίκαιον ἀποφαίνειν. οὐδὲ γὰρ ἀρχαζόντες, πάλιν ἕτεροι ὀρύξαντι φρέαρ ἐπιτίθενται. 21 Ἀπέρας γὰρ, φησὶν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον. ἐκείνοντο δὲ καὶ οὗτοι ἐκείνου. καὶ ἐπωνόμασεν αὐτὸ, ἐχθρία. Σκόπει πάλιν τοῦ δικαίου τὴν ζωήν. ἐνταῦθα μὲν πάντη ὡς ἔοικε τὸ φρέαρ ἀφείλοντο, ἀλλὰ διαμαχεσάμενοι, καὶ τοῦ τόπου φανὲς τῆς ἀδικίας ὁρῶντες ἀπέστησαν. διὰ τοῦτο ἐχθρία δὴ αὐτὸ προσηγόρευσεν, ὅτι ἔχθρας ἀφορμὰς κατέστη. ὃ καθ' ἑκάστην, ὡς ἐπεῖν, ὑπὸ τῶν ἐγχωρίων ζιζανίων ἐκομῶν οὐκ ἐδυσχέρανεν, οὐδὲ μακροθυμίαν τινὰ ἐπεδείξατο, οὐδὲ ἐνενόησε παρεῖναι ἑαυτὸν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ μέχρι φρεάτων ἀπολαύειν ἐμοὶ κύριος. ἆρα μὴ ἔρημος γέγονα τῆς αὐλῶν ῥοπῆς; ἆρα μὴ τῆς παρουσίας ἐστέρημαι τῆς παρὰ τοῦ δεσπότου; οὐδὲν τούτων ὅλως ἐνενόησεν, οὐκ ἐλογίσατο, ἀλλὰ μετὰ ἐπιεικείας ἀπαθοῦς ἀπῆλθε καὶ ταῦτα ἔφερε. διὰ τοῦτο καὶ πλείονος ἀπήλαυε τῆς αὐλῶν συμμαχίας. ταῦτα γὰρ, ὡς ἔφην, τὰ συμβαίνοντα γυμνάσια τῆς ἐκ τῆς τοῦ δικαίου ἀρετῆς.

κε Ἀπέρας γὰρ, φησὶν, ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ,

τῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτῦ βύρυχωεία, λέγων, ὅτι νῦν ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. Ὅσα βύγνωμοσυνίω τῦ διηγήσ. ἵνα μὴ ταῦτα πρέσβεια φρέατα ἐκεῖνοι πρὸς ἀπάσασθαι ἐπεχείρησαν, ὅτι ἐδυνήθησαν, ὅτι ἀντέτεινεν, ἀλλὰ μόνον τῇ προσηγορίᾳ τῶν φρεάτων ἀνεξάλειπτον τὸ μνήμιον τῆς ἐκείνων κακίας ἀνα-
5 πτέθει· ἐνταῦθα γὰρ πάλιν, ὅτι οὐδεὶς ἐμποδὼν γέγονεν, ἀλλὰ μετὰ ἀδείας πάσης τὰ οἰκεῖα πόνων ἀπήλαυνε, τὸ πρῶ αἰνετὸν τῷ Θεῷ. ἐκάλεσε γὰρ αὐτὸ, βύρυχωείαν. Εἶτα ἑρμηνεύει αὐτὸ τῷ προσηγορίᾳ· ὅτε τῦτε, φησὶν, εὐρυχωείαν ἔστο καλῶ, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ὅτι τῆς γῆς. Εἶδες γνώμην φιλόθεον, πῶς
10 τῶν ἐν μέσῳ δυσχερῶν ἀσθενείαν μνήμιον ποιησάμενος, τῶν χρηστῶν μόνον μεμνημένος, ἐκεῖνα τὸ βύχρηστον ἀναφέρει, καὶ φησὶν, ὅτι ἐπλάτυνε κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ὅτι τῆς γῆς. Ὅθεν καὶ ὅτως ὁ Θεὸς ἀποδέχεται, ὡς ψυχὴ βύγνώμονα καὶ βυχάειστον, καὶ μεία καθ' ἑκάστην ἡμέραν * βύεργετῶν καὶ ἐκόντας καὶ ἀκόντας καὶ ἀγνοοῦντας, ὅ-
15 δεν ἕτερον πρὸς ἡμᾶς ὅτι ζητῆ, ἢ ὃ χαίροντας εἰδέναι αὐτὸ ἐκ τῶν εἰς ἡμᾶς γεγενημένων, ἵνα δὲ ἐκ τύτων αὐτὸ πάλιν πλείονα τὰ ἀμοιβὴν ἡμῖν προσόχῃ. καὶ ἵνα μάθῃς, ὅσα ⟨W⟩ δίκαιον τῦτον δηλῶ τὸ πολλῶ αὐτὸ βύγνωμοσυνίω πάλιν τῆς ἀῤῥωδον ὅτιφανείας ἀξιύμενον. ὅτε γὰρ ἐκκῦσαν βασανον τῆς οἰκείας ἀρετῆς ἐπεδείξατο ὅτι τε τῶν ἐν Γεράροις, ὅτι τε τῦ βασιλέως ἀπωθυμένου αὐτὸν, ὅτι τε τῶν ποιμένων παροικούντων ἐκ φρέατα, ὥσπερ ὑδρῶσαν βυλόμενος αὐτὸ τὸ προθυμίαν ὁ φιλάνθρωπος δεσπότης, ἐκ τὴν ἐπιείκειας αὐτῦ ἀποδεχόμενος τὸ πολλῆς, 23 Ἐπειδὴ δὲ ἔδη
20 αὖθις ὅτι ὁ φρέαρ τῦ ὅρκυ, 24 Ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπε· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σῦ γάρ εἰμι, καὶ βυλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου.

Ὤφθη αὐτῷ, φησὶν, ἐν τῇ νυκτὶ ἐκείνῃ. σκόπει Θεοῦ κηδεμονίαν. ἵνα γὰρ αὐτὸν δυ-
25 σκτήσῃ, καὶ θαῤῥεῖν προδιασκευάσῃ, ὅτι φανήσεται αὐτῷ, καὶ φησὶν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τῦ πατρός σου, ὁ ⟨W⟩ πατέρα ⟨W⟩ σὸν ὅτι δόξον πεποιηκώς, ἐκ ἐν τοσαύτῃ προφανείᾳ κατα-
χωμεν. σήσας, καὶ ξένον ὄντα προφανέστερον τῶν ἐγχωρίων ἀπεργασάμενος. ἐγώ εἰμι σκήνος ὁ σκήνον ὕτως αὐξηθῆναι προδιασκευάσας, καὶ μεγάλην δόξαν πρώτων τὴν περὶ αὐτὸν
προνοιαν ὅτι δείξάμενος ἐγώ εἰμι. μὴ τοίνυν φοβοῦ. τί ὄφελ, μὴ φοβῦ; μή σε θαῦτα
ξενίζέτω, ὃ προδὰ τῦ Ἀβιμέλεχ ἐλαθῆναι, ὃ προδὰ τῶν ποιμένων ἀδικηθῆναι. πολ-
30 λὰ τοιαῦτα ἐκ ὁ πατὴρ ὁ σὸς πέπονθε, καὶ δι' ἃ τύτων λαμπρότερος δέδειχθη. μὴ τοίνυν θαῦμά σε φοβείτω. μετὰ σῦ γάρ εἰμι. δι' ὃ καὶ ἀχείρωτος ἔση, καὶ τῶν πολεμούντων δυνατώτερος, καὶ τὰ ἐπηρε-
35 άζόντων ἰσχυρότερος. καὶ ἡ μὲν πρὸς ἐμῦ προθυμία καὶ ὅτιφρονόν σε ἐργάσεται. μετὰ σῦ γάρ εἰμι, καὶ βυλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ ⟨W⟩ πατέρα σου. σκόπει Θεῦ φιλανθρωπίαν. Εἰπών, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τῦ πατρός σου, καὶ δείξας ὅπως ὠφειλήσατο ⟨W⟩ πατριάρχην, ὡς καταξιώσας Θεὸν ἑαυτὸν καλῶν Ἀβραὰμ, καὶ ὁ τῆς οἰκυμένης δεσπότης καὶ δημιυργὸς ἑνὸς δὴ θεφπτὸ φάσκειν εἶναι Θεός, ὃ συγκλείων
40 μέχρι τῦ πατριάρχου τὴν οἰκείαν δεσποτείαν, ἀλλὰ τὴν πολλὴν περὶ αὐτὸν βύνοιαν δείκνυς, ὅτε, φησὶν, αὐτὸν ὠφελησόμενον, ὡς πρώτων τῶν ἄλλων δυτάξιον σκήνος ἐμοὶ νομισθῆναι. δι' ὃ καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ ⟨W⟩ πατέρα σου. πολλὰς ὀφείλω χὰς ἀμοιβὰς σκείνῳ τῆς εἰς ἐμὲ ὑπαρχῆς· δι' σκήνος οὖν πληθυνῶ τὸ σπέρ-

μα σϑ. ὁμοῦ ϗ προεθάρρυνε Ⓦ δίκαιον, ϗ ἀζᾷ τῆς μνήμης τῦ πάθους εἰς ζῆλον αὐτὸν διήγαγε τῦ τὼ ὁμοίω ἐκείνῳ ἀρετὼ ὑπιδείξαδαι. Εἶπα ὅπῳ τοσαῦτα αὐτῷ ἀγαθὰ ὑπῆρχετο, 25 Ὠκοδόμησεν ἐκεῖ, φησι, θυσιαςήριον, ϗ ἐπεκαλέσατο τὸ ὄνομα κυρίϑ, ϗ ἔπηξεν ἐκεῖ τὼ σκηνὼ αὐτῦ. Τί ἐστιν ᾠκοδόμησεν ἐκεῖ θυσιαςήριον; ἐπὰς βυλομένης, φησὶν, ἐκεῖ ἀνήγαγε τῷ δεσπότῃ, ὑπὲρ ὧν τοσαύτῳ πρὸς αὐτὸν κηδεμονίαν ἐπεδείξατο. ϗ ὤρυξαν ἐκεῖ Ⓖ παῖδες Ισαὰκ φρέαρ. ἐν ἀδείᾳ λοιπὸν ὁ δίκαιος γίνεται. ὁ γὰρ Ἐλιπών, μᾶ σῦ εἰμι ἐγὼ εὐλογήσω σε ϗ πληθυνῶ τὸ σπέρμα σϑ, ἕως ἀ ἀρέσον αὐτῷ ϗ τὸ πρὸς φόβειαν ἐχρήσατο, ἐγὼ πᾶσιν αὐτὸν προέλεπτον γίνεσθαι πεποίηκεν. ὅρα γοῦν Ⓦ Ἀβιμέλεχ ἐκεῖνον Ⓦ ἐλάσας ὑπιχειρήσαντα ϗ εἰπόντα, ἄπελθε ἀφ' ἡμῶν, νῦν πρὸς αὐτὸν ἐρχόμενον. 26 Ἐπορεύθη γὰρ, φησιν, Ἀβιμέλεχ, ϗ ὁ νυμφαγωγὸς αὐτῦ ϗ ὁ ἀρχιστράτηγος. 27 Καὶ εἶπεν αὐτοῖς Ισαὰκ, ἵνα τί ἦλθετε πρὸς μέ; ὑμεῖς γὰρ ἐμισήσατέ με, ϗ ἀπεστείλατε ἀφ' ὑμῶν. 1 5 10

Θέα μοι πόση τῦ δικαίϑ ἡ παῤῥησία. ὁρῶν σὺν ἀπελάσαντας καὶ τοσοῦτον πρὸ αὐτὸν ὃ μῖσος ὑπιδειξαμένους, νῦν ἐν ταῖς ἱκετῶν πρὸς αὐτὸν ἀφικνουμένοις, οὐκ ἐφθέγξατο μέγα κατ' αὐτῶν, οὐδὲ ἐπήρθη τῷ ὀργίλῳ, ἔναυλον ἔχων τὼ μνήμω τῶν πρὸς τῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντων, οὐδὲ τῇ δυνάμει τοῦ δεσπότου πεποιϑὼς κατεξανίσασθαι τοῦ βασιλέως, ἀλλὰ πάλιν τὼ ζωὴν ὑπείκειδν ὑπιδεικνύμενος μᾶ πολλῆς πραΰτητος φησι πρὸς αὐτούς, ἵνα τί ἦλθετε πρὸς μέ; ὑμεῖς γὰρ ἐμισήσατέ με, ϗ ἀπεστείλατε ἀφ' ὑμῶν. τίνος ἕνεκεν, φησι, προσηλύσατε πρὸς μὲ κατεδέξασθε, Ⓦ ἐλαθέντα, Ⓦ μισηθέντα; 15 20

28 Καὶ εἶπαν, ἰδόντες ἑωράκαμεν ὅτι κύριος μᾶ σοῦ, ϗ εἴπαμεν, γενέσθω ὁρκὸς ἀνὰ μέσον ἡμῶν ϗ ἀνὰ μέσον σϑ, ϗ διαθησόμεθα διαθήκην μᾶ σοῦ, 29 Μὴ ποιήσειν μετ' ἐμῶν κακὸν, καθότι ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε, ϗ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς, οὕτως ἀπεστείλαμέν σε μετ' εἰρήνης, ϗ νῦν εὐλογημένος σὺ ὑπὸ κυρίου. Ὅρα πόση τῆς ὑπιεικείας ἡ ἰσχὺς, ϗ ὅση τῆς ἀρετῆς ἡ δυνάμις. Ⓖ γὰρ πρόθυμον ἐλάσαντες, 25 νῦν πρὸς προσηλυόμενοι πρὸς Ⓦ ξένον, πρὸς τ' ἀπόλιδα, πρὸς τ' ἀλήτην, ὑ μόνον ἀπολογοῦνται ὑπὲρ τῶν ἤδη γεγονημένων, ϗ συγνώμην αἰτοῦσιν ὑπὲρ τῶν ἡμαρτημένων, ἀλλὰ ϗ ἀναϗρύπτουσι τὸν δίκαιον, ϗ δεικνύουσι τ' ὑπιτεθέντα αὐτοῖς φόβον, ϗ ὁμολογοῦσι ϗ τ' οἰκείαν ἀσθένειαν, ϗ ᾧ δικαίῳ μεγάλων μαρτυρῆσαι τὼ δυνάμιν. τί γὰρ ἂν εἴη τούτου ἰσχυρότερον τῦ μεθ' ἑαυτοῦ τὸν Θεὸν ἔχοντος; ἰδόντες, φησὶν, ὅτι κύριος μᾶ σοῦ. 30 πόθεν ὑμῖν ἡ τοιαύτη γνῶσις; ναί, φησιν, αὐτὰ ἡμῖν ταῦτα τὰ πράγματα δηλονότι διδασκαλίας γέγονεν. Εἰδόμεν γὰρ ὅτι ἐλαυνόμενος τῷ ἐλαυνόντων ἰσχυρότερος γέγονας, ϗ ἐπηρεαζόμενος τῷ ἐπηρεαζόντων πρειγένησας, ϗ ἐκ τῆς τῷ πραγμάτων ἀκηδυΐας ζωείδομεν, ὅτι πολλῆς ἀπολαύεις τῆς δῴωθεν ῥοπῆς. τοῦτο γὰρ τῆς τῦ Θεοῦ οἰκονομίας ἔργον, ὃ τὼ δικαίων αὐτῷ ποιῆσαι καταπλαγῆναι Ⓦ δίκαιον, ϗ γνῶσιν ἐνεῖναι τοιαύτην. ἐπεὶ οὖν, φησιν, ἐγνώμεν ὅτι κύριος μᾶ σοῦ, γενέσθω ὁρκὸς ἀνὰ μέσον ἡμῶν. ὅρα πῶς ἐκ τοῦ ζωειδότος ὠδύμενοι, ϗ οὐδενὸς ἑτέρου καταναγκάζοντος, οὐδὲ τὰ γεγονημένα ὀζαγέλλοντος, αὐτοὶ ἑαυτοὺς ἐλέγχειν ἐπείγονται. Εἰ γὰρ μὴ ἠδικήσατέ, φησι, τίνος ἕνεκεν ϗ ζωήκατε ἀπαντᾶν τοῦ δικαίϑ; ἀλλὰ τοῦτόν ἐστιν ἡ ἀδικία. καθ' ἑκάστην ἡμέραν καταξαίνει ὁ ζωειδὸς, ϗ σιγῶντος τῦ ἠδικημένου Ⓐ τὼ ἀδικίαν ἐργασάμενοι τ' δίκῳ ἐφεσάναι νομίζοντες, ἐφ' ἑκάστης ἡμέρας σιαγώνιοι γίνονται, ϗ μονονοὺχὶ ὑποτρέφουσιν ἑαυτοῖς τὼ ἐνδίκησιν τῶν ἡμῦρτημένων. ὃ δὴ ϗ ὅτοι μαθόντες, ἡμέαθα, φησὶν, ἀρὰ ἀνὰ μέσον ἡμῶν ϗ ἀνὰ μέσον σϑ. Εἶπα λέγουσιν, ὑποίδω βάλον-

τας

τὴν γλῶτταν τ᾽ ἀδικίαν. καὶ Μὴ φοβοῦμαι μὴ σὺ, μὴ ποιήσειν μοὶ ἡμῶν κακόν, διὸπερ ἡμεῖς οὐκ ἐβδελυξάμεθά σε. ὅρα πῶς ἐναντία ἑαυτοῖς ἐστὶ τὰ ἀπὸ τοῦ θορύβου καὶ τῆς ἀγωνίας φθέγγονται, μὴ ποιήσειν μετ᾽ ἡμῶν κακόν. ἵνος ἕνεκεν δ᾽ τῶν φοβεῖσθε Ⓦ δίκαιον, ὁρῶντες καὶ πρὸς τοῦτ᾽ ἐπηρεάζοντας τοιαύτην τὴν ἀπειθείαν ἀπιδεικνύμενον; ἀλλ᾽ ὁ ἀδέκαστος δικαστὴς, ὁ Σωσιδὸς, αὐτοῦ διήγειρε, καὶ εἰς ἔννοιαν ἤρχοντο, ὅσῳ πρεῖ Ⓦ δίκαιον τὴν ἀγνωμοσύνην ἐπεδείξαντο, καὶ διὰ τοῦτο ἀπὸ τοῦ φόβου καὶ τῆς δειλίας δ᾽ Σωφρόσιν, ὅπως ἐναντία λέγουσι. μὴ ποιήσειν, φησὶ, κακὸν μεθ᾽ ἡμῶν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα. ἵνος οὖν ἕνεκεν ἀπηλάσατε; ἀλλ᾽ ὁ δίκαιος οὐκ ἀπαιτῆ βδιώσας, οὐδὲ ἐλέγχει τὰ περὶ αὐτῶν εἰρημένα. Σὺ οὖν εὔχου, φησὶν, ἐζητήσαμέν σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε μετ᾽ εἰρήνης, καὶ νῦν σὺ εὐλογημένος εἶναι κυρίου. ὁρᾶς ὅτι τ᾽ ἀνωθεν δίκαιον ἐδεδίεσαν. ἠδεισαν γὰρ ὅτι, καὶ εἰ αὐτὸς δι᾽ ἀπειθείαν μὴ ἀμύνηται τὰ εἰς αὐτὸν γεγενημένα, ἀλλ᾽ ὁ τοιαύτην πρεῖ αὐτὸν προθυμίαν ἀπιδεικνύμενος, βδιῶναι αὐτοῦ ἀπαιτήσει τῶν εἰς Ⓦ δίκαιον γεγενημένων. διὰ τοῦτο ἀξιουμενίζοντες τ᾽ δίκαιον καὶ σωθῆναι ἀπαιτῆν ἐπείγονται, ὁμοῦ καὶ ὑπὲρ τῶν ἤδη γεγενημένων ἀπολογούμενοι, ὡς ἐναρ
χ' ἀφημαι. 15 τῶν ἐξῆς τὴν ἀσφάλειαν ἑαυτοῖς πρεποιοῦμενοι.

30 Καὶ ἐποίησεν αὐτοῖς, φησὶ, δοχὴν, καὶ ἔφαγον ὡς ἔπιον, 31 καὶ ὀρθρίσαντες τῇ πρωΐ ὤμοσεν ἕκαστος πρὸς Ⓦ πλησίον αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς Ισαακ, καὶ ἀπῆλθοντο ἀπ᾽ αὐτοῦ μετ᾽ εὐφροσύνης. Ὅρα τὸ δικαίου τ᾽ φιλοφρόσυνον, πῶς ἀμνησικάκως αὐτοῖς διελέχθη, ὡς ὁ μόνον λήθην ἐποίησατο τῶν εἰς αὐτὸν γεγενημένων,
20 ἀλλὰ καὶ πολλὴν πρεῖ αὐτοὺς τὴν φιλοξενίαν ἀπιδείκνυται. ἐποίησε γὰρ, φησὶν, αὐτοῖς δοχὴν, ὡς ἔφαγον καὶ ἔπιον. διὰ τῆς ἑστιάσεως πλειοφορῆσαι αὐτοὺς βούλεται, ὡς οὐδεμίαν μνήμην ποιῆται τ᾽ εἰς αὐτὸν εἰργασμένων [ παρὰ αὐτῶν.] ὡς ἐξαπέστειλεν αὐτοὺς, φησὶ, καὶ ἀπῆλθοντο μετ᾽ εὐφροσύνης. ἠνίξατο δὲ τούτῳ ἡ θεία γραφὴ, ὅτι μετ᾽ πολλοῦ τ᾽ φόβου τ᾽ κινδύνου προσδοκῶντες παρεγένοντο, καὶ πρεῖ τ᾽ πάντος, ὡς εἶπον, ἀ-
25 γωνιῶντες τὴν πρὸς τ᾽ δίκαιον ἀπολογίαν ἔσπευσαν ποιήσασθαι. εἶδες πῶς οὐδὲν ἰσχυρότερον ἀρετῆς, οὐδὲ δυνατώτερον, πᾶς οὐδὲν ἀσφαλέστερον τ᾽ καὶ ἀνωθεν συμμαχίας ἀπολούοντος. Εἶτα 32 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, φησὶν, ἀπελθόντες Ⓓ παῖδες τ᾽ Ισαὰκ ὤρυξαν φρέαρ, καὶ εἶπαν, οὐχ εὕρομεν ὕδωρ. 33 Καὶ ἐκάλεσεν αὐτὸ, ὅρκον. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῇ πόλει, Φρέαρ ὅρκου, ἕως τῆς σήμερον
30 ἡμέρας. Ὅρα καὶ ἐν τούτοις ἐκ τῶν γεγενημένων τὴν προσηγορίαν αὐτὸν ἀπιτηδεύοντα ὡς ἔπος. ἐπὶ γὰρ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃ φρέαρ ὀρύξαντες οὐδὲν εὗρον, ἐν ᾗ τοῖς ὅρκοις ἐποίησαντο πρὸς ἀλλήλους, φρέαρ ὅρκου ἐπέθηκεν ὄνομα τῷ ἔπει, ἵνα ὑπόμνησις ᾖ τῶν γεγενημένων. εἶδες πῶς ὅτε τὴν ἀπὸ τ᾽ νόμου διδασκαλίαν ἔχων ὁ δίκαιος ὅτος, ὅτε πρὸς ἕτερον ἵνα ἰδεῖν ἔχων, ἀλλὰ τῷ πατρὶ κατακολουθήσας, καὶ ἀπὸ
35 τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ Σωσιδότι διδασκάλου ὁδηγούμενος, τοιαύτην φιλοσοφίαν ἐπεδείκνυτο. τὰ γὰρ γεγενημένα δ᾽ μόνον τὴν ἀπειθείαν ἐδείκνυ δ᾽ δικαίου τοῦτο, ἀλλὰ καὶ τὰ τ᾽ Χριστοῦ προλέγοντα δι᾽ αὐτῶν τῶν ἔργων αὐτὸν πληροῦντα ἀπέφηνε. καὶ ὅπερ ὁ Χριστὸς ἔλεγε διατιθέμενος τοῖς μαθηταῖς, καὶ προδιδασκων δ᾽ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾷν, ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς τὴν ἀγάπην ἀπιδείκνυσθαι, ὅτο Matth. 5 μδ.
40 ὅτος δίκαιος ἐπλήρου, καὶ πρὸς τὸν Ἰσαὰκ μῖσος πρεῖ αὐτὸν ἐσηκότας τοιαύτην ἐπεδείκνυτο τὴν φιλοξενίαν, καὶ ὃ τῆς μνησικακίας πάθος ἐξώκειζε τῆς ἑαυτοῦ ψυχῆς.

Τίνος οὖν δὴ εἵνεκεν ἡμᾶς συγγνώμης ἀξιοῖ, ἡμεῖς Ⓓ μετὰ τὴν χάριν, καὶ τ᾽ Ἰσαὰκ ΗΘΙΚΟΝ
τοιαύτην διδασκαλίαν, καὶ τὰ τ᾽ σωτῆρος προστάγματα, οὐδὲ ὃ αὐτὸ μέγιον ὡς δικαίῳ

τὰ τοῦτο φθάσαι δυνάμενοι; καὶ τί λέγω τὸ αὐτὸ μέτρον; ἀλλὰ μηδὲ ἐγγὺς ἕνεκα ἰσχύοντες; τοσαύτη γὰρ νῦν ἐπεπόλασε τῆς κακίας ἡ ὑπερβολή, ὡς ἀπάνιον εἶναι καὶ σὺν ἀγαπῶντας ἀγαπᾶν. πόθεν οὖν ἡμῖν ἔσαι σωτηρίας ἐλπίς, εἰ μέλλοιμεν καὶ τῶν τελωνῶν χείρους γίνεσθαι, καθὼς φησιν ὁ Χριστὸς λέγων, Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; καὶ ὁ μὲν Χριστὸς βουλόμενος ἡμᾶς εἰς τὸν ἄνω τοῦ πλούτου τῆς ἀρετῆς ἀνελθεῖν, ἐκείνων αὐτοὺς ἐποίησε βέλτιον· ἡμεῖς δὲ καὶ ἐκείνων ἐλάττους ἐσμὲν καὶ ἀνεύδοξοι. καὶ τί λέγω τελωνῶν; χείρους καὶ τῶν λῃστῶν καὶ τῶν τυμβωρύχων καὶ τῶν ἀνδροφόνων. καὶ γὰρ τούτων ἕκαστος πρὸς αὐτὸν ἀγαπητικῶς διακείμενον ἀγαπᾷ, καὶ πολλάκις καὶ κινδυνεύειν ὑπὲρ τοῦ ἀγαπητοῦ καταδέχεται. τί οὖν ἂν εἴη ἡμῶν ἐλεεινότερον, ὅταν τοσαύτης ἀξιωθέντες παρὰ τοῦ Θεοῦ φιλανθρωπίας, τῶν μυρία ἐργασαμένων καὶ βδελυσσομένων χείρους; σκυθρωποὶ τοίνυν, παρακαλῶ, καὶ τῆς ὑμετέρας τῆς ἐκεῖ γνώμης τὸ μέγεθος, καὶ τῆς ἀκμῆς τῆς ἐνταῦθα τὴν ὑπερβολήν, ὁπόταν ποτὲ τὴν οἰκείαν ὀπτησώμεθα διάνοιαν, καὶ πιεσθῶμεν τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, καὶ μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπῶμεν γνησίως, πᾶσαν βασκανίαν καὶ φθόνον ἐξορίζοντες τῆς ἑαυτῶν ψυχῆς, ἀλλὰ καὶ ἐξῃρωδῶς ἔχωμεν ὥστε πρὸς ἡμᾶς διακείμενοι, καὶ τούτους ἀγαπᾶν παυσάζωμεν (καὶ γὰρ οὐδὲ ἕτερος σωτηρίαν δυνατὸν ἡμᾶς μὴ τούτῳ ἑλκύσας τὴν ὁδὸν) καὶ μᾶλλον τῶν ἀγαπώντων ἡμᾶς τούτους ἀγαπᾶν παυσάζωμεν, ἅτε δὴ μυρίων ἡμῖν τῶν ἀγαθῶν πρόξενοις γινομένους. ὅπου γὰρ καὶ τῶν ἠμπτημένων ἡμῖν τὴν συγχώρησιν εὑρεσθαι δυνησόμεθα, καὶ μὴ κατισχυμένης διανοίας καὶ συντετριμμένης ψυχῆς τοὺς πρὸς τὸν Θεὸν ἱκετείας ποιεῖσθαι· ὅταν γὰρ ψυχὴ σκότος ἧπται πάσης ἀπιστείας, καὶ τὸν λογισμὸν σκληρίαν ἱδρυμένον ἔχῃ, μετὰ πολλῆς τῆς νήψεως τὸν δεσπότην καλοῦσα, πολλὴν ὑπισχνεῖται τὴν αἴνεσιν ῥᾳδίως· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετθ. ε. με:

## Λογ. ργ. ΗΝ ΔΕ ΗΣΑΥ ΕΤΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ, καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεηλὶ τοῦ Χεττα῀ου, καὶ τὴν Βασεμαθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαί῀ου, καὶ ἦσαν ἐπίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ. χ. Ιωηλ

Φερε καὶ σήμερον, εἰ δοκεῖ, τὰ ἐξῆς τῶν λόγων ἐπιβάντες κατὰ τὸ ἡμῖν ἐγχωροῦν ἀναπτύξωμεν ἕκαστον τῶν γεγραμμένων, ἵνα τὴν ἐντεῦθεν ὠφέλειαν καρπωσάμενοι, ὅπως οἴκαδε ἀναχωρήσωμεν. ἴδωμεν τοίνυν τὴν ἀρχὴν τῶν ἀνεγνωσμένων. 34 Ἦν δὲ Ἡσαῦ, φησίν, ἐτῶν μ', καὶ ἔλαβε τὴν Ἰουδὶθ θυγατέρα Βεηλὶ τοῦ Χεττα῀ου, καὶ τὴν Βασεμαθ θυγατέρα Ἐλὼμ τοῦ Εὐαί῀ου, 35 καὶ ἦσαν ἐπίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ρεβέκκᾳ. χ. Ιωηλ

Ὅρα πόσα ἐκ τῶν ὀλίγων τούτων ῥημάτων δεῖ καταμαθεῖν. τίνος γὰρ ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἡσαῦ ἐσήμανεν, οὐχ ἁπλῶς, ἀλλ' ἵνα εἰλικρινῶς καταμάθωμεν τὸν Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν ἀσθενεκὼς ἦν. ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν ἀριθμῶν, καὶ ὅτι νήπια μὲν ἔλαβε τὴν Ρεβέκκαν, καὶ αὐτὸς μὲν ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ξ ἐτῶν ἦν, εἰσόμεθα, ὅτι νῦν ὑπὲρ λοιπὸν ἔτους ὑπάρχων ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. ὅπερ γὰρ μέλλει μετ' οὐ πολὺ διηγεῖσθαι ἡμῖν, ὡς τοῦ γήρους

ἀμβλυτέρας

ἀμβλυτέρας ἔσχε τὰς ὄψεις, ἀφ' οὗ τοῦτο τῶν ἐτῶν τοῦ Ησαῦ ⟨W⟩ ἀριθμὸν ἐσήμανεν, ἵνα σὺ τεῦθεν εἰδέναι ἔχωμεν ἀκριβῶς τοῦ Ισαὰκ τὸ χρόνον. ἀφ' τούτου ἐλεγμ, ἵν' ὁ Ησαῦ ἐτῶν μ΄. εἶτα ἵνα μάθωμεν τοῦ παιδὸς τὴν ἀρετὴν, καὶ ὅτι ἀφ' ἑαυτῶν, ὧν οὐκ ἐχρῆν, τὰς γαμετὰς ἠγάγετο, ἐδήλωσεν ἡμῖν ὅτι ἡ μὲν οὐκ ἐκ τοῦ γένους τῶν Χετταίων ἦν, ἡ δὲ οὐκ ἐκ τῶν Εὐαίων. καίτοι γε ἐχρῆν αὐτὸν μαθόντα, ὅσον ἀπεδοκίμαζε ὁ πατριάρχης ἐποιήσατο ἀφορμὴν ὁ παῖς τοῦ ἑαυτοῦ, ὥστε οὐκ ἐκ τῆς φυλῆς αὐτοῦ γαμετὴν τοῦ Ισαὰκ ἐνέγκαι, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἡ Ρεβέκκα οὐκ ἐκ τῆς Χαρρᾶν ὥρμητο, μηδὲν τοιοῦτον βουλεύσασθαι. ἀλλ' ἵνα οὐκ ἀποιμίαν δείξῃ τῶν οἰκείων ζώντων τὸ ἀτακτον, ἀπολαβὼν ἐκείνας ἠγάγετο. ⟨C⟩ ἵνα μάθωμεν τῆς γυναικὸς τὸ δύσροπον, φησὶν ἡ γραφὴ, καὶ ἦσαν ἐρίζουσαι τοῦ Ισαὰκ ⟨C⟩ τῇ Ρεβέκκᾳ. καὶ τί ἂν εἴη ταύτης τῆς μοχθηρίας χαλεπώτερον; ὅταν αἱ πᾶσαν ὁμιλίαν ἀπονέμειν ὀφείλουσαι, μὴ μόνον τοῦτο μὴ ποιῶσιν, ἀλλὰ καὶ πρὸς φιλονεικίαν ἀποσκευάζωνται. ταῦτα δὲ πάντα οὐκ ἁπλῶς ἡμῖν ἡ ἱστορία σημαίνει, ἀλλ' ἵνα μὴ ταῦτα ἐπιδείκνυσθαι τῆς Ρεβέκκας πρὸς ⟨W⟩ Ιακὼβ πολλῷ τῷ ἐὐνοιαν ἐπιδεικνυμένῳ, μάθῃς ὡς οὐκ ἀπεικὸς πρᾶγμα διεπράττετο. τέως δὲ ἵνα μὴ τὴν ἀκολουθίαν πρὸφθάσωμεν, αὖθις ἐπάνοδα τοῖς γεγραμμένοις.

1 Ἐλύετο δὲ μὴ τὸ γενέσαι ⟨W⟩ Ισαὰκ, ⟨C⟩ ἠμβλύωθησαν ⟨Q⟩ ὀφθαλμοὶ αὐτοῦ τοῦ χξ΄. κξ. ὁρᾶν. Οὐκ ἐπὶ γὰρ, φησὶν, τοῦ γήρως ὁρᾶν ἠδυνάτει. Καὶ καλέσας Ησαῦ ⟨W⟩ τὸν υἱὸν αὐτοῦ ⟨W⟩ πρεσβύτερον, ⟨C⟩ εἶπεν αὐτῷ, τέκνον μου, 2 Ιδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου. 3 Νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τόν τε φαρέτραν καὶ τὸ τόξον, ⟨C⟩ ἔξελθε εἰς τὸ πεδίον, 4 καὶ θήρευσόν μοι θήραν, ⟨C⟩ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγὼ, καὶ ἐνέγκέ μοι ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἢ ἀποθανεῖν με. Ενταῦθά μοι σκέψει, ἀγαπητὲ, τὸν ἀφανῆ τοῦ Θεοῦ σοφίαν, καὶ ὅπως ὁ μὲν πατὴρ, τὸν φυσικὸν φιλοσοργίαν ἐπιδεικνύμενος, ταῦτα διετάξατο τῷ Ησαῦ· ὁ δὲ σοφὸς καὶ εὐμήχανος δεσπότης ἀφ' τῆς Ρεβέκκας τὸν οἰκείαν πρόρρησιν εἰς ἔργον ἄξειν ἐπιθυμίαν ἐπιδεικνύμενος, διδάσκων ἡμᾶς ὅση τῆς ἀρετῆς ἡ ἰσχὺς ⟨C⟩ τῆς τῶν ζώντων ἐπιεικείας. καὶ γὰρ σκῆνος μὲν καὶ ἀπὸ τῶν προστοκίων, καὶ ἀπὸ τῆς τοῦ παιδὸς πρὸς αὐτὸν ἀφ' ὑπνου τὰ πρωτεῖα ἔχειν νομίζων, ἀληθοῦς ἀπάντων ἔρημος ἠυρίσκετο, ὅπου γε μὴ ἑαυτῷ εἰσενέκθη οὐκ ἠθέλησεν· οὗτος δὲ ὅπου οἴκοθεν ἰὼν ἐπάρετος, καὶ τὸν ἄνωθεν εἰληχὼς ροπὸν συμμαχοῦσαν αὐτῷ, καὶ ἀκόντος τοῦ παιδὸς τὸν πρὸς αὐτοῦ εὐλογίαν ἐπιπάσας. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ πρὸς τῆς δίκαιας ἐπείσης βοηθοῦντος. ὅρα γοῦν ἀκριβῶς ἅπαντα, ἵνα μάθῃς τῆς οἰκονομίας τὸν ἀκριβολογίαν, καὶ πῶς ὁ μὲν τῆς ἐκ θεοῦ πολλῆς ἐν ἅπασιν ἀξιοῦται τῆς συνεργίας, ὥστε τὸν τοῦ παιδὸς εὐλογίαν εἰς αὐτὸν μετενεχθῆναι· ὁ δὲ πάντων ἀμαρτάνει, προδεδομένος οἰκοθεν πρὸς τὸν τῶν ζώντων μοχθηρίαν. 5 Ρεβέκκα δὲ, φησὶν, ἤκουσε λαλοῦντος Ισαὰκ πρὸς Ησαῦ ⟨W⟩ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ησαῦ εἰς τὸ πεδίον θηρεύσαι θήραν τῷ πατρὶ αὐτοῦ. 6 Εἶπε δὲ Ρεβέκκα πρὸς τὸν υἱὸν αὐτῆς τὸν Ιακώβ. Διὰ τί προσέθηκε ⟨W⟩ Ελφατω; ὅπου ἀνωτέρω εἶπεν, ὅτι καλέσει Ισαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, ἵνα μάθωμεν τίνι νοῦν ἀφ' ἑλέσθαι ἡ Ρεβέκκα, φησὶ πρὸς ⟨W⟩ Ελφατω, τοῦτ' ἔστι τὸν Ιακώβ. Ιδοὺ ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ησαῦ τὸν ἀδελφόν σου, καὶ λέγοντος, 7 Ἐνεγκέ μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φάγων εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. Ταῦτα οὖν ἤκουσα τοῦ πατρός σου πρὸς ⟨W⟩ ἀδελφόν σου ⟨W⟩ Ησαῦ ἀφαλεγομένου. 8 Νῦν οὖν υἱέ ἄκουέ μου καθὰ σοι ἐγὼ ἐντέλλομαι, 9 καὶ πορευθεὶς εἰς τὰ

ποίβατα λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ, 10 καὶ εἰσοίσεις τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. Ὁρᾷς μηδὲν φιλοσοφίαν, μᾶλλον δὲ θεοῦ οἰκονομίαν. αὐτὸς γὰρ ἐκεῖνον ὁ καὶ ταύτην τὴν συμβουλὴν διεγείρων, καὶ τὸ πρᾶγμα κατορθωθῆναι ποιῶν. εἶδες τῆς μητρὸς τὴν ἀεὶ σὺν συμβουλίᾳ. ὁρᾷς καὶ τὸν Ἰακὼβ τὸ πρέπον σκεμμένον, καὶ ὅπως δεῖ τῆς ἀποκρίσεως τὴν οἰκείαν ἔκφασιν δείκνυσι τῷ ὑποκειμένῳ.

11 Εἶπε γάρ, φησι, πρὸς τὴν μητέρα αὐτοῦ· ἔστιν ὁ ἀδελφός μου Ἡσαῦ ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. 12 Μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐμαυτῷ κατάραν, καὶ οὐκ εὐλογήσω.

Πολλὴ τοῦ παιδὸς ἡ εὐγνωμοσύνη, καὶ ἡ πρὸς τὸν πατέρα αἰδώς. δέδοικά, φησι, μὴ εἰς τὸ ἐναντίον μοι τὰ τῆς συμφορᾶς ἐπέλθοι, μὴ δόξω ἐναντιοῦσθαι τῇ τοῦ πατρὸς γνώμῃ, καὶ ἀντὶ τῆς εὐλογίας κατάραν ὑποπαράσωμαι. τί οὖν ἡ Ῥεβέκκα ἡ θαυμασία καὶ φιλόσοφος; ὅτι οὐκ ἀπὸ οἰκείας γνώμης μόνον τοῦτο διεπράξατο, ἀλλὰ καὶ τῇ ἄνωθεν ὑπηρετεῖτο προρρήσει, πᾶσαν συμβολὴν ποιεῖται τὸν φόβον ἐκβαλεῖν τοῦ παιδὸς, καὶ θάρσος ἐνθεῖναι, ὥστε τὴν συμβουλὴν εἰς ἔργον ἀγαγεῖν. καὶ οὐχ ὑπωπτεύετο αὐτῷ ὅλη διωκίσεται τὴν πάλαι κρούσασθαι τὸν πατέρα καὶ λαθεῖν, ἀλλά τί;

13 Ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον· μόνον ὑπάκουσον τῆς φωνῆς μου, καὶ πορευθεὶς ἐνεγκέ μοι. Καὶν γένηται τοιοῦτόν τι, φησὶν, ὀφθεὶς αὐτὸς πάλαι λαβέσθαι. μὴ τοίνυν δείσῃς, ἀλλὰ θαρρῶν ὑπάκουσόν μου τῆς φωνῆς, καὶ ποίει ἃ πρὸς ἐμοῦ σοι συμβεβουλευμένα. τοῦτο ἀληθῶς φιλοσοφία μὴ δεῖς, ὃ ὑπὲρ τοῦ παιδὸς ἑτοίμως ἅπαντα καταδέχεται. ταῦτα εἰποῦσα ἴσχυεν ἐκβαλεῖν τοῦ παιδὸς τὸν φόβον. 14 Καὶ πορευθεὶς ἔλαβε καὶ ἐνέγκε τῇ μητρὶ αὐτοῦ, καὶ ἐποίησεν ἐδέσματα καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ.

15 Καὶ λαβοῦσα, φησὶν, ἡ Ῥεβέκκα τὰ ἱμάτια τοῦ υἱοῦ αὐτῆς τὰ πρεσβυτέρου τοῦ καλοῦ, ἃ ἦν πρὸς αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον,

16 Καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκε περὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ, 17 Καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ. Θέα μοι ἐνταῦθα τῆς Ῥεβέκκας μετὰ τῆς φιλοσοφίας καὶ τοῦ πολλοῦ σοφίσματος. ὅπερ γὰρ εἶπεν ἀνωτέρω, ὅτι ὁ μὲν ἦν δασύς, ὁ δὲ λεῖος, τοῦτο, φησὶν, ἐνέδυσεν αὐτὸν τοῦ Ἡσαῦ, καὶ τὰ δέρματα περιέθηκεν αὐτῷ, καὶ πόθεν ἔλαβε σημήνασα αὐτόν, ὡς τοῦ ἀπάτου εἰς ἔργον ἐλθεῖν, ὅσα τὰ ἐδέσματα καὶ τοὺς ἄρτους εἰς τὰς χεῖρας, προεσκεύασε προσαγαγεῖν τῷ πατρί. σκόπει μοι πάλιν ἐνταῦθα πῶς τῆς φύσεως χαίρειν ἐᾷ τὸ πρᾶγμα. ὅταν γὰρ ἡμεῖς τὰ πρὸς ἑαυτοὺς εἰσενέγκωμεν, δαψιλῶς ἀπολαύσομεν καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργίας. ἵνα γὰρ μὴ ῥᾳθυμῶμεν, μηδὲ ἀναπεπωκότες ὦμεν, βούλεται καὶ ἡμᾶς τι συνεισφέρειν, ἵν' ὅτου καὶ τὰ πρὸς ἑαυτοὺς ἐπιδείξηται· καὶ ὅτε τὸ πρᾶγμα τῆς φύσεως γίνεται βοηθείας, ἀλλὰ δεῖ καὶ ἡμᾶς τι συνεισενεγκεῖν, ὅτε πρὸς ἡμᾶς πάλιν ἀπαιτεῖ τὸ πρᾶγμα, εἰδὼς τῆς ἡμετέρας ἀθενείας τὸν ὑπερβολὴν, ἀλλὰ τὴν οἰκείαν φιλανθρωπίαν μιμούμενος, καὶ βουλόμενος ἀφορμήν τινα λαβεῖν, ὥστε τὴν οἰκείαν φιλοτιμίαν ἐπιδείξασθαι, ἀναμένει καὶ πρὸς ἡμᾶς εἰσενεχθῆναι. ὅπερ καὶ νῦν γεγένηται. ὅπερ γὰρ καὶ ὁ Ἰακὼβ καὶ ἡ Ῥεβέκκα, ἅπερ ἐζήτουν ἀφ' ἑαυτῶν γενέσθαι, πεποιήκασι, καὶ ὁ μὲν ὑπήκουσε τῆς συμβουλῆς τῆς μητρὸς, ἡ δὲ καὶ πρὸς ἑαυτὴν πάντα ἐπλήρωσε, ὅτε λοιπὸν καὶ ὁ ἀγαθὸς δεσπότης τὸ πρᾶγμα διαφερέστερον τοῦτο μετὰ εὐκολίας ἀναθῶν πεποίηκε, τὸ μὴ γενέσθαι καταδηλον τῆς ἀπάτης τὸ δρᾶμα τῷ Ἰσαάκ. ὅπερ γὰρ πρεσπέπεγκε τὰ ἐδέσματα

τῷ

τῷ πατρὶ, 19 Εἶπε, Ἰὰς ἐγὼ σὺ τέκνον; καὶ εἶπεν Ιακὼβ τῷ πατρὶ αὐτοῦ, ἐγὼ εἰμι Ησαῦ ὁ υἱός σου ὁ πρωτότοκος. πεποίηκά σοι, καθὰ λελάληκάς μοι. ἀνάστας κάθισον, καὶ φάγε ἐκ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. Ἐννόει μοι μοῦ ὅσα; ἀ-
γνοίας ταῦτα ἐφθέγξατο ὁ Ιακώβ. ὁ γὰρ ἐν πρωϊσμοῖς εἶπὼν τῇ μητρὶ, φοβοῦμαι
5 μὴ ἐπάξω ἐμαυτῷ κατάραν καὶ οὐκ εὐλογήθω, νῦν ἐν ὅσῳ φόβῳ καθεζήσηται τοσοῦτον
δρᾶμα ὑποκρινόμενος; ἀλλ' ὅπερ Θεὸς ἰῶ ὁ συνεργῶν τοῖς γνωμίοις, ἅπαντα εἰς
ἔργον ἄξηται. Τί οὖν, φῂ εἴποις, ὡς ψεύδεται τῷ τοιούτῳ Θεὸς συμπράττων; μὴ ἁπλῶς
ἄξεταζε τὸ γνόμιον, ἀγαπητέ, ἀλλὰ σκοπὸν κατάμαθε, καὶ ὅτι ἀ βιωτικῆς
ἕνεκέν τινος πλεονεξίας τοῦτο ἐγίνετο, ἀλλὰ τῆς παλαιᾶς τοῦ εὐλογίου ὑπεραίρα-
10 σθαι ἐσπούδαζεν. ἄλλως γὰρ εἰ μέλλοις ἁπλῶς τὰ γνόμενα ἐξετάζειν, καὶ μὴ τὸν σκοπὸν
πάντα χρὴ ὑπιζητεῖν, ὥρα σοι καὶ τὸν πατριάρχην παλαιστὴν ὀνομάζειν, καὶ Φινεὲς
ὑδροφόνον. ἀλλ' οὔτε ὁ πάλαιστὴς παλαιστὴς, ἀλλὰ καὶ λίαν φιλόστοργος, εἰ καί τις ἄλλος, οὔτε
οὗτος ὑδροφόνος, ἀλλὰ τὸ μᾶλλον καὶ ἄγαν ζηλωτής. ἐκάτερος γὰρ αὐτῶν τὸ δοκοῦν τῷ
Θεῷ διεπράττετο. διόπερ ὁ μὲν πάλαι τοῦ Ιακὼβ πολλῆς ἀξιοῦται τῆς ὠδῆς ἀ-
15 μοιβῆς· ὁ δὲ ἀεὶ Φινεὲς ζῆλον ἀνακηρύττεται. Εἶτα γάρ, φησι, Φινεὲς, ἐξεδικάσατο. Εἰ τοί- Ψαλ. ρε. λ.
νυν φόνος ὑδροκίμησε, καὶ παλαιστὴν ἐν ἐκείνοις, ὅπερ καὶ τοῦ Θεοῦ γνώμῃ ἐλήφοντο, καὶ
ἐν τοῖς γεγενῆσι πρωτέχρωμεν, ἀλλὰ τῷ σκοπῷ τῶν γνομένων, καὶ τῇ τῶν πεποικότων γνώ-
μῃ, πολλῷ μᾶλλον καὶ ἐν τούτοις τοῦτο λογίζεσθαι χρή. μὴ τοίνυν τοῦτο σκόπει, ὅτι ψεύ-
δος ἰῶ τὰ λεγόμενα πρὸς τὸν Ιακὼβ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι βουλόμενος ὁ Θεὸς εἰς
20 ἔργον τὴν προῤῥησιν αὐτοῦ ἀγαγεῖν, ἅπαντα ὅπως οἰκονόμησε γένεσθαι. ἵνα μάθῃς ὅ-
τι ὁ Θεὸς ἰῶ ὁ πάντα ἐξευμαρίζων, καὶ τὰ δύσκολα εὔκολα ποιῶν, ὅρα πῶς ὁ δίκαιος
οὐκ ἠδυνήθη συνιδεῖν τὴν ἀπάτην, ἀλλὰ καὶ πείθεται τοῖς πρὸς τὸν Ιακὼβ ῥηθεῖσι, καὶ
ἀπολαύσας τῶν ἐδεσμάτων ἀμείβεται αὐτὸν ταῖς εὐλογίαις· καὶ ὅ προτερον προσγίνε-
ται ἀπὸ τῆς θήρας ὁ Ησαῦ, μέχρις ὅτε πάντα τέλος ἔλαβεν, ἵνα πρὸς πάντων γνῶμεν
25 ὅτι τοῦ Θεοῦ γνώμῃ τὸ γνόμενον ἰῶ. 20 Εἶπε δέ, φησιν, Ισαὰκ, τί τοῦτο ὅτι
ταχὺ εὗρες ὦ τέκνον; ὁ δὲ εἶπεν, ὁ προέδωκε κύριος ὁ Θεός σου ἐναντίον ἐμοῦ.

Ἔτι ἀγωνίως εἰσήκει ὁ Ιακὼβ καὶ ἤυξετο αὐτῷ τὰ τοῦ φόβου, καὶ πάντα ἐγίνετο,
ἵνα μάθωμεν δι' αὐτῶν ὅτι ὁ φιλάνθρωπος δεσπότης οὐχ ἁπλῶς τὴν οἰκείαν ὑποδείκνυται πρόνοιαν, ἀλλ' μὴ πολλῷ ἴδῃ καὶ τὴν πρὸς ἡμᾶς θερμότητα γνομένων. μὴ γάρ μοι
30 παραδράμῃς, ἀγαπητέ, τοῦτον νῦν ἀγῶνα, ἀλλὰ σκόπει ὅτι καὶ τοῦ πάντως ἰῶ
αὐτῷ ὁ κίνδυνος, καὶ ἐδεδοίκει καὶ ἔτρεμε μὴ δι' εὐλογίαν καταρᾶς ὑπαὐθυμος γένηται.
Εἶπά φησιν, 21 Εἶπε δὲ Ισαὰκ, ἔγγισόν μοι καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ
υἱός μου Ησαῦ, ἢ οὔ. Ἀπὸ γὰρ τῆς φωνῆς ῥέμα πως ἐνεδοίαζεν ὁ δίκαιος. ἀλλ' ἐ-
πειδὴ ἐχρῆν τὴν οἰκονομίαν εἰς ἔργον ἐξελθεῖν, οὐ συνεχωρήθη συνιδεῖν τὰ ἀπάτην.
35 22 Ἤγγισε δέ, φησιν, Ιακὼβ, καὶ ἐψηλάφησεν αὐτόν, καὶ εἶπεν, ἡ μὲν φωνὴ, φωνὴ Ια-
κὼβ· αἱ δὲ χεῖρες, χεῖρες Ησαῦ. καὶ οὐκ ἐπέγνω αὐτόν. Ὅρα πῶς δείκνυται ὅτι τὰ
τοῦ Θεοῦ χαίροντος ἰῶ ὁ πρῶ, τῆς προσκυναγούσης καὶ αὐτὸν μηδὲν τῶν γνομένων συνι-
δεῖν, καὶ ὡς Ιακὼβ ἀπολαύσας τῆς πατρικῆς εὐλογίας, 23 Καὶ οὐκ ἐπέγνω
αὐτόν, φησιν. ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ησαῦ. καὶ εἶπεν, 24 Εἰ σὺ
40 εἶ ὁ υἱός μου Ησαῦ; Ὅρα πάλιν πῶς δείκνυσιν ἡ θεία γραφὴ, ὅτι ἐδίσταζεν ὁ δίκαιος· εἶπε
γὰρ, Εἰ σὺ εἶ ὁ υἱός μου Ησαῦ; ἵνα καὶ σὺ τούτου πάλιν γνῶμεν, ὅτι ὁ πατὴρ μὲν πεπλη-
σθεὶς τῇ φυσικῇ φιλοστοργίᾳ ἅπαντα διεπράττετο· ὁ δὲ Θεὸς ὁ τὰ μέλλοντα προορῶν, καὶ
ἀπὸ τῆς τῶν ἔργων ἀρετῆς χαρακτηρίζων καὶ δεικνὺς σὺν ἑαυτῷ θεράποντας, ὅπως ἅ-

πάντα

πθμτα οἰχνομεῖ. Καὶ Εἶπέ, φησιν, ἐγώ. Ἐπειδὴ γὰρ Εἶπεν, Εἰ σὺ Εἶ ὁ υἱός μου Ησαῦ; καὶ Εἶπεν, ἐγώ, 25 Εἶπε, προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνου, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. Μόλις ποτὲ τῆς ἀγωνίας λοιπὸν ἀπηλλάγη ὁ Ιακώβ, Καὶ προσήνεγκε τῷ πατρὶ τὰ ἐδέσματα, καὶ Εἰσηνέγκεν οἶνον, καὶ ἔπιε, 26 Καὶ Εἶπεν αὐτῷ, ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον. 5

27 Καὶ ἐγγίσας ἐφίλησεν αὐτὸν, καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ Εἶπεν.

Ὅρα τῆς θείας γραφῆς τὴν ἀκρίβειαν. Ὅπως ἠρώτησεν, Εἰ σὺ Εἶ Ησαῦ; καὶ Εἶπεν, ἐγὼ, καὶ πάλιν ἐψηλάφησεν αὐτὸν, καὶ ἠρέμα πῶς διεδίαζεν ἀπὸ τῆς φωνῆς εἰς ἀποκρισιν ἵνα ἐμπεσών, καὶ πάλιν ἠρώτησεν, Εἰ σὺ Εἶ ὁ υἱός μου Ησαῦ; καὶ Εἶ- 10 Ιν. πεν, ἐγὼ, Εἶτα προσώνεγκεν αὐτῷ, καὶ ἔφαγε· εἶτε, φησὶν, ἐφίλησεν αὐτὸν καὶ εὐλόγησεν αὐτόν. ἵνα μὴ νομίσῃ τις ὅτι εἰς ὃ τῆς Ησαῦ προσωπον τὴν εὐλογίαν ἐποιήσατο, ἀλλ' εἰς ἐκεῖνον τὸν διὰ αὐτοῦ φιλανθρωπίαν, διὰ τοῦτο ἐμνημόνευσεν ἡ θεία γραφὴ, ὅτι καὶ ἐφίλησε, καὶ εὐλόγησεν ἐκεῖνον τὸν διὰ αὐτοῦ φιλανθρωπίαν. ὠσφράνθη δὲ, φησιν, τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν, καὶ Εἶπεν. Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, 15 ὡς ὀσμὴ ἀγροῦ πλήρους, οὗ ηὐλόγησε κύριος· 28 Καὶ δώσει σοι κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου. Δώσει, φησί, σοι τοῖς τοῦ ἐδέσματα προσενεγκόντι, διὰ τὴν ἐμοῦ φιλανθρωπίαν. 29 Καὶ δουλευσάτωσάν σοι ἔθνη. Ὅρα πῶς τὴν τῶν ἀναγκαίων ἀφθονίαν αὐτῷ ἐπηύξατο, εἶτα τὴν ἀρχὴν τῶν ἐθνῶν, προμηνύων ἤδη τὴν μέλλουσαν αὐτῷ ἔσεσθαι βασιλείαν, καὶ 20 τῶν ἐξ αὐτοῦ γενομένων τὴν ὑπόδοσιν. Καὶ προσκυνησάτωσάν σοι ἄρχοντες.

Οὐ μόνον τῶν ἐθνῶν ἀποστολὴν αὐτῷ ἐπεύχεται, ἀλλὰ καὶ τῶν ἀρχόντων.

Καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου. Ὅρα πῶς ἀπορρητέται καὶ ἀγνοῶν ὁ δίκαιος τὴν τοῦ Θεοῦ γνώμην. καὶ ἅπαντα ταῦτα διὰ τοῦτο ᾠκονομεῖτο, ἵνα ὅτος ὁ διὰ τὴν ἀρετὴν ἄξιος, αὐτὸς κατηξιώσηται τῆς εὐλογίας. Καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τῆς 25 πατρός σου. Υἱοὺς Εἶπεν ἡ γραφὴ κατ' ἐξοχὴν πᾶσαν τὴν συγγένειαν, ὡς καὶ ἀνωτέρω, τοὺς υἱοὺς τοῦ πατρός σου, ὡς ἂν Εἴποι τις, τοὺς ἐκ τοῦ σπέρματος τοῦ Ησαῦ ἔσεσθαι μέλλοντας. οὐδὲ γὰρ ἕτερον παῖδα ἔσχεν ὁ Ισαάκ, ἀλλ' ἢ τούτους μόνους.

Ὁ καταρώμενός σε, ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε, εὐλογημένος. Ἰδοὺ ἡ κορωνὶς τῆς εὐλογίας, ἰδοὺ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, τὸ εὐλογημένον εἶ· Εἴδες 30 Θεοῦ φιλανθρωπίαν. ὁ δεδικαιωμένος μὴ κατάρᾳ ἐπικατάσπαται αὐτὶ εὐλογίας, ἀμέλει μὴ τοσαύτης ἀσφαλείας καὶ εὐλογίας κομίζεται παρὰ τοῦ πατρός, ἀλλὰ καὶ ἐκείνοις ἀρᾶται τοῖς ἐπιχειροῦσιν αὐτὸν καταρᾶσθαι. ἐντεῦθεν μανθάνομεν ὅτι ἐπειδήπερ καὶ ὧν Θεῷ δοκοῦντα τὰ καθ' ἑαυτὸν οἰκονομεῖν βέλτιον, τοσαύτης ἀπολαύει τῆς ἄνωθεν συνεργίας, ὡς αὐτῆς τὰ προσταττόμενα τῆς πείρας ἀληθῆ λαβεῖν. τίς γὰρ ἂν οὐκ αἰ 35 σχπλαγείη καὶ θαυμάσειε τοῦ Θεοῦ τὴν ἄφατον οἰκονομίαν, ὅτι τὰ πρότερον ὁ Ησαῦ ἀπὸ τῆς θήρας προσεδοκᾶτο, μέλλει ὅτε πέρας ἔλαβεν ἡ τοῦ δράματος κατάθεσις, κἀκεῖνος δεξάμενος τὰς εὐλογίας παρὰ τοῦ πατρὸς ἀνεχώρησε; τοῦτο γὰρ ἡμᾶς διδάξαι βουλόμενος ὁ μακάριος Μωϋσῆς ἐπήγαγε, 30 Καὶ ἐγένετο ὡς ἐπαύσατο Ⓦ Ισαὰκ εὐλογοῦντα Ιακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο ὡς ἐξῆλθεν ἀπὸ προσώπου Ισα- 40 ὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ ἰδοὺ Ησαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας.

Ὅρα πῶς μετὰ τὰ τοῦτο ἔξοδον ἐκεῖνος εὐθέως παρεγένετο· οὐκ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ἵνα ἀγνοῶν προσαγάγῃ καὶ αὐτὸς τὰ ἐδέσματα, καὶ πρὸ τοῦ πατρὸς μάθῃ ἅπασαν τοῦ

τῦ πρόσωπου τῦ πατρός. Εἰ γὰρ ἔφθη καταλαβεῖν Ⓦ ἀδελφόν, ἴσως δὴ αὐτὸν καὶ διεχειρίσατο ἡ πλάνη τοῦ θυμοῦ. ὁ γὰρ μετὰ ταῦτα ὕστερον βληθυσάμενος, πολλῷ μᾶλλον ἂν ἀκμῇ τοῦ πράγματος ὕστερον εἰργάσατο. ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἰῶ ἡ Ⓦ παῖδα διασώζουσα, καὶ ὕστερον μὲν ἄξιον τῆς εὐλογίας ἀπεργασαμένη, ἐκεῖνον δὲ ἀποστερήσασα καὶ τῆς εὐλογίας καὶ τῶν πρωτοτοκίων. πλανώμενος δέ φησιν,

31 Ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτῦ, καὶ εἶπεν, ἀναστήτω ὁ πατήρ μου, καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

Ὅρα μοι πάλιν Ⓦ δίκαιον ἐν δορυφόρῳ πλανώμενον καὶ δικαιοπραγοῦντα Ⓦ λογισμόν.

32 Ἀκούσας γὰρ, φησιν, εἶπεν, τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ. Ὅρα πῶς μεγαλοφρονῶν ὅτι τῷ πράγματι οὐκ ἠρκέσθη τῷ εἰπεῖν, ἐγώ εἰμι Ἡσαῦ, ἀλλὰ προσέθηκεν, ὁ πρωτότοκος. 33 Ἔξεστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν, καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται;

Ὅρα πῶς καὶ εἰς ἀποστάσεως γενόμενος ὁ δίκαιος, καὶ διηγούμενος αὐτῷ τὸ συμβαν, ὅμως προσέθηκε, καὶ εἰρήνην ἐκείνῳ δίδοις τὴν πλησίον, ὃν καὶ εὐλόγηκα αὐτόν, καὶ εὐλογημένος ἔσται. τοῦτο δὲ ἐποίει ὁ δίκαιος τῆς τοῦ Θεοῦ σοφίας ὁδηγούσης αὐτοῦ τὴν γλῶτταν, ἵνα πάντα μὲν ἀκριβείας ἐκφύγοι μαθὼν εἰδέναι ἔχῃ, ὡς οὐδὲν αὐτῷ πλέον ἔσται ὅτε ἀπὸ τῶν πρωτοτόκων, ὅτε ἀπὸ τῆς θήρας. 34 Ἀκούσας δέ, φησιν, Ἡσαῦ ἀνέβοησε φωνὴν μεγάλην σφόδρα καὶ πικράν. Τί ὅτι, φωνὴν μεγάλην σφόδρα καὶ πικράν; τὸν θυμὸν ἠνίξατο ἀπὸ τοῦ ῥήματος, καὶ τῆς ὀργῆς, ἧς ἐπλήσθη ταῦτα μαθών, τὴν ἀποβολήν. καὶ εἶπεν, εὐλόγησον δὴ κἀμέ πάτερ. 35 Εἶπε δὲ αὐτῷ, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου. Πεπλανῆσθαι, φησιν, ὁ ἀδελφός σου τὴν εὐλογίαν πᾶσαν ἐπεπαύσατο μετὰ πολλῆς τῆς δαψιλείας. καὶ ἵνα γνῷς ὅτι ἡ ἄνωθεν χάρις ἰῶ, ἡ τοῦ δίκαιον ἀπατηθῆναι συνεργήσασα, ὅρα πῶς αὐτὸς τοῦτο ὁμολογεῖ λέγων, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, μονονουχὶ ἀπολογούμενος τῷ παιδί, καὶ διδάσκων αὐτόν, ὅτι ἀγνοῶν ἐπ' ἐκείνου τὰς εὐλογίας ἐποιησάμην, καὶ ὅτι εἰς σὲ ταύτας ἕτοιμος ἦμην ποιήσασθαι· ἀλλ' ἐκείνος ἐλθὼν μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου, τά σοι προσκυνηθέντα ἐκείνος ἐδέξατο· ὃ δὴ τῷ ἐμοὶ οὐ αἰτίαν γέγονε. 36 Καὶ εἶπέ, φησιν, Ἡσαῦ· δικαίως ἐπεκλήθη ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἤδη δεύτερον τὰ τε πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου.

Οὐ μάτην, φησί, τῆς προσηγορίας ταύτης ἠξιώθη. πτερνισμὸς γὰρ ἑρμηνεύεται τὸ ὄνομα αὐτοῦ, ὅπερ σοὶ εἰς ἐμὲ ἐπεδείξατο, καὶ τῶν πρωτοτοκίων ἀποστερήσας καὶ τῆς εὐλογίας. τί οὖν ὁ Ἡσαῦ πρὸς Ἰσαάκ; Οὐχ ὑπολέλειπταί μοι εὐλογία πάτερ; 37 Ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπεν αὐτῷ, Μεμάθηκε, φησιν, ὅτι πάσας εἰς αὐτὸν ἐξέχεας εὐλογίας, Εἰ κύριον αὐτὸν ἐποίησά σου. Ὅρα πῶς εὐθέως ἀπὸ τούτου ἄρχεται, καὶ οὐδὲν ἕτερον λέγει, ἀλλὰ τὸ ἀναλείδω αὐτῷ σημαίνει ὡς τὸ ὑποταγήσομαι.

Καὶ φησιν, Εἰ κύριον αὐτὸν ἐποίησά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν, σοὶ δὲ τί ποιήσω τέκνον; Οὐδὲν ἕτερον λοιπὸν ὑπολέλειπται. Εἰ δὲ πάντα τὸν αὐτὸν ἐποίησά σου, καὶ πάντας αὐτοῦ οἰκέτας τοὺς ἀδελφούς, καὶ τῶν ἀναγκαίων αὐτῷ τὴν ἀφθονίαν ἐπηυξάμην, τί λοιπὸν ἕτερον λείπεται;

38 Εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ, μὴ εὐλογία μία σοί ἐστι πάτερ; εὐλόγησον δὴ κἀμέ. Ἐπειδὴ ἤκουσε τοῦ παιδὸς εἰπόντος, ὡς εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται, εἶτα καὶ τὴν εὐλογίαν αὐτῷ πᾶσαν δηλῶν ἐποίησε, τότε φησί, εὐλόγησον

δὴ

δὴ καμὲ πάτερ. μὴ γὰρ μία σοί ἐστιν εὐλογία; μὴ γὰρ ὐχ ἱκανὸς σὺ καμὲ ἀξιῶσαι τῆς παρὰ σοῦ εὐλογίας, ἢ ὅτω παρὰ σοῦ ἀγαπώμενον, ἢ περιβλέπειν, ἢ ἀφ' ἑνὸ δηλέαν παρὰ σοῦ ἀποσαλέντα; Συνέχει ἀφ' ἑνὸς ῥημάτων ἢ πατέρα.

39 Κατεμερίθεντος γὰρ, φησιν, Ἰσαὰκ, ἀνεβόησε φωνῇ Ἡσαῦ, καὶ ἔκλαυσεν.

Εἶδε Ⓦ πατέρα ὃν ἀμηχανίᾳ τῶν ἀρχέντα, καὶ ὃ δυνάμενον οὐδὲ ἀνεχόμενον ἀπατεύλαν ἀπὸ ἤδη γηρύσατο. καὶ ὁμοῦ τῇ βοῇ καὶ κλαυθμὸν παρεσήμηνεν, εἰς πλείονα συμπάθειαν ἀγαγεῖν Ⓦ πατέρα βυλόμενος. οἰκτείρας ἂν αὐτόν

Ὁ Ἰσαὰκ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τ πιότητος τ γῆς ἔσαι ἡ κατοίκησίς σε, καὶ ἀπὸ τῆς δρόσε τ̃ ὑρανῦ ἄνωθεν, 40 καὶ ἐπὶ τῇ μαχαίρᾳ σε ζήσῃ, καὶ τῷ ἀδελφῷ σε δελεύσεις. ἔσαι δ' ἰνίκα ἂν καθελῆς καὶ σκλύσῃς Ⓦ ζυγὸν αὐτὸ ἀπὸ τ̃ τραχήλε σε.

Ἐπειδή, φησι, καὶ αὐτὸς τῆς πρὸ ἐμοῦ εὐλογίας ἀπολαῦσαι ἐπιθυμεῖς, μαθέτω ὅτι ὐχ οἷόν τέ με συνάντια τῇ τ̃ Θεοῦ γνώμῃ παρεκβαθῆναι· ἀλλὰ καί σοι μᾶλλον ἐπεύχομαι τὸν ἀπὸ τῆς δρόσε τ̃ ὑρανοῦ ἀπολαῦσαι. ἴαθι δ' μέλλων πολεμικὸν ἀναδέξαθαι βίον. ὅτι τῇ μαχαίρᾳ γὰρ σε ζήσῃ, καὶ τῷ ἀδελφῷ σε δελεύσεις. ἀλλὰ μηδεὶς ἀκόων ταῦτα ξενιζέσθω, ὁρῶν μὲν ταῦτα τὸν ἀδελφὸν ἀληθῶς ἡμόμενον παρὰ τὸν τότε φόβον καὶ εἰς τὸν ἀλλοτείαν ἐπειρόμενον, μηδὲ τοῖς προοιμίοις προσέχων, νομιζέτω διαπίπτειν τ προῤῥήσιν. ὅταν γὰρ ὁ διαστὴς τι ὑποδηται, καὶ συμβῶσι τὸν ὑποκρίσεων ἴδωμεν ἐν τοῖς προοιμίοις σκυδαίνοντα, μὴ θορυβῶμεθα. ὃ γὰρ οἷόν τε ποτε μέχρι τέλους παραμένειν. τοῦτο δ' γίνεται, ἵνα λαμπρότεροι διὰ πόνων Ⓓ δίκαιοι δεικνύμενοι, τὸν παρεσίαν τῆς τ̃ Θεοῦ δυνάμεως καταδηλον ἡμῖν ἅπασι ποιήσ πασκευάσωσι. καὶ ἐφ' ἑκάστου τ̃ν δικαίων τοῦτο εὑρήσεις, εἰ βυληθείης ἀπάσας μὲν ἀκριβείας καταδεῖν τ̃ς ἱστορίας, ὃ δὴ καὶ νῦν λεχθήσεται. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι νῦν εὐθέως φυγὰς ἐγένετο, ἀλλὰ τὸν μὲν ταῦτα παρεφάνειαν λογίζε, καὶ ὅτι τ̃ χρόνε παρασβαμόντος αὐτὸς ὁ φοβερὸς αὐτῷ γενόμενος τοσαύτην παρ' αὐτὸν ἐπιδείκνυται φιλ. 1.10
τὸν αἰδῶ, καὶ ὅτι εἰς τοσαύτην ἦλθε δόξαν μὲν τὸν ὅτι τῆς ξένης ταλαιπωρείαν, ὡς καὶ σὺ δὲ ἐξ αὐτ̃ πεῖραν λαβόντας εἰς ἄπειρον πλῆθος σκιαθῆναι, καὶ ἀφ' τ̃ς τότε παρηγορείας ἅπαν τὸ ἔθνος χαρακτηρίζεσθαι. νυνὶ δ' διδάσκουσα ἡμᾶς ἡ θεία γραφὴ τὸ ἀδελφοῦ τὸν θυμὸν, καὶ ὅτι παρὸς φόνον ἀπέβλεπε, φησι, 41 καὶ συνεχότει Ἡσαῦ τῷ Ἰακὼβ παρὰ τῆς εὐλογίας, ἧς ηὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτ.

Καὶ ἵνα μάθωμεν ὅτι ὐχ ἁπλῶς ὀργὴ ἦν παρόσαν τοῦτο, ἀφ' τ̃ς λέξεως ἐσήμανεν ἡμῖν τ̃ς καρδίας αὐτ τὸν ὑποβολιόν. συνεχότει γὰρ φησιν, ἀντὶ τ, συνέκειτο, ἐπέμενεν, ὡς καὶ ἀφ' τ̃ν ῥημάτων τὸν ἐν τῷ βάθει κρυπτομένην γνώμην φανερὰν καταστ̃σαι. Εἶπε γὰρ, φησιν, ἐν τῇ διανοίᾳ, ἐγγισάτωσαν αἱ ἡμέραι τ̃ πένθες τ̃ πατρός με, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν με.

ΗΘΙΚΟΝ Οὕτως ἄρα ἐξ τ̃ν μαινομένων αὐτ̃ν οὐκ ἔλαττον ὁ θυμούμενος παιδεύει. σκόπει γὰρ, ὅπως καθάπερ τοὺς μαινομένους ὁ δαίμων ἐκ ξένος ἐπεισελθὼν ἐκφερεῖς ἐργάζεται, καὶ ἐναντία τοῖς ὁρωμένοις διαπράττεσθαι ἀναπείθει. ὃ γὰρ ὁρᾶσιν ὑγιεῖς, ὅτε ἐπεόν τι διαπράττονται τ̃ν χρησίμων, ἀλλὰ καθάπερ τὰς αἰσθήσεις πεπηρωμένοι, καὶ ὃ διακριτικὸν διαφθείραντες, ὅτως ἅπαντα ἐργάζοντ· ὅτω καὶ Ⓓ θυμούμενοι, ὃ τοὺς πόνους ἐπιγινώσκουσιν, ὃ συγγενείας μέμνηνται, ὃ φιλίας, ὃ ξενηθείας, οὐκ ἀξιώματος, οὐκ ἄλλο τινὸς ἔννοιαν λαμβάνουσι, ἀλλ' ὅλοι ὑπὸ τ̃ θυμοῦ τυφλουμένοι καὶ χρημάτων φέρονται. Τί οὖν δὴ ἔστιν τ̃ν τοιούτων ἐλεεινότερον, ὅταν ἀλόντες ὑπὸ τὰ πάθος, καὶ ἀχμάλωτοι γενόμενοι, καὶ παρὸς φόνον ἐπείγονται; ἀφ' ὅτο ὁ μακάριος Παῦ-

λος τὴν ῥίζαν ἀπὸ πάσης βυλόμενος τῦ κακοῦ, γράφων πρὸς Ἐφ. δ'. λα.
ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ. ὐ μόνον, φησὶ, θυμοῦσθε ὑμᾶς ὐ βύλομαι, οὐδὲ μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ μετὰ κραυγῆς τοῖς πλησίον σφαλέγεσθαι, κραυγὴν σὺν τούτοις λέγων τὴν ἀπὸ τῦ θυμοῦ γινομένην. ὅταν γὰρ ὁ πάθος ἔνδοθεν διατείρηται, καὶ ἡ καρδία οἰδάνῃ, οὐκ ἔτι λοιπὸν ἡ γλῶσσα ῥέμα φθέγξεσθαι δύναται, ἀλλὰ τὴν ἀρθρίαν τῆς καρδίας ἐμφαίνουσα, μετὰ κραυγῆς τὸν πλησίον σφαλέγεσθαι παρασκευάζει. βυλόμενος οὖν ὁ μακάριος ὅτος, ἐλπὼν πᾶσαν ὀργὴν, ἔδειξε διὰ ὅτι πᾶσα ὀργὴ, ἡ ἀφ' οἱᾳδήποτε πράγματος κινηθῇ, καὶ πᾶς θυμὸς καὶ πᾶσα κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν· εἶτα αὐτὴν τὴν ῥίζαν τῆς κακίας ξηράναι βυλόμενος καὶ ἀκαρπον ἐργάσασθαι, φησὶ, σὺν πάσῃ κακίᾳ. ὁ γὰρ ὅτω διακείμενος διαπαντὸς ἐν λιμνῇ κάθηται, τὰ ἀπὸ τῆς γῆς κυμάτων ἀπηλλαγμένος, καὶ ὅτε χειμῶνα δέδοικεν, ὅτε ναυάγιον, ἀλλὰ καθάπερ ἐν γαλήνῃ πλέων, ἢ ἐν αὐδίῳ λιμένι καθήμενος, ὅτως ἔλκει τὸν παρόντα βίον πάσης ταραχῆς ἐκτὸς ὤν, καὶ ὐ μόνον τῦτο, ἀλλὰ καὶ τῶν ἀθανάτων καὶ ἀπορρήτων ἀγαθῶν τὴν ἀπόλαυσιν ἑαυτῷ διὰ πόνων παρέχει· ὧν γένοιτο πάντας ἡμᾶς ὐδεπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τῦ κυρίου ἡμῶν Ιησῦ Χριστῦ, μεθ' ὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, νῦν καὶ ἀεί, καὶ εἰς τὸν αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νδ'. ΚΑΛΕΣΑΣΑ ΔΕ ΡΕΒΕΚΚΑ ΤΟΝ ΥΙΟΝ ΑΥΤΗΣ Τ̃ νεώτερον, ΕΙ̃ΠΕΝ ΑὐΤΩ̃.

ΕΙδετε ἄρα καὶ τῦτο τὸ πολλοῦ δεόντως ἐγκωμιαστικὸν, καὶ τῦτο δεσπότης τὸν ἄφατον φιλανθρωπίαν, καὶ τῶν Ιουδαίων τὴν ἀποβαλλυσαν ἀναισθησίαν. εἴδετε πῶς ἀπόνως ἡμᾶς ἐπαίδευσεν ὁ μακάριος Μαίθαῖος, διὰ ὧν ὅτω ταχέως ἐπήκουσε, διὰ ὧν τοσαύτην ἐπεδείξατο τὴν μεταβολὴν, ὅτι ἐν τῇ προαιρέσει κειμένην τῇ ἡμετέρᾳ μετὰ τὴν δύσιν χάριν ἔλαβε τῆς ἀρετῆς, καὶ τῆς κακίας· καὶ ὅτι καταδάσαντες δυνάμεθα γενέσθαι εὐάρετοι, καὶ ῥᾳθυμήσαντες πάλιν εἰς τὴν τῆς ἁμαρτίας κρημνὸν καταφερόμεθα. ὅτο γάρ ἐστιν, ὃ τῶν ἀλόγων διεξήχαμεν, τὸ λόγῳ τετιμῆσθαι ἡμᾶς παρὰ τὸν φιλανθρωπον Θεὸν, καὶ ἐν τῇ φύσει τῇ ἡμετέρᾳ ἐναποκεῖσθαι τὴν γνῶσιν τῦ καλῦ, καὶ τὴν πονηρὸν. μηδεὶς τοίνυν προφασιζέσθω ὡς δι' ἄγνοιαν ἀρετῆς ἁμαρτῶν, ἢ σφαλὸς τὸ μὴ ἔχειν τὴν ἐπιδεικνυμένην τὴν ταύτης ὁδόν. ἀρχαιοτάτη γὰρ ἔχομεν διδάσκαλον, τὸν συνειδός, καὶ ὐχ οἷόν τε ἦν ἀπεξενῆσθαι τῆς ἐκεῖθεν βοηθείας. ἐν γὰρ ἅμα τῇ πλάσει τὸν ἀνθρωπον ἡ γνῶσις τῶν προκλέων αὐτῷ ἐναπετέθη, ἵνα τὴν οἰκείαν διγνωμοσυνίαν ἐπιδεικνύμενος, καθάπερ ἐν παλαίστρᾳ τινὶ, τῷ παρόντι βίῳ ἐγγυμνασάμενος πρὸς τὸν τῆς ἀρετῆς πόνον, καὶ ἐπὶ τῆς ἀρετῆς βεβαιότητα κομίσηται, καὶ ἐν βραχεῖ χρόνῳ πονήσας, ἐν διηνεκεῖ τῷ αἰῶνι τῶν στεφάνων ἀξιωθείη, καὶ ἐν τῷ ἐπικήρῳ τύτῳ αἰῶνι τὸν ἀρετὴν ἐλόμενος, ἐν τοῖς ἀπείροις καὶ ἀϊδίοις αἰῶσι τῶν ἀθανάτων ἀγαθῶν ἀπολαύσῃ. ὅπερ εἰδότες, ἀγαπητοὶ, μὴ παρῶμεν ἡμῶν τὴν διόρθωσιν, μὴ ἀγνώμονες πρὸς τὴν τοσαύτην ἐνεργεσίαν γενώμεθα, μηδὲ ὁ παρὸν ἀγαθὸν τῆς ἀοχύρου ἡδονῆς μεταδιώξαντες, διηνεκῆ τὴν ὀδυνὴν ἑαυτοῖς κατασκευάσωμεν· ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν τὰ ἀπόρρητα τῆς Διανοίας ἐπισκόπουν διηνεκῶς παρόντα, ὅπως ἀπόντα τὰ καθ' ἑαυτὸν οἰκονομῶμεν, καὶ τοῖς

ὅπλοις

ὅπλοις τῦ πνεύματος φερεζάμθνοι, καὶ τὴ οἰκείαν διαγνωμοσιώλιν ἐπιδειξάμθνοι, ἐπιπασασώμθα τὴ ἀνωθεν ῥοπὴν, ἵνα τῆς ἐκεῖθεν ἀπολαύοντες συμμαχίας, καὶ τῦ ἐχθροῦ τὸν πολεμίαν καθιγενόμθνοι, καὶ ἄκυρα αὐτῦ καταιήσαντες τὰ μηχανήματα, τῶν ἀγαθῶν ἐκείνων ἀπολαύσαι δυνηθῶμθν, ὧν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν ὁ κύριος. μὴ τοίνυν πρὸς τὸν πόνον τις ὀρέπτω τῆς ἀρετῆς, ἀλλὰ τὸ ἐντεῦθεν κέρδος λογιζόμθνος εὐτοίμως τοῦτ' ἐπὶ ταύτης πόνοις καταδεχέσθω. εἰ γὰρ ⓦ πρὸς τὰ βιωτικὰ τρεφόμθνοι, καὶ πρὸς τὴν τῶν χρημάτων συλλογὴν μεμηνότες, ἅπαντα προθύμως καταδέχονται, καὶ τοῦτ' ἐπὶ θαλάττης κινδύνους, καὶ ταῖς ναυαγία, καὶ ταῖς τῶν πειρατῶν ἐφόδοις προορῶντες, τοσῦτ' ὄντως ἀκηρεστέρους γίνονται, καὶ ταῦτα τοσῦτ' ἐπαρρῆ πρὸς τὸν τέλους δυνάμενοι· ποίαν ἡμεῖς ἕξομθν ἀπολογίαν τῶν ἀθανάτων ἐκείνων ἕνεκεν πρὸς τοῦτ' τῆς ἀρετῆς ἀγῶνας μὴ πάσῃ σπουδῇ καὶ προθυμίᾳ ἀποδυόμθνοι; τίνος ἕνεκεν ὄντως ἀγωνόμενες περὶ ⓦ βυεργετίων γινόμθα, καὶ ὅτε τὰ ἤδη δωρηθέντα λογιζόμθα, ὅτε τὰ ἐπαγγελθέντα σπουδῶμθν, ἀλλὰ πάντων, ὡς εἰπεῖν, λήθην ποιησάμθνοι, ἁπλῶς καὶ εἰκῇ βοσκημάτων δίκην ἅπαντα προϊέμθνοι, καὶ τῆς μὲν ψυχῆς τοσῦτον ἀμελήσωμθν ὅσον ἐπιμελείσθαι ποιούμεθα, τίνι δ' ἂν γένοιτο μόνῳ ἀθάρρητοι γενώμθνοι, καὶ πολλῷ μᾶλλον τούτῳ τῷ ταλαιπώρῳ τούτῳ σώματι τῷ λύμῃ καταισχύνοντες; τοῦτο μὲν διὰ τῆς ἀμετρείας, καὶ τῆς πολλῆς ἀδηφαγίας μυρία πρόγματα κατασκευάζειν ἡμῖν προσκυάζομθν, τὸ δ' ψυχὴν λιμῷ τηκεσθαι συγχωροῦμθν. καίτοι ψυχὴ σώματος κρείττων, καὶ εἰκότως ἀπειρηκυίας νεκρὸν τοῦτο καταλείπεται. δέον οὖν καὶ ἐκείνῃ τὴν καταλληλον καὶ ἁρμόττουσαν παρέχειν τροφὴν ἡμᾶς, ἑκατέρας λυμαινόμθα, ἀμετρίαν καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλὴν ἐπιδεικνύμθνοι, καὶ "ὃ μὲν γὰρ τὸ χρεῖαν παίοντες, τὴν τὸ κατὰ λιμοῦ διαφθείρεσθαι καταναγκάζοντες. καὶ ὅπερ ὁ τῶν ὅλων δεσπότης ἐν ταῖξει μεγίστης ἀναγκαίσεως ἐπέλησέ ποτε τῶν Ἰουδαίων λέγων, Δώσω ὑμῖν ὕδωρ λιμόν ἄρτου, οὐκ ἐν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγων κυρίου, διδάσκων ἡμᾶς ὅτι ἐκεῖνος μὲν ὁ λιμὸς τὸ σῶμα κατατείνειν δυνάμενος), οὗτος δ' ὁ λιμὸς αὐτῆς καθικνεῖται τῆς ψυχῆς· τοῦτ' αὐτὸ νῦν, ὅπερ ἀντὶ ὠμοφαγίας ἐκείνοις ἐπάγειν τότε ἐπέλησεν ὁ δεσπότης, ἡμᾶς ἐκόντες ἐπιπασώμθα, καὶ ταῦτα τοῦ Θεοῦ τοσαύτην πρὸς ἡμᾶς κηδεμονίαν ἐπιδειξαμένου, καὶ οἰκονομήσαντος μὴ τῆς ἀπὸ τῶν γραφῶν ὠφελείας ἀνάγνωστος, ἔχειν ἡμᾶς καὶ τὴν ἀπὸ τῶν διδασκάλων νουθεσίαν. διὸ δὴ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην πᾶσαν ῥαθυμίαν ἀποτινάξασθαι, καὶ διεγρθῆναι μακρὰν, καὶ πᾶσαν τὴν σπουδὴν μεταθεῖναι ἐπὶ τὴν τῆς ψυχῆς σωτηρίαν. ὅτω γὰρ αὐτὴ καὶ τὸ παρὰ τοῦ Θεοῦ βοηθείαν μὴ ῥαθυμίας ἐπιπάσησθε, καὶ ἡμεῖς προθυμότερον τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιησώμθα, ὁρῶντες εἰς ἔργον ἡμῶν σκεδαμένην τὸ σπουδαλιόν. ἐπεὶ καὶ γεωργὸς, ἐπειδὰν ἴδῃ τῆς γῆς τὴν ἐπιτηδειότητα πολλὴν πρέχουσαν αὐτῷ τῶν καρπῶν τὴν φορὰν, καὶ αὐτὸς μὴ πλείονος τῆς σπουδῆς πρὸς τοῦτ' τῆς γεωργίας πόνης ἐπαποδύεται· ⓦ αὐτὸν δὴ τρόπον καὶ ἡμᾶς, ἂν θεασίμθα τὴν τοῦ Θεοῦ ὑμῶν προθυμίαν, καὶ ὅτι τὰ παρ' ἡμῶν λεγόμθνα διὰ τῶν ἔργων" ἐπιδεικνυσθαι σπουδάζετε, πλείονα καὶ αὐτοὶ ⓦ πόνον τὸν διδασκαλικὸν ἐπιδειξόμεθα· ἅτε εἰδότες ὅτι ὃ κατὰ πετρῶν σπείρομθν, ἀλλ' εἰς λιπαρὰν καὶ βαθύγειον καταβάλλομεν τὰ σπέρματα. διὰ γὰρ τοῦτο καθ' ἑκάστην ἡμέραν τὴν πρὸς ὑμᾶς διδασκαλίαν ποιούμθα, ἵνα καὶ ὑμεῖς κερδάναντες τι χρήσιμον ἐντεῦθεν ἀπέλθητε, καὶ τὰ τῆς ἀρετῆς ὑμῖν αὐξάνηται, καὶ ἡμεῖς ὁρῶντες ὑμῶν τὴν προκοπὴν εὐφρανώμθα. μὴ γὰρ ἁπλῶς καὶ εἰκῇ λέγειν βουλόμθα, ὥστε ⓦ πρὸς ὑμῶν ἔπαινον καρπώσασθαι, καὶ ἵνα κροτήσαντες ὑμεῖς ἀναχωρήσητε; οὐ διὰ τοῦτο (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν ὠφέλειαν τὴν ὑμετέραν.

ἐμοὶ

ἐμοὶ μέγιστος ἔπαινος ἐστὶν ἀρχετός, εἰ τις ἀπὸ τῆς καρδίας ὅτι τάχιστα τῷ ἀρετῷ μεταβάλλοιτο, εἰ δὲ τις ἐπὶ τούτοις ῥᾳθυμος ὤν, ἀναδαὸς ἐκ τῆς πρὸ ἡμῶν ἐπιμονῆς γένηται. τοῦτο δὲ ἐμοὶ μέγιστον φέρει τὸν ἔπαινον καὶ τῷ θαυμάσιαν, καὶ ὑμῖν πολὺ τὸ κέρδος καὶ πλεῖστον τὸν πνευματικόν. ἀλλὰ δέομαι πολλῷ ὑπιδείξεσθε τῷ ἀναδίᾳ, ἐκ ἀμφιβάλλω. οἶδα γὰρ ὅτι θεοδίδακτοί ἐστε, δυνάμενοι καὶ ἄλλους ἀφελῆσαι. διὰ τοῦτο οὐδὲν φησὶν τῷ τοῦτο συμβουλεύω, τῆς σωτήρου ἄνωθεν διδασκαλίας, ἐκ τῶν μακαρίου Μωϋσέως ῥημάτων, μᾶλλον δὲ τῶν θεοῦ τοῦ ἁγίου πνεύματος δι' αὐτοῦ ἡμῖν εἰρημένων, μακρὰν ἐστὶν τὸ μέσον ποιήσειν, ἐκεῖθεν ὑμῖν σήμερον τῷ ἑσπέρᾳ θεραπείαν. ἠκούσατε γοῦν ὅπως χρὴ τῷ συμβουλῇ τῆς Ρεβέκκας ἀπομένειν. μακροθυμήσας ὁ Ιακὼβ, τῷ θεῷ τὴν παρ' ἐκείνου εὐλογίαν ἐπεσπάσατο, τὴν ἐπαναστᾶσαν ἐκείνῳ κλοπῷ ὑπιδειξάμενος. διὰ δὲ τῆς θεοῦ τοῦ Θεοῦ σωτηρίας ἀπήλλαγεν, καὶ εἰς ἔργον ἔξῆλθεν αὐτῷ τὸ ἀναδαζόμενον. ἀλλ' ὅμως ἐπτοήθη αὐτῷ πολὺς ὁ φόβος ἐλάμβανετο τοῦ θεοῦ Ἡσαῦ, καὶ πρὸς φόνον λοιπὸν προεκθυμίζετο ὁ ἀδελφός. τοιοῦτον γὰρ τὸ ὀλέθριον πάθος· ὑπὲρ πρότερον ἴσασιν, μέχρις ἂν ἐκ τοῦ τὰ πάθους ἀληθῆ καὶ χρηματῶν ἐπεχθιῶσι θεοῦ, καὶ πρὸς τὸ τοῦ φόνου θεοῦ μανομένου δραμεῖν. ῥίζα γὰρ τοῦ φόνου ὁ φθόνος. ὅτου καὶ ἐξ ἀρχῆς ὅτι τοῦ Καὶν καὶ ὅτι τοῦ Ἄβελ γέγονεν. οὐδὲν γὰρ ἔχων οὐδὲ ἐκεῖνος, ὑ μακρὸν, ὑ μέγα ἐγκαλέσας τῷ ἀδελφῷ, ὅτῳ εἶδεν εὐδοκιμοῦντα θεοῦ τῷ δεκάτῃ τῶν ὅλων ἀπὸ τῆς προσκομιδῆς τῶν δώρων, καὶ εὐθὺν ἀπόλλυται γελωμένου θεοῦ τὸν οἰκείου ῥᾳθυμίαν, εἰς φόνον εὐθὺς διπετέρετο, καὶ τὸν ῥίζαν τοῦ φόνου τεκὼν ἐν τῇ Ἀμφιόᾳ, θεοῦ ἐξέπεμα καὶ κακὸν ἐκεῖνον τὸ ὀλέθριον ἐπεδείξατο, καὶ τὸν φόνον εἰς ἔργον ἤγαγεν. οὕτω δὴ καὶ νῦν ὁ Ἡσαῦ ἰδὼν τὸν ἀδελφὸν τῆς εὐλογίας θεοῦ τοῦ παρὸς δόξαν, καὶ ἐκ τοῦ θυμοῦ καὶ τῆς βασκανίας εἰς φθόνον ἐξενεχθείς, ἐμελέτα τοῦ ἀναίρεσιν. ἀλλ' ἡ θαυμασία μήτηρ τοῦτο ἀμαθυμήν, πάλιν τὴν μητρικὴν φιλοστοργίαν δεῖ καὶ ταῦτα ὑπιδείκνυται, καὶ συμβουλεύει τὸν δυναμένην αὐτὸν ὀξαρπάσαι τῶν θεῶν ἀνόσιον χειρῶν. 42 Καλέσασα γὰρ, φησὶ, τὸν μὲν αὐτῆς τὸν νεώτερον, εἶπεν αὐτῷ, ἰδοὺ Ἡσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι ἀποκτεῖναί σε. 43 Νῦν οὖν ἄκουσόν μου τῆς φωνῆς. Ἡ πειθό σε διδασκέτω, φησὶν, ὅτι λυσιτελῆ σοι συμβουλεύω, καὶ καθάπερ ἤδη τῆς ἐμῆς φωνῆς ἀκούσας, ταῖς μεγάλαις ἐκείναις εὐλογίαις ἐπεσπάσω θεοῦ τὸν παρὸς, οὕτω δὴ καὶ νῦν ἄκουσόν μου τῆς φωνῆς, ἵνα δράφυγεῖν δυνηθῇς τὸν ἀναίρεσιν ταῖς χερσὶν. οὕτω γὰρ ἐαυτὸν ἐλευθερώσεις τοῦ κινδύνου, καὶ μετὰ πόνου. εἰκὸς γὰρ ἐκεῖνον, εἰ τοῦτο τολμήσειέ, [σε μὲν ἐν φόνῳ] δίκαιον ἀπαντῆναι, καὶ πρωτα χθὲν ἐμοὶ τῆς ὀδύνης τὴν ὑπόστασιν αὔξεσθαι. Ἄκουσον δή μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι πρὸς τὸν ἀδελφόν μου Λάβαν εἰς Χαρράν,

χ. ὑπόστασις αὔξει.

44 καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας ἴσας, ἕως ἂν ἀποστρέψῃ τὸν θυμὸν καὶ τὸ ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, 45 καὶ ὑπιλάθηται ἃ πεποίηκας αὐτῷ, καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

χ. ἐκεῖ

Ἄπιθι, φησὶ, πρὸς τὸν ἀδελφόν μου Λάβαν, καὶ οἴκει ἐκεῖ μετ' αὐτοῦ. εἰκὸς γὰρ καὶ θεοῦ χωρισμὸν, καὶ τὸν ἐν μέσῳ χρόνον ἰσχῦσαί σε πλέον καὶ θεραπευθῆναι τὸ πάθος, καὶ τὴν βασκανίδα λωφῆσαι, καὶ λήθην αὐτῷ γενέσθαι τῶν ἀπὸ σοῦ γεγενημένων πρὸς τὸν τῆς εὐλογίας κλοπήν. καὶ ὑπιλάθηται, φησὶν, ἃ πεποίηκας αὐτῷ. εἰκότως, φησὶν, ὀργίζεται, διὰ τοῦτο προσήκει ἐκκλίναι αὐτοῦ τὴν ὁρμὴν, ὅπως ἀπὸ τοῦ χρόνου λήθης ἐγγενομένης αὐτῷ, μετ' ἀσφαλείας λοιπὸν δυνηθῇς τὴν ἐν θεῷ οἴκησιν ποιήσασθαι. καὶ ἵνα μὴ δυσχερανθῇ ὁ πρᾶος ὅτι τὴν ἀλλοτρίαν ἀπέρχῃ κατοφαλιζόμενος, ὅρα πῶς παραμυθεῖται

εμνηστῆται τ̃ νέᾳ τιὼ ψυχιὼ, πρὸ τ̃ον μ̃ εἰποῦσα, ἀπιθι πρὸς Λάβαν τ̃ ἀδελφόν μου. μὴ γὰρ πρὸς ξένον ἰατά, φησι, κατεπείγω σε ἀπελθεῖν; πρὸς τ̃ ἀδελφὸν τ̃ ἐμόν, κ̀ ὄψει μετ' αὐτοῦ ἡμέρας ἰατάς. βραχύ, φησι, χρόνον, ὀλίγας ἡμέρας, ἕως τ̃ παύσασθαι τ̃ ὀργιὼ. νιῶ γὰρ τ̀ ἀκμάζει αὐτ̃, φησιν, ὁ θυμός, κ̀ ὅτε τ̃ παθῇς αἰδῶ ἰατα ποιῇται, καθάπαξ τυφλωθήσεται τοῦ τ̃ πάθους, ὅτε τιὼ ἀδελφικιὼ στοργιὼ σὺν ἀφροσύνᾳ λαμβάνει· ἀλλ' ἑνὸς μόνου χρῄζω, τοῦ τὸν θυμὸν ἀποπλῆσαι. τ̀ ἀποστείλασα μεταπέμψομαί σε ταχέως, φησὶν, ἐκεῖθεν. σὲ ἐπιμάξω. ἀπιθι τοίνυν θαῤῥῶν, ὅτι ἀποστείλασα μεταπέμψομαί σε. πρὶ γὰρ τ̃ πάντος δόξει μοι ὁ ἀγών, καὶ πρὶ ἀμφοτέρων δέδοικα, μήποτε ἀποστερηθῶ ἀμφοτέρων. ὁρᾷς σύνεσιν μετ̃ῆς· πῶς οἴκοθεν κινηθήν, μᾶλλον δ̀ τῇ τ̃ Θεοῦ προῤῥήσει κ̀ νεύ ὑπηρετηθήν, ἐκείνᾳ συμβάλλει τῷ παιδὶ, ἄνωθεν ὁ Χριστὸς πρῳήνει τοῖς μαθηταῖς, συμβάλλων μὴ ὀμόσε χωρεῖν τοῖς κινδύνοις, ἀλλὰ δι' τ̃ης ἀναχωρήσεως πρᾳμυθεῖσθαι τ̃ πάθους τιὼ μανίᾳ. τ̃το τοίνυν κ̀ αὐτὴ ἐπισημυθήν τῷ παιδὶ, πρότερον αὐτῷ συμβαλοῦσα κ̀ πρᾳθαῤῥύνασα αὐτ̃ τὸν λογισμὸν, ὥστε μὴ δυσχερᾶναι πρὸς τ̃ χρησμὸν, τότε λοιπὸν κ̀ ἀφορμιὼ βύλησι τῇ ἀποδημίᾳ πρεσβεύειν βάλε), ὥστε μὴ πρόφασιν δόξαι δι' τιὼ τ̃ ἀδελφοῦ βασκανίᾳ ἀναχωρεῖν, μηδὲ τ̃ πατέρα γνῶναι τ̃ ἀληθῆ τ̃ης ἀποδημίας αἰτίαν, μήτε τ̃ Ἡσαῦ τιὼ χ̃ αὐτ̃ ἀγωνάκλησιν. 46 Καὶ εἰσελθοῦσά, φησι, πρὸς τ̃ Ισαὰκ ἡ Ρεβέκκα εἶπε, πρόσωθισα τῇ ζωῇ μου δι' τὰς θυγατέρας τ̃ῶν γῆν Χέτ. Εἰ λήψεται Ιακὼβ γυναῖκα ἀπὸ τ̃ῶν θυγατέρων τ̃ης γ̃ης ταύτης, ἵνα τί μοι ὁ ζιὼ; Σκόπει πῶς εὐπροσώπον εὗρε πρόφασιν. ὅταν γὰρ ἡμῖν ἡ ἄνωθεν συμπρᾶξις δέξιά, κ̀ τὰ δυσχερῆ εὐκολα γίνεται, κ̀ τὰ δύσκολα ῥᾴδια. ἐπεὶ οὖν κ̀ αὐτὴ εἶχε τ̃ῶν ὅλων Θεὸν σωφρονοῦντα αὐτ̃ης τῇ γνώμῃ, πάντα τὰ δυνάμενα σωτελεῖν τῇ οἰκονομίᾳ τῇ μνήσῃ, κ̀ τ̀ παιδὸς τῇ ῥητείᾳ πρέβαλεν αὐτ̃ης τῇ ἀφροσύνᾳ. προσώθισά, φησι, τῇ ζωῇ δι' τὰς θυγατέρας τ̃ῶν γῆν Χέτ. Εἰ λήψεται Ιακὼβ γυναῖκα ἀπὸ τ̃ῶν θυγατέρων τ̃ης γ̃ης ταύτης, ἵνα τί μοι ὁ ζιὼ; σὺν τούτοις ἀμύνεσθαί μοι δοκεῖ τ̃ῶν γυναικ̃ῶν τ̃ Ἡσαῦ ὁ δύσροπον, κ̀ ὅλη πολλ̃ης ἀνδίας αἰτίας πρὸς θεσιν γενέσθαι. κ̀ γὰρ δυνατώτερον διηγήσατο ἡμῖν ἡ θεία γραφὴ, ὅτι ἔλαβεν ἀπὸ τ̃ῶν Χετταίων κ̀ ἀπὸ τ̃ῶν Εὐαίων γυναῖκας ὁ Ἡσαῦ, κ̀ ἦσαν ἐρίζουσαι τῷ Ισαὰκ καὶ τῇ Ρεβέκκᾳ. τοῦτο οὖν αὐτὸ προμνῆσαι αὐτὸν βουλομένη μονονουχὶ ταῦτά φησι πρὸς αὐτὸν, οἶδας ὅπως μοι τιὼ ζωιὼ πικρὰν πεποίηκασιν αἱ γαμεταὶ τ̃ Ἡσαῦ, κ̀ ὅπως δι' τιὼ τούτων μνηστείαν λοιπὸν πρὸς πάσας ἀπεχθῶς ἔχω τὰς θυγατέρας τ̃ῶν γῆν Χέτ, καὶ ἅπαν τὸ ἔθνος δι' ἐκείνας μεμίσηκα. Εἰ τοίνυν συμβαίη καὶ τ̃ Ιακὼβ ἐκ τούτων ἀγαπᾶσθαι γυναῖκα, ποία μοι λοιπὸν ἔτ' αἰ σωτηρίας ἐλπίς; ἵνα τί γὰρ μοι ὁ ζιὼ; Εἰ γὰρ ἐκείνας ἐνέγκῃ οὐκ ἀνέξομαι, Εἰ δὲ ταύτ φθάσει ἀπὸ τ̃ῶν θυγατέρων τ̃ης γ̃ης ταύτης λαβεῖν γυναῖκα, τί τ̃ης ζωῆς ἡμῖν ὄφελος. ἀκούσας ταῦτα ὁ Ισαὰκ, κ̀ εἰς ὑπόμνησιν ἐλθὼν τ̃ης ἐκείνων κακίας,

χεζ. κη. 1 Προσκαλεσάμενος Ιακὼβ εὐλόγησέ, φησιν, αὐτὸν. κ̀ ἐνετείλατο αὐτ̃ λέγων, μ̀ λήψῃ γυναῖκα ἀπὸ τ̃ῶν θυγατέρων τ̃ῶν Χαναναίων· 2 Ἀλλ' ἀναστὰς πορεύου εἰς τιὼ Μεσοποταμίαν εἰς Φαδὰν οἶκον τ̀ πατρὸς τ̃ης μητρός σου, κ̀ λαβέ σεαυτ̃ ἐκεῖθεν γυναῖκα ἐκ τ̃ῶν θυγατέρων τ̀ ἀδελφοῦ τ̃ης μητρός σου.

Καὶ οὐκ ἔστι μέχρι τούτου, ἀλλὰ βουλόμενος προθυμότερον αὐτὸν ἐργάσασθαι πρὸς τιὼ ἀποδημίαν, κ̀ τὰς πρ' αὐτοῦ εὐλογίας πάλιν προστίθησι, καὶ φησιν· 3 Ὁ δὲ Θεός μου εὐλογήσαι σε κ̀ αὐξήσαι σε κ̀ πληθυνάι σε, κ̀ ἔσῃ εἰς συναγωγιὼ ἐθνῶν, 4 Καὶ

4 Καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τῷ πατρί μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σὲ κληρονομῆσαι τὴν γῆν τῆς προοικήσεώς σου, ἣν ἔδωκεν ὁ Θεὸς τῷ Ἀβραάμ.

Ὅρα Ⓦ δίκαιον τοῦτον, ὅπως παραφωνῇ αὐτῷ ἄπομπα, καὶ ἱκανὰ αὐτῷ ἐφόδια παρὰ μητρὸς δίδωσι, παρομυύων αὐτῷ καὶ τὴν ἐπάνοδον καὶ τῆς γῆς τὴν κληρονομίαν, ἃ ὅτι οὐ μόνον ἐκ πλήθους ὑπιδώσει, ἀλλὰ καὶ ζωαγωγὰς ἐθνῶν ἐκ τοῦ σπέρματος αὐτοῦ ἐξηγεύσεσθαι. Ταῦτα ἀκούσας ὁ παῖς ἐπλήρου τὰ δόξαντα τῷ πατρί, καὶ ἐπορεύετο εἰς τὴν Μεσοποταμίαν παρὰ Λάβαν Ⓦ τὸν μητρὸς ἀδελφόν. ἀλλὰ πάλιν ὁ Ἡσαῦ τοῦτο μαθών, καὶ ὅτι εὐλογηθεὶς" παρὰ τοῦ πατρὸς ὁ Ιακὼβ, ἀπολαὺς ἔλαβε, μὴ λαβεῖν γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' ὥρμησεν εἰς τὴν Μεσοποταμίαν, ὥσπερ διοργῶσαν βουλόμενος τὸ οἰκεῖον παράπτωμα, καὶ ἐξευμενίσασθαι Ⓦ πατέρα, 9 πεσθεὶς, φησὶν, ἔλαβε γυναῖκα παρὰ τὰς γυναῖκὶν αὐτοῦ, θυγατέρα Ισμαὴλ τοῦ υἱοῦ Ἀβραάμ. Εἶδες, ἀγαπητὲ, μᾶλ' ὅσης ζωώσεως ἡ φιλόστοργος αὐτῇ μήτηρ ἐξήρπασε τῶν κινδύνων τὸν Ιακώβ, πρέπον ἄρημα" ὑπιδεῖσα τῇ ἀποδημίᾳ, καὶ ὅτε ὁ Ἡσαῦ τὴν κακίαν ἐξέφηνεν, ὅτε παρὰ τοῦ πατρὸς τὴν αὐτοῦ διάνοιαν ἐποίησεν, ἀλλὰ καὶ παρὰ τὴν παῖδα καταλλήλων ἐποιήσατο τὴν συμβουλὴν, ἵνα παρατρέψας δυνηθῇ διὰ τοῦ φόβου καταδέξασθαι τὰ πρὸς αὐτὸν λεγόμενα, ἃ ὡς πατρὶ ἁρμόζουσαν γνώμην εἰσηγήσατο. ὅθεν καὶ ὑπιδραμὼν ὁ δίκαιος τοῖς ῥηθεῖσι πρὸς αὐτῆς, ἐφοδιάσας ταῖς πρὸς ἑαυτὸν εὐλογίαις τὸν Ιακὼβ ἐξέπεμψεν. Ἀλλ' εἰ δοκεῖ, καὶ μὴ ἀπεχώμεθα, ἰδωμὲν ὅπως τὴν ἀποδημίαν ποιῆται ὁ Ιακώβ. οὐ μικρὰ γὰρ ἂν συντείνει καρπώσασθαι δυνησόμενα, ἐὰν παρασκευώμεν. καὶ γὰρ φιλοσοφίας ἁπάσης διδασκαλίαν παρέχει τῶν δικαίων ἡ ἀναγωγή. ὅρα γοῦν ἐν ταῦτα τὸν νέον τοῦτον, ὃν ὅτι τῆς οἰκίας πρασφέντα, οὐν οὐκ ὁδοιπορίας πεῖραν εἰληφότα ποτὲ, οὐ τῆς ἐν ξένῃ διατριβῆς, οὐκ ἑτέρας τινὸς κακοχλίας, ὅπως ἀπλῆ τῆς ὁδοιπορίας, καὶ μεμύθηνε τῆς φιλοσοφίας τὴν ἀναβολήν.

10 Ἐξῆλθε, φησὶν, Ιακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, 11 καὶ ἀπιὼν ἐπέτυχε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ. ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε παρὰ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ.

Εἶδες ἄφατον φιλοσοφίαν· εἶδες πῶς ὁ παλαιοὶ τὰς ὁδοιπορίας ἐποιοῦντο. μήτηρ ἐν οἰκίᾳ πρασφεὶς (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) τοσαύτης ἀπολαύσας θεραπείας (ἄπλαστος γάρ, φησὶν, οἰκίαν) ἀποδημεῖν μέλλων, οὐκ ἐπορεύετο ἐδεήθη, οὐκ ἀχλοῦσαν, οὐκ ἐφοδίων· ἀλλ' ἀποστολικὸν ἦδη μεμύθηνε ζῆτον, ὅπως ἥκιστα τῆς ὁδοῦ. * ὁ ἥλιος, φησὶν, ἐπὶ τὰς δυσμὰς, καὶ ἔνθα κατέδυ ἐφθη, ἐκεῖ ἐκάθευδε. λαβὼν, φησὶ, λίθον ἔθηκε παρὰ τὴν κεφαλὴν αὐτοῦ. ὅρα τοῦ παιδὸς τὴν εὐδρείαν. τῷ λίθῳ δὴ τὴν κεφαλὴν ἐγκήσατο, καὶ ἐπὶ τῆς ἐδάφους ἐκάθευδε. διὰ τοῦτο, ὅτι φιλόσοφον εἶχε ψυχὴν, καὶ φρόνημα ἀνδρῶδες, καὶ πάσης φαντασίας βιωτικῆς ἀπήλλακτο, καὶ τῆς ὄψεως ἠξιώθη ἐκείνης τῆς θαυμασίας. τοιοῦτος γὰρ ὁ δεσπότης ὁ ἡμέτερος· ἐπειδὴν ἴδῃ ψυχὴν βυγκύπτουσαν, καὶ τῶν παρόντων ἀπολιὼ ποιουμένην λόγον, πολλῷ μᾶλλον αὐτὸν τὸ οἰκεῖον ὑπιδείκνυται πρόσωπον. ὅρα τοίνυν Ⓦ δίκαιον τοῦτον ὅτι τὸ ἐδάφους χείμενον, καὶ ὑπάσιαν ὁρῶντα, μᾶλλον ἢ τὸ Θεοῦ ὑπάσιας ἀξιόμνημον. Ἐνυπνιάσθη γὰρ, φησὶ, 12 καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἁφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ Ⓐ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον ἐπ' αὐτῆς. 13 Ὁ δὲ κύριος ἐστήκειτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ισαάκ· μὴ φοβοῦ.

Θέα μοι ἐν ταῦτα τὸ φιλανθρωπότατον Θεοῦ τὴν ἐναλλαγὴν κηδεμονίαν. ὅτι γὰρ ἐώρα τὴν συμβουλὴν τῆς μητρὸς διὰ Ⓦ τὸν ἀδελφοῦ φόβον τὴν ἀποδημίαν καταδεξάμενον,

καταδεξάμενον, ϗ καθάπερ ἀληθῶς τινὰ ὕπνον τοῦτον ὁδοιποιΐαν ποιούμενον, * ϗ ὑδαμόθεν ὑποδεμίαν ἔχοντα προφασιν, ἀλλὰ τὸ πρῶτον ὅτι τοῦ αἴρειν συμμαχίαν ὑπερρίψαντα, βύθιος ὢν τοῖς ὁσημέραι νηφούσαις αὐτοῦ τοῦ προθυμίαν βυλόμενος ὑποφαίνεται αὐτῷ, καὶ φησιν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, ϗ ὁ Θεὸς Ισαὰκ τὸ παιδός σου. ἐγὼ δὲ ⟨ω⟩ πατριάρχου ϗ τὸν πατέρα τὸν σὸν εἰς τοσαύτου αὐξηθῆναι προφάνειαν ἐποίησα. μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε ὅτι ἐγώ, ὁ σκείνοις τὰς ὑποσχέσεις πληρώσας, καὶ σε τῆς ἐμῆς ἀξιώσω προνοίας. μὴ οὖν φοβοῦ, ἀλλὰ θάρσει, δὲ πᾶσαν δειλίαν ἀποσάμενος πίστευε τοῖς παρ' ἐμοῦ σοι λεγομένοις. Καὶ γὰρ τοῦ γλῶ, ἐφ' ᾗ σὺ καθεύδεις, σοι δώσω αὐτοῦ, ϗ τῷ σπέρματί σου, 14 Καὶ ἔσαι ὁ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς θαλάσσης. Μὴ νομίσῃς, φησὶν, ὅτι ὅτι τῆς ἀλλοτρίας γῆς πορεύῃ, ἀποτερηθῆναι τῆς γῆς ταύτης, ἕνθα ἐτέχθης, ἕνθα ἐτράφης, ἕνθα ηὐξήθης. ϗ γὰρ σοι αὐτοῦ παρέξω, ϗ τῷ σπέρματί σου, ὅσον ὡς τοῦ ἄμμον τῆς θαλάσσης αὐξηθῆναι προσκυνάσω, Καὶ πλατυνθήσεται πρὸς θάλασσαν ϗ λίβα δὲ βορρᾶν ϗ ἀνατολάς,

Ἀντὶ τοῦ, πρυτανικοῦ σκηνωθήσεται, Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ϗ ἐν τῷ σπέρματί σου. Ὅρα πῶς ἥδη πρῶτα αὐτῷ τὰ μὴ πολιτικὰ ἐσήμηνα χρόνον μιμνύει. οὕτω γὰρ ἔθος τῷ τῶν ὅλων δεσπότῃ ἐφ' ἑκάστου τῶν δικαίων τοῦτο ποιεῖν· ὑπισχνεῖται μὲν, μὴ προφέρημα τοῖς σκηνοῖς εἰς ἔργον ἄγειν, ἀλλὰ γυμνάζειν τὸν δικαίων τὸν σκηνικὸν ϗ τὸν πολιτικὸν σκοπόν, ϗ ὅτω μὴ πολλῆς τῆς δαψιλείας πληροῖ τὰ ἐπαγγελθέντα. Εἶτα ὅπως σκηνέχετο αὐτῷ τὰ μέλλοντα μὴ τοῦτα γνῆσεσθαι, ἐδείκνυτο ὁ δίκαιος ὁ τῆς τυχούσης προσκλήσεως ϗ ἐν τοῖς αὐτῷ μάλιστα προσχείμοις, ὅρα τὸν ἀγαθὸν δεσπότην, πῶς ϗ τὰ μέλλοντα σκηνοῦσθαι, δι' ὧν νεῦ πρὸς αὐτὸν ὑποδείκνυται πρὸς ἐκείνων θαρρεῖν προσκυνάζει. μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ὅτι τοῦτα μόνα σοι σκηνοῦμαι, 15 Ἀλλὰ δὲ νεῦ μὴ σοῦ εἰμι φύλαξ σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐάν πορευθῇς. Μὴ τοίνυν νομίσῃς μόνος τὴν ὁδοιποιΐαν ποιεῖσθαι· ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ, πρῶτα μὲν τὰ δυσχερῆ ἐξευμαλίζοντα, ϗ τὰ δύσβατα εὔβατα κατασκευάζοντα. Εἶτα ὑποτείνων αὐτῷ τοῦ προθυμίαν, ἥδη προεμηνύει αὐτῷ ϗ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον. Καὶ ἀποστρέψω σε, φησὶν, εἰς τὴν γῆν ταύτην. Μὴ δείσῃς ὡς ὅτι τῆς ἀποικείας λοιπὸν ἀφέξων. δὲ γὰρ ἐπάνω σε εἰς ταύτην τὴν γῆν, Καὶ ὃ μὴ σε ἐγκαταλίπω, ἕως ὃ ποιήσω με πάντα ὅσα ἐλάλησά σοι.

Οὐ προδώσω σε, φησὶν, ἀλλὰ ταῦτα πάντα, ἅπερ ὑπεσχόμην, εἰς ἔργον ἐλθεῖν προσκυνάσω. πῶς ἂν τις κατ' ἀξίαν σκηπλαγείη τοῦ ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τοῦ ὑπερβαλλούσαν συγκαταβάσιν; ὅρα πόσον ὄγκον ὑποσχέσεων ἐποιήσατο πρὸς ⟨ω⟩ δίκαιον, ϗ ὅπως αὐτοῦ τὸ φρόνημα διανέστησε. δὲ ἐπειδὰν θαυμάσῃς τοῦ Θεοῦ τοῦ φιλανθρωπίαν, σὺ νόει καὶ τοῦ δικαίου τοῦτο τὸ εὐγνωμοσυνίου, καὶ ὅτι μὴ τοσαύτας ὑποσχέσεις εἶχεν ἐπ' ἀριθμὸν παλαιπωρηθείς προθύμως τῷ Λάβαν, σὺκ ἐδυσχέρανεν, σὺκ ἀπήρκησε πρὸς τὸ μῆκος τοῦ χρόνου· ἀλλὰ πρῶτα θυμαίως ἔφερεν, δυναμούμενον τῷ ὑποσχέσεων τὸ πλῆς, ϗ εἰδὼς ὡς οὐχ οἷόν τε τὰ πρὸς τοῦ Θεοῦ ῥηθέντα ματαιωθῆναι, ϗ μάλιστα ἐπειδὰν ἡμεῖς τὰ πρὸς ἑαυτοὺς εἰσενεγκεῖν ἀναβάλλωμεθα, τὴν πίστιν, τοῦ ὑπομονὴν, ὃ τοῖς μήπω γεγονόσιν, ἐπειδὰν ὁ δεσπότης ὑπόσχηται, ὡς ἤδη εἰς ἔργον ἐληλυθόσι θαρρεῖν. τοῦτο γὰρ ἀληθῶς πίστις, ὃ μὴ τοῖς ὁρωμένοις πρόσεχειν, καὶ ἀνυπόστατα ἡγεῖσθαι τὰ γινόμενα τῇ ὑποσχέσει, ἀλλὰ θαρρεῖν τῇ δυναμένῃ τοῦ ἐπαγγειλαμένῳ. τέως ὁ ἴδωμεν τὸ δικαίου τοῦτο τοῦ εὐγνωμοσύνου. 16 Καὶ ἐξηγέρθη, φησὶν, Ιακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, ϗ εἶπεν, ὅτι ὄντως κύριος ἐν τῷ τόπῳ τούτῳ.

τῷ.

τω. ἐγὼ ὃ οὐκ ᾔδειν· 17 Καὶ ἐφοβήθη ϗ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. Καταπλαγείς, φησιν, ὁ δίκαιος τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐφοβήθη, ϗ εἶπεν, οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος τοῦ Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. οὗτος ὁ τόπος λοιπὸν ἐμοὶ οἶκος τοῦ Θεοῦ γενό-
5 μιζε. τοσαύτης οὖν ὀπτασίας ἀξιωθεὶς, ϗ αὐτὸν, ὡς εἶπον, τὴν πύλιον τοῦ οὐρανοῦ θεατὴν μόνος, δίκαιος ἂν εἴην τὴν ὀφειλομένην εὐχαριστίαν ἀνενεγκεῖν σὺν τοῖς ὧδε οὖσι. 18 Καὶ ἀνέστη Ιακὼβ, καὶ ἔλαβε Ⓦ λίθον, οὗ εἶχε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ὀπτὶ ὃ ἄκρον αὐτῆς, 19 Καὶ
10 ἐκάλεσεν Ιακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, οἶκος Θεοῦ. Ἕτερον γὰρ ἦν ὄνομα τῇ πόλει τὸ πρότερον. ὀπτῶ μεγάλων ἠξιώθη διὰ τῆς ὀπτασίας, τῇ προσηγορίᾳ τὴν μνήμην ἐναποτίθεται βάλεται τῷ τόπῳ, ϗ ὀπίσω εἰς τὸ ἑξῆς ἐργάσασθαι. ϗ Ⓦ λίθον ἀντὶ τῆς στήλης στήσας, ϗ τὸ ἔλαιον ὀπτέχεας (τοῦτο γὰρ αὐτὸν μόνον εἰκὸς ὀπτοφέρεσθαι, ἅτε οὕτως ὀδοιπορῶντα) εὐχὴν προσάγει τῷ φιλανθρώπῳ Θεῷ πάσης
15 γέμουσαν φιλοσοφίας. καὶ εἰ βάλεσθε, καὶ αὐτῶν ἐπακούσωμεν τῶν ῥημάτων.

20 Ηὔξατο γάρ, φησιν, εὐχὴν λέγων, ἐὰν ᾖ μετ' ἐμοῦ ὁ Θεὸς μετ' ἐμοῦ, ϗ φυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι. Ἐπειδὴ εἶπεν, ὅτι ἐγώ εἰμι μετὰ σοῦ, ϗ διαφυλάξω σε ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύῃ, διὰ τοῦτο καὶ αὖθίς φησιν, εἰ ἐκεῖνά μοι ἐπαρκέσει, ἅπερ μοι ὑπέσχου. εἶτα ϗ αἴτησιν οἰκοθεν προσφέρει, λέγων,

Ἐὰν δῷ μοι κύριος ἄρτον ϗ ἱμάτιον περιβαλέσθαι. Οὐ πλοῦτον, ὃ πρεσβεύσαι
20 ἀνὰ ἠτήσατο, ἀλλ' ἄρτον ϗ ἱμάτιον, ὃ μὲν εἰς τὴν τοῦ σώματος περιβολὴν, ὃ δὲ εἰς τροφὴν τῆς ζωῆς. σκόπει πῶς ἀποστολικὸν χαρακτῆρα διὰ τῆς αἰτήσεως ἡμῖν ὑπέζατο. οὕτω πολλῆς ἔτεμε τῆς φιλοσοφίας τοῦ δικαίου τὸ φρόνημα. ὅταν γὰρ ὁ Χριστὸς ἔλεγε, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἀργύριον, μηδὲ δύο χιτῶνας, τοῦτο οὐδέπω πρὸ ὑδέ- Matth. c. 8.
νὸς διδαχθεὶς, ἀλλ' οἴκοθεν ὢν οὐκ τοῦ ἐκπεμφθέντος τῇ φύσει τῇ ἡμετέρᾳ διδασκάλου ταῦτα
25 μαθών, ἐπεζήτει πρὸ τοῦ δεσπότου αὐτῷ προσφωνῆσαι, ἄρτον φαγεῖν ϗ ἱμάτιον περιβαλέσθαι. ἐὰν ταῦτά μοί, φησιν, ὑπάρξῃ ὀπὶ τῆς ἀλλοτρίας, 21 Καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς Ⓦ οἶκον τοῦ πατρός μου, Καθαίρων ὑπέστρεψε,
Καὶ ἔσται κύριός μοι εἰς Θεὸν, 22 Καὶ ὁ λίθος οὗτος, οὗ ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ, καὶ πάντων ὧν ἂν μοι δῷς δεκάτην ἀποδεκατώσω αὐτά σοι.

30 Ὅσα τῆς δικαίου τὴν εὐγνωμοσύνην. τὴν αἴτησιν μὲν αἰτούμενος, οὐδὲν πολυτελὲς αἰτήσας κατεδέξατο, ἀλλ' ἄρτον ϗ ἱμάτιον· ὑπισχνούμενος δὲ τὰ πρὸ ἑαυτοῦ τῷ δεσπότῃ, εἰδὼς αὐτῷ τὸ φιλότιμον ἐν ταῖς δωρεαῖς, ϗ ὅτι ὑπερβαίνει ταῖς αἰτιδόσεσι τὰς ἐννοίας τὰς ἡμετέρας, φησὶ, ϗ τὴν πέτραν ταύτην εἰς οἶκον Θεοῦ ἕξω, ϗ πάντων τῶν παρὰ σοῦ μοι χορηγουμένων τὰς δεκάτας ἀποδεκατώσω. εἶδες γνώμην φιλότιμον. ὅπως
35 οὐδὲν ἔλαβε, ϗ ὑπισχνεῖται τῷ μηδόντων αὐτῷ δίδοσθαι τὰς δεκάτας τῷ Θεῷ προσοίσειν.

Μὴ ἁπλῶς, ἀγαπητοὶ, παραιτησώμεθα τὰ εἰρημένα, ἀλλὰ ζηλώσωμεν ἅπαντες ΗΘΙΚΟΝ
τοῦτον Ⓦ δίκαιον, Ⓐ ὃν τῇ χάριτι τὸν περὶ τὸν νόμον, ϗ μηδὲν βιωτικὸν αἰτώμεθα παρὰ
τοῦ δεσπότου. οὐδὲ γὰρ ἀπειθεῖ τὸ πρὸς ἡμᾶς ὑπομνῆσαι, ἀλλὰ κἂν μὴ αἰτῶμεν, ἡ-
μῖν τὰ πρὸς τὸ χρείαν δωρεῖται. Ἀνατέλλει γὰρ Ⓦ ἥλιον ὀπὶ πονηροὺς ϗ ἀγαθοὺς, ϗ Matth. c. 5.
40 βρέχει ὀπὶ δικαίους ϗ ἀδίκους. ϗ πειστώμεθα αὐτῷ παραινοῦντι ϗ λέγοντι, Ζητεῖτε πρῶ- Matth. c. 6.
τον τὴν βασιλείαν τοῦ Θεοῦ, ϗ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ὁρᾷς ὅτι αὐτὸς ἐκεῖνα ἡμῖν ὑποτίμασε παραχεῖν, ἃ ταῦτα ἐν προσθήκης μέρει δοῦναι ἐπαγγέλλεται. μὴ τοί-νυν ἅπερ ἐν προσθήκης μέρει λαμβάνειν μέλλεις, ταῦτα ὡς προηγούμενα αἴτει·

μηδὲ διὰτιςρέφωμεν τὴ τάξιν, ἀλλὰ ζητῶμεν ἐκεῖνα, καθὼς ἐπέταξεν, ἵνα κἀκείνων
καὶ τούτων ἐν ἀπολαύσει γενώμεθα. δῆλα γὰρ τοῦτο καὶ ἐν τοῖς τῆς θύρας ῥήμασιν ὁρᾶις ἡ-
μῖν δὲ καινότας ὑβρεις, μέλει τινος δεῖ τὴν πρώτην βιωτικὴν αἴτησιν ποιεῖσθαι, τὰ ῥήματα
Matth. 6. 12. ἐκεῖνα λέγειν ἡμᾶς ἐκέλευσε, τὰ πάσης φιλοσοφίας γέμοντα, Τὸν ἄρτον ἡμῶν τὸν ἐπι-
ούσιον δὸς ἡμῖν σήμερον, αἰτεῖ τὸν, τὴν τῆς ἡμέρας τροφήν· ὅπερ ὁ δίκαιος Ἰὼβ ἔλεγεν
τούτων ἀκηκοὼς ἤυχετο λέγων, ἐὰν δῶ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι.
μὴ τοίνυν ἕτερόν τι τὴν βιωτικὴν αἰτῶμεν παρ' αὐτοῦ. ἀνάξιον γὰρ σφόδρα τῆς τοῦ
ὅπου φιλοτιμίας καὶ τοσαύτην δυναμένους περιουσίαν κεκτημένους ταῦτα αἰτεῖν, ἃ τῶν πα-
ρόντι συγκαταλύεται βίῳ, καὶ πολλὴν ἔχει τὴν μεταβολὴν καὶ τὴν μετάπτωσιν. τοιαῦ-
τα γὰρ ἅπαντα τὰ αἰσθητὰ, κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν δόξαν ἀν-
θρωπίνην· ἀλλ' αἰτῶμεν τὰ [ ἀμείνω καὶ ] ἀεὶ μένοντα, τὰ τῆς ἀρχῆς καὶ μεταβολὴν οὐκ
ὑπομένοντα. ἐπεὶ εἰδότες τοῦ ἡμετέρου δεσπότου τὴν ἀγαθότητα, μηδὲν ποιώμεθα λό-
γον τῶν παρόντων, ἀλλὰ πᾶσαν ἡμῶν τὴν σπουδὴν εἰς τὴν ἐπουρανίων πόθον με-
ταθήσωμεν. εἰ γὰρ τὸν ἥλιον αὐτοῦ δυνατέλλει ὀπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ὀπὶ
δικαίους καὶ ἀδίκους, πολλῷ μᾶλλον τοῦ ἀπεχομένους τῆς πονηρίας, καὶ τὴν ἀδικίαν φύ-
γοντας ὑ προθύμως, ἀλλὰ πολλῆς ἀξιώσει τῆς προνοίας, καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐν
ἅπασι παρέξει. ὅπερ εἰδότες, ἀγαπητοὶ, μὴ ἀπιστῶμεν τοῖς τοῦ Θεοῦ ὑποσχέσεσι,
μηδὲ ἐναντία ὧν ἐκέλευσε ζητῶμεν. τὰ γὰρ νῦν παρ' ἡμῶν γινόμενα τοῦτον ἀ-
πιστοῦντων διενυόχευε. ὅταν γὰρ αὐτὸς μὲν ἐπαγγέλληται τὰ μέλλοντα, ἡμεῖς δὲ μὴ βου-
λώμεθα θαρρεῖν ἐκείνοις, ἀλλὰ τοῖς παροῦσιν ὦμεν προσηλωμένοι, ποῖον ἕτερον δεί-
γμα ἀπιστίας λοιπόν τις ὀπιζητήσειε, τῶν προγμάτων αὐτῶν λαμπρὰν ἀφιέντων φω-
νήν; καὶ πάλιν αὖτε κελεύοντος μηδὲν ἡμᾶς ζητεῖν παρ' αὐτοῦ τῶν ὀπτικήρων τούτων καὶ βιω-
τικῶν, ἀλλ' ἐκείνων μᾶλλον, ἡμεῖς ἀπ' ἐναντίας αὐτῷ ἐρχόμενοι, ἅπερ εἶπε μὴ ζητεῖν,
ἐκεῖνα ζητοῦμεν, ἃ δὲ εἶπε ζητεῖν, ἐκεῖνα δ' ζητοῦμεν, καὶ ταῦτα δῆλα ποιούμε-
νοι, καὶ ὅτω ῥᾳθύμως καὶ καθ' ἑαυτοὺς διοικοῦντες, καὶ παροργίζοντες τὴν ἡμέραν καὶ προσ-
ευχῶν δεσπότην, ὥσπερ ὑπιλαθόμενοι τῶν παρ' ἡμῶν γινομένων, τὴν αἰτίαν ζητοῦμεν τῆς
καθ' ἡμῶν ἀναισχησίας, ἐξ ἧς ἕνεκεν ἡμᾶς πολλαχοῦ παρορᾷ ποικίλοις πειρασμοῖς
περιπίπτοντας· καὶ οὐκ ἐννοοῦμεν ὃ μέγεθος τῶν ἡμῶν ἡμαρτημάτων, ἀλλ' ἐκόντες ἑαυτοὺς
παραλογιζόμεθα. διὰ, παρακαλῶ, πάντα ταῦτα ἀποστείσαμενοι, μηδὲν ἕτερον τῆς
Matth. 6. 33. οἰκείας σωτηρίας προτιμῶμεν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν μὲν τὸν κόσμον ὅλον
κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; καὶ τὰ περιττὰ τῶν χρημάτων ἤδη χεννώσωμεν εἰς
τοὺς δεομένους, καὶ πολλὴν ἐν ἅπασι τὴν φιλοσοφίαν ὀπιδειξώμεθα τῆς ματαίας δόξης
καταφρονοῦντες, τὸν ἄνθρωπινον τύφον καταπατοῦντες, καὶ πολλὴν τὴν ἀγάπην
πρὸς ἀλλήλους ὀπιδεικνύμενοι· ἵνα δὲ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαύ-
σαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πα-
τρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

Λογ. νε. ΚΑΙ ΕΙΠΕ ΛΑΒΑΝ ΤΩ ΙΑΚΩΒ, ΑΔΕΛΦΟΣ ΜΟΥ
εἶ σύ· ὑ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου.

Καὶ ἰδοὺ ἡμᾶς ἤδησαν αἱ ποιμαὶ τῆς ἀποδημίας τοῦ δικαίου τῆς φιλοσοφίας αὐτοῦ· ὁ μέγας ἐπαίδευσε, δι' ὧν αἰτίαν ἔσχεν τοσαύτης τῆς καταστάσεως ἠξιώθη παρὰ τοῦ Θεοῦ. θαρσήσας πάλιν, διὰ τῆς αἰτήσεως καὶ τῆς θλίψεως, ἵνα ἐποιήσατο ποὸς τὸν ὅλων Θεόν, ἐρχόδοσαν ἡμῖν ἅπασι διδασκαλίαν παρεῖχεν, εἰ βουληθείημεν ποὸς μίμησιν διεγρηγορέναι τῆς ἀρετῆς τοῦ δικαίου. καὶ γὰρ θαυμάσαι ἄξιον ὅπως καὶ τὴν δύναμιν εἶδως τοῦ καταρωμένου, καὶ τὴν ἐπαγγελθέντων αὐτῷ ὁ μέτρος ἀκηκοώς, οὐδὲ οὕτω μέγα τι καὶ ὑπερογκον αἰτήσας κατεδέξατο, ἀλλ' ἐκεῖνα μόνον αἰτήσας, ἅπερ ἤδησαν ἠκηύσατε, ὅσα ποὸς τὴν ἐφήμερον αὐτῷ τροφὴν ἀρκεῖν ἠδυνάτο, καὶ τὴν τοῦ σώματος ποὸς ὀλίγον ποὸς ἀγειν, ὑπολειπεῖται, εἰ τὴν ἐπόμοδον αὐτῷ τὴν εἰς τὰ οἰκεῖα χορείσαιτο, καθάπερ ὑπέσχετο, πόνων αὐτῷ δεκάζας δώσειν, ὧν δὴ λάβοι παρ' αὐτοῦ· δι' ἃ πόνων δείκνησιν αὐτοῦ τὸ φιλόθεον, καὶ αὐτὸν ὑπεραφόλυπος τῶν ἀπόνων χορηγῶν, καὶ διδάσκων ἡμᾶς μόνῳ αὐτῷ πόνων εἰδέναι χάειν. ἤδει γὰρ ὁ δίκαιος, εἰδὼς τὸ ἀφάτου αὐτοῦ φιλαγαθοσπίας τὸ ὑπερβολὴν, καὶ ἐννοῶν τοῦτο δὴ ὧν εἰς ὃν αὐτοῦ πατέρα ἐπεδείξατο, ὅτι καὶ αὐτὸν ἐν πολλῇ καταιγίσει τῇ ποιμνίσια. καὶ τούτων μὲν αὐτὸς οὐδὲν αἰτεῖ παρὰ τοῦ δεσπότου, οὐδὲ ἀνέχεται ποὸς τούτων ἱκεσίαν ποιήσασθαι ἀγειν, ἀλλὰ δι' ὧν ὑπέσχετο τοῖς δεκάτας δώσειν, ἔδειξεν ὅπως ἐν ἅπασι θαρρεῖ τῇ τοῦ ὑποφόλυπος δυνάμει. δι' ἃ γὰρ ὅτε καὶ αὐτὸς, ἵνα καὶ αὐτῷ διελέγετο, ἔλεγεν, ἐγὼ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ Ἰσαὰκ τοῦ πατρός σου. μὴ φοβοῦ. ἐννόησον, φησιν, ὅτι καὶ ὁ πατριάρχης, καθάπερ ξένος καὶ ἄγνωστος, εἰς τὴν γῆν ταύτην παρῳκησεν εἰς τοσαύτην ἦλθε ποιφάνειαν, ὡς ἐν τοῖς ἀπόνων εἶναι τόποις. καὶ τὸν πατέρα δὲ τὸν σὸν λογίζου, ὅτι ἐν ἑκάστῳ χήρᾳ τῷ πατρὶ τελεθεὶς, ὅτως ἠυξήθη, ὡς ὀλιγοστὸν χρέσθαι τοῖς ἐγχωρίοις αὐτόν. ταῦτα οὖν καὶ αὐτὸς προσδοκῶν, πόνων φόβον καὶ ἀγωνίαν ἀποσεισάμενος ἔχου τῆς ἀποδημίας. ταῦτα ὁ δίκαιος λογισάμενος, καὶ ὅτι ποὸς τὸ ἐν ᾧ παρόντι καπάσαιν ἀπιδών (οὐδὲν γὰρ ὅλως ἐπεφέρετο· πῶς γὰρ μόνος ὢν καὶ ὁδοιπορεῖν δύναμενος;) ἀλλ' ἤδη τοῖς τῆς πίστεως ὀφθαλμοῖς τοῦ μετ' ὀλίγον μέλλουσαν αὐτῷ ἔσεσθαι θύποειδῆ ποιορῶν, τοῦ οἰκείου θύγατρος ὑπιδείκνυται, καὶ μηδέπω λαβὼν ὑπισχῆται, ἀξιοπιστότερον αὐτῆς τῆς πείρας τὴν ποιαγμάτων εἰ) νομίζων τοῦ ἐπαγγελίου τοῦ δεσπότου. οὐδὲ γὰρ ὅτω τοῖς ὁρωμένοις καὶ ἐν χροσὶ κειμένοις θαρρεῖν ὀφείλομεν, ὡς ταῖς παρὰ τοῦ Θεοῦ ὑποσχέσεσι, καὶν μὴ πρὸς αὐτὸν ὦμεν εἰς ἔργον ἐκβάσι. θαρσος τοίνυν μέγιστον λαβὼν ἐκ τῶν παρὰ τοῦ Θεοῦ ποὸς αὐτὸν ῥηθέντων ὁ δίκαιος, εἴ)χετο τῆς ἀποδημίας. πῶς γὰρ οὐκ ἔμελλε θαρρεῖν ἀκούσας, ὅτι ἰδοὺ ἐγὼ μεθ' σοῦ εἰμι, καὶ φυλάξω σε ἐν τῇ ὁδῷ ταύτῃ ἃ ἐὰν πορεύσῃ, καὶ πληθυνῶ τὸ σπέρμα σου, καὶ ἀποστρέψω σε πάλιν εἰς τὴν γῆν ταύτην, καὶ οὐ μή σε ἐγκαταλίπω, ἕως οὗ πάντα ὑποδεχήσω εἰς ἔργον ἀγαγεῖν ἃ ἐπαγγελθέντα; ἀλλ' ὅπερ ἤδης ἔλεγεν, ἐννόει καὶ τοῦ Θεοῦ τὴν ὑμὴν χάριν σοφίαν, καὶ ὁ δίκαιός τότε τὴν πολλὴν ἐπομονὴν καὶ ὑπογωμοσύνην. μεθ' ἡδονῆς γὰρ ταύτας ἐποσχέσεις ἀνασὰς, ὥρμησεν ὑπὲ τὴν Χαρράν, καὶ πάλιν ἀληθῶς καὶ ξένος ὄντως ποιήσας τὴν ἀποδημίαν, καὶ ὑπὲρ πάντων ἀπολαύει τῆς ἀνωθεν οὐσίας, ὁ φιλαγαθοσπος Θεὸς ἅπαντα αὐτῷ ποιοδοποιούντος, καὶ τὴν οἰκείαν ἐποδέχεσθαι ὑπὲρ τῶν ἔργων ὑπιδεικνυμένος. ὁ γὰρ εἰπὼν, ὅτι μετὰ σοῦ εἰμι, φυλάξω σε ἐν τῇ ὁδῷ ᾗ ἐὰν πορεύσῃ, οὗτος ὡδήγησε καὶ ἤγαγε τὸν δίκαιον ἐπὶ τὸ φρέαρ τοῦ ὕδατος, ἔνθα ἐποίζον τὰ ποίμνια ἐγχώρια· πρὸς ὧν πυθόμενος καὶ ποῖ τὸ Λάβαν τὸ ἀδελφοῦ

φοῦ τῆς μηδὸς αὐτοῦ, καὶ μαθὼν τὰ κατ' αὐτὸν ἅπαντα, εἶτα καὶ τῷ τάφῳ θυγατέρα καὶ τὰ ποίμνια θεασάμενος, ὁρᾷ τε σὺν ἐγχειρίας ὁ δυναμούμενος" αὐλῆς ἐρχέσαι τοσοῦτος ὃ μετακινῆσαι τὸν λίθον ὁ φρέατος, καὶ ποτίσαι τὰ τοσαῦτα, ὅπισθεν σοῦ, ὅπερ ἐκεῖνοι ποιῆσαι οὐκ ἴσχυον, αὐτὸς ὑπὸ τῆς ἄνωθεν συμμαχίας δυναμούμενος, τοσοῦτον φθάνει τὰς ἐργασίας ΩΝ Λάβαν, καὶ μετακινήσας τὸν λίθον ποτίζει τὰ τοσαῦτα, ἅπερ ἔνεμεν ἡ Ραχήλ. Εἶτα ἀσπασάμενος τὸν κόριον, καὶ γνωρίσας τίς τε εἴη, καὶ πόθεν τοσοῦτος ἐγένετο, ἔμενεν ἐφ' ἑαυτῷ. Ἀλλ' ὅπως Θεὸς ἐᾷ ὁ ἅπαντα ΩΝ δικαίῳ τοσοδοποιῶν, σοῦ καὶ τῷ κόριον διηγήσασθαι μὴ πολλοῦ τοῦ χάριτος δραμεῖν καὶ ἀναγγεῖλαι ταῦτα τῷ πατρὶ, ὃς ἀδελφὸς ἐτύγχανε τῆς τούτου μητρὸς, καὶ διηγήσασθαι τῷ τε ὑπεργασίαν τῷ πρὸς αὐτὸν ἠμοιβῶν εἰς τε αὐτὸν ἐκ τὰ πρόσω, καὶ ὅτι οὐδὲ ξένος τίς ἐστιν οὐδὲ ἄγνωστος, ἀλλὰ τῆς ἀδελφῆς υἱός. σκέπτει μοι, ἀγαπητὲ, τῆς θείας γραφῆς τὴν ἀκρίβειαν, ὅπως ἡμῖν ἅπαντα σαφῶς διηγεῖται, παιδεύουσα ἡμᾶς τὴν παλαιὰν σοῦ ζῆσαι, ἐκ ὅλως ἐπιδεικνυμένη τὸ τοσοῦτον καὶ τὴν φιλοξενίαν. ἵνα γὰρ δείξῃ καὶ τῆς κόρης ὃ τοσοῦτον, οὐχ ἁπλῶς εἶπεν, ὅτι ἀπῆλθε, καὶ ἀπήγγειλε τὰ γεγονότα, ἀλλὰ δραμοῦσα, αὐτὴ τὸ, μὴ πολλῆς τῆς τοσαύτης χρείας. Εἶτα καὶ τοσοῦτο τὸ Λάβαν, ὃς πατὴρ αὐτῆς ἐτύγχανε, φησὶν, ὅτι ταῦτα ἀκούσας τοσοῦτος τῆς κόρης, ἔδραμε καὶ αὐτὸς εἰς ζωαρτησιν τῷ Ιακὼβ, καὶ ἀσπασάμενος αὐτὸν εἰσήγαγε εἰς ΩΝ οἶκον αὐτοῦ. καὶ μαθὼν ὁ Λάβαν ἅπαντα
κξ΄. κθ. πρὸς αὐτὸν μὴ ἀκριβείας, 14 Εἶπέ, φησὶν, αὐτῷ, ὄκ τῶν ὀστέων μου καὶ ὄκ τῶν σαρκῶν μου εἶ σύ. Τῆς ἀδελφῆς, φησὶ, τῆς ἐμῆς τυγχάνων υἱός, οὐδὲν ἕτερον, ἢ σαρξ ἡμῶν τυγχάνεις, καὶ ἀδελφὸς ἡμέτερος. 15 Καὶ ἐᾷ μετ' αὐτοῦ, φησὶ, μῆνα ἡμέρων.

Λοιπὸν ὡς ἐν οἰκίᾳ ἰδίᾳ οὕτω διῆγε ὁ δίκαιος, ἐν ἀδείᾳ τυγχάνων καὶ πάσης ἀπηλλαγμένος φροντίδος. Ἀλλ' ὅπως Θεὸς ἐᾷ ὁ τὰ πρόσω τοσοῦτος συμφέρον οἰκονομῶν τῷ δικαίῳ τούτῳ, καὶ ἐν ἅπασιν αὐτῷ τὸν πρὸς ἑαυτὸν σωτηρίαν ἐργαζόμενος, σοῦ καὶ τὸ Λάβαν τὸ τοσοῦτον διήγειρε. Ἐ ὁρᾷ τὸ ὑδρὸς τὸ ὑπειλεμένον, φησὶ τοσοῦτος αὐτὸν,

11 Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. Ἤτοι δὲ φονικὸν ἐνταῦθα λέγει, ἢ δὲ νεκρὰ προσφέρειν δόγματα, καὶ δυσώδη. οὐκ ἂν τις ἀμάρτοι, καὶ τῶν αἱρετικὰ φθεγγομένων ῥήματα καὶ στόματα ὅπου καλέσας, τάφον. πολὺ γὰρ τῆς ἀληθοῦς δυσωδίας ἐκείνη χαλεπωτέρα, ἀπὸ σηπεδόνος τικτομένη ψυχῆς. καὶ τῶν πλεονεκτῶν καὶ στόματα τοιαῦτα· ὅταν μηδὲν ὑγιὲς προσφέρωσιν, ἀλλὰ φόνους καὶ ἁρπαγάς. μὴ τοίνυν ἔχω τάφος δὲ στόμα σου, ἀλλὰ θησαυρός. πολὺ γὰρ ⓐ θησαυροὶ διενεγκάσι τῶν τάφων· οὗ ἐκεῖνοι μὲν φθείρουσιν ὅταν ἂν λάβωσιν, ἤτοι δὲ διατηροῦσιν. ἔγκε τοίνυν καὶ σὺ πλοῦτον φιλοσοφίας ἀεὶ μνώμενος, ἀλλὰ μὴ δυσωδίαν τινὰ δὲ σηπεδόνα. δὲ οὐχ ἁπλῶς εἶπε, τάφον, ἀλλ' ἀνεῳγμένον, ὥστε καὶ πλείονα δηλῶσαι τὴν βδελυγμίαν γίνεσθαι. δέον γὰρ κρύπτειν τὰ τοιαῦτα ῥήματα, ⓐ δὲ καὶ σκέφρασιν, ὥστε μᾶλλον αὐτῶν τὸν νόσον ἐνδείκνυσθαι. καὶ ὅτι μὲν τῶν νεκρῶν σωμάτων δὲ ἐνδυσίον πιοιοῦντες, τῇ γῇ παραδιδόμεν· ἤτοι δὲ ὅτι τῶν ῥημάτων τούτων δὲ ἐνδυσίον ἐργάζονται, καὶ, ὃ δέον καταπρύπτειν κάτω, ἐκφέροντες, καὶ πολλοὺς παραβλάπτοντες, καὶ προτιθέντες πᾶσιν ὁρᾶν. ἀλλ' ἐλεώμεθα τοιούτους. Εἰ γὰρ τὰ νεκρὰ σώματα ἔξω τῆς πόλεως καταβάπτομεν· πολλῷ μᾶλλον χρὴ τὰ νεκρὰ ῥήματα, καὶ χρὴ τὰ τοιαῦτα ἐκφέροντας, καὶ μηδὲ συσκιάσαι βουλομένους πόρρω που κατοικίζειν χρή· ὅπερ καὶ τῆς πόλεως λύμη, τὰ τοιαῦτα σώματά ἐστι. Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Εἶδες ἕτερον κακίας εἶδος. ⓐ μὲν ἐν τῇ βαθείᾳ κατακρύπτουσι δόλον, ῥήματα προσηνῆ προσφέροντες· ⓐ δὲ τοσαύτην κέχρηται τῇ δεινότητι, ὡς ἐν αὐλαῖς τοῖς ῥήμασι συσκιάζειν τὴν πονηρίαν, καὶ ῥᾳδίως δόλους καὶ ὑπουργίας. Κεῖνον αὐτὸν ὁ Θεός, 12 Ἀποπεσάτωσαν ἀπὸ τῶν βουλιῶν αὐτῶν. Ὅρα καὶ ἐνταῦθα τὴν ἠμερότητα τῆς βουλῆς. δὲ γὰρ εἶπε, κόλασον, ἀλλὰ κρῖνον αὐτοὺς καὶ παῦσον τῆς πονηρίας· δύνηται αὐτῶν ποίησον τὰ μηχανήματα. ὅταν δὲ ὑπὲρ αὐτῶν βούλεσθαί ἐστι, τὸ μηκέτι προσιέναι τὰ κακίας αὐλαῖς. Καὶ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκραναν σε Κύριε. Τουτέστιν, οὐδέν μοι μέλει τῶν εἰς ἐμὲ ὑβρισμάτων, ἀλλ' ὑπὲρ τῶν σῶν ἀλγῶ. ὅτω γὰρ μάλιστα φιλοσόφου ψυχῆς, ὑπὲρ μὲν τῶν οἰκείων μὴ ἀμύνεσθαι· ὑπὲρ δὲ τῶν εἰς Θεὸν ὑβρισμένων σφόδρα ἐπτοῆσθαι. τούτων ταὐτότητα πολλοὶ ποιοῦσι, τὰ μὲν τοῦ Θεοῦ προορῶντες, καὶ ἑαυτῶν μὲν πολλῆς ἐκδιχομένους τῆς σφοδρότητος. ἀλλ' οὐχ ⓐ ἅγιοι οὗτος, ἀλλ-

λοῖ

καὶ σοδροὶ τιμωροὶ τῶν εἰς Θεὸν γινομένων ἦσαν, καὶ ὑ ἑαυτῶν πρεσβύτερων.

13 Καὶ εὐφρανθήσονται πάντες Ⓐ ἐλπίζοντες ὅτι σέ. Ὅσα τις εὐχῆς τὸ κέρδος. κἀκεῖνοι βελτίους ἔσονται, καὶ σώσονται τῆς πονηρίας· καὶ ἕτεροι πολλῆς ἀπολαύσονται τῆς ἡδονῆς, τήν τε σκέπην μεταβαλλόμενοι ὁρῶντες, καὶ τὴν εἰς τὸ βέλτιον μετάθεσιν, καὶ ἕτερος ἀσυδαμοτέρας ταύτης γινομένους. Εἰς ᾄσματα ἀγαθιάσονται, καὶ κατασκηνώσεις ἐν αὐλαῖς. Αὕτη γὰρ μάλιστα ἡ χαρὰ διαμένει. ὡς ἄγε ἄλλαι, τῶν ποταμίων ῥευμάτων οὐδὲν ἄμεινον ἀφάκεινται ὁμοῦ τε φαινόμεναι καὶ ἀδαρρέουσαι· ἡ δὲ τοῦ Θεοῦ δύφεσις μένει καὶ πέπηγε, ἀφαρκὴς τέ ὅστι καὶ μόνιμος, οὐδεμιᾶς τῶν ἀδοκήτων θλίψεσιν ἀφακτομένη, ἀλλ' ὑψηλοτέρα γινομένη δι' αὐτῶν τῶν κωλυόντων. ἐπεὶ καὶ Ⓐ ἀπόστολοι ἐμαστιγώθησαν, καὶ ἔχαιρον· καὶ ὁ Παῦλος ἐθλίβετο, καὶ ἐσκίρτα· τελευταῖον ἐμένγε, καὶ κενωνὸς σκάλει τῆς ἡδονῆς, λέγων· Ἀλλ' εἰ καὶ σπένδομαι ὅτι τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. Τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. πῆς ὕπως ἡδομένοις ὁ Θεὸς ζωοποιεῖ. διὸ καὶ αὕτη ὕπω φησίν· Εἰς ᾄσματα ἀγαθιάσονται, καὶ κατασκηνώσεις ἐν αὐλαῖς. τοῦτο αὐτὸ καὶ ὁ Χριστὸς ἐλάλει, τὸ ἀκατάλυτον τῆς ἡδονῆς ἐμφαίνων· Πάλιν ὄψομαι ὑμᾶς, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει. καὶ Παῦλος πάλιν· Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε. 14 Καὶ κενοχήσονται ἐν σοὶ Ⓐ ἀγαπῶντες τὸ ὄνομά σου.

Τούτοις γὰρ μάλιστα ὅστι καυχᾶσθαι μόνοις, τούτοις χαίρειν, τούτοις ὑφεσίνεσθαι. ὡς ὅγε ὅτι τοῖς βιωτικοῖς καλλωπιζόμενος, οὐδὲν διενεώχε τῶν ἐν ὀνείρῳ πτυφώντων. Ἢ γὰρ, εἰπέ μοι, τῶν ἀνθρωπίνων οἷον πρέχειν καυχᾶσθαι; ῥώμη σώματος; ἀλλ' οὐκ ἔστι προαιρέσεως τὸ κατόρθωμα, διὰ τοῦτο καυχᾶσθαι ἑτέρηται· ἄλλως δ', καὶ μοιχεύει τις καὶ ἁρπάζει, πολλάκις δὲ Ⓜ ἔχοντα ἔβλαψεν, οὐκ εἰς δέον ταύτῃ χρησάμενον. τοῦτο καὶ ὅτι ὥρας καὶ ὅτι εὐμορφίας ὅστιν εἰπεῖν, καὶ ὅτι πλούτου, καὶ ὅτι δυναστείας, καὶ ὅτι πτυφῆς, καὶ ὅτι πάντων τῶν βιωτικῶν. Τὸ δ' ὅτι τῷ Θεῷ καυχᾶσθαι, καὶ τῇ ἀγάπῃ τῇ εἰς αὐτὸν, κόσμος ἀπάντων μείζων, καὶ λαμπροτέρα φαινομένη μυεία ἀφάνταται, καὶ δεσμώτης ὁ καυχώμενος ἦ. Ἔστ' ὁ κόσμος, οὐ νόσῳ, οὐ γήρᾳ, οὐ πραγμάτων πρεσάσει, οὐκ ἀνωμαλίᾳ χαρῶν, οὐκ αὐτῷ ἀφανίζεται τῷ θανάτῳ, ἀλλὰ καὶ τότε ἀφαλάμπει μείζονος.

Ὅτι σὺ εὐλογήσεις δίκαιον. Ἐπειδὴ πολλοὶ τῶν ὕπω ἀφανισμένων τοῦδε ἀνθρώπων κακίζονται καὶ καταγελῶνται, καὶ μάλιστα Ⓐ ἀρετὴν μετιόντες· ἵνα μηδεὶς τῶν παχυτέρων ὁκ τούτων καταπίπτῃ, ὅρα πῶς ἀνέχει τινὰ ἀφανισθῆναι αὐτόν, λέγων· ὅτι σὺ εὐλογήσεις δίκαιον. τί γὰρ βλαβέος ἀνθρώπων καταφρονουμένων καὶ τῆς οἰκουμένης ἁπάσης, ὅταν ὁ τῶν ἀγγέλων δεσπότης ἐπαινῇ καὶ ἀναπρύτῃ; ὥσπερ οὖν αὐτὸν μὴ εὐλογοῦντος, καὶ ἅπαντες ἐπαινῶσιν Ⓐ γῆν οἰκοῦντες καὶ θάλασσαν, οὐδὲν ὄφελος. τοῦτο τοίνυν πάντα χορὸν σχηπτῶμεν, ὅπως αὐτὸς ἡμᾶς ἀναπρύξῃ, ὅπως αὐτὸς φανῶσι. καὶ τοῦτο ἦ, πάντων ἐσμὲν ὑψηλότεροι, καὶ ἐν πενίᾳ, καὶ ἐν νόσῳ, καὶ τοῖς ἐχθροῖς ὦμεν κακοῖς. ἐπεὶ δὲ ὁ μακάριος Ἰὼβ ἐν χαρίᾳ καθήμενος, καὶ τῷ ἰχῶρι τῶν τραυμάτων πλυνόμενος, καὶ μυείας βρύων πηγὰς σκωλήκων, καὶ τὰ ἀπήκεστα πάθη ἔκνυα, καὶ τοῦδε οἰκετῶν ἐμπτυόμενος, καὶ τοῦδε φίλων, καὶ τοῦδε ἐχθρῶν, καὶ τοῦδε γυναικὸς ὀπισθιαθυόμενος, καὶ εἰς πενίαν, καὶ εἰς λιμὸν, καὶ εἰς ἀρρωστίαν τὴν ἀπήκεστον ἐκείνην κατενεχθεὶς, πάντων μακαριστότερος ἦν, ὅτι ὁ Θεὸς αὐτὸν ἐπήνεσε λέγων· Ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. 15 Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ἰωβ. 1. 8. Ἰωβ. 2. 3.

Πάλιν εἰς εὐχαριστίαν κατέληξεν, εὐχαριστηρίους ὕμνους ἀναφέρων τῷ Θεῷ. τί δέ ἐστιν ὅπλον εὐδοκίας; ὅπλον ἄρισον, ὅπλον κτῆμα θεοῦ, ὅπλον κάλλιστον. ὃ γὰρ λέγει τοιοῦτόν ἐστι· συμμαχία καλλίστη ἡμᾶς ἐπίχισας. ἕτερος γὰρ λέγων ἐρμηνευτής, σεφανώσεις αὐτόν, φησὶ τὸ δικαίου εἰρῆσθαι τοῦτο διδάσκει· ὅτι σεφανώσεις αὐτὸν τὸ δίκαιον, τουτέστιν, ἡ σὴ εὐαρέστησις ἀντὶ ὅπλου γένεται, καὶ ὅπλα καλλίστου· ἢ ἑκάτερον· ὅτι συμμαχία καλλίστη τειχίζεις τὸν δίκαιον. καὶ ὅτε τὸ κάλλος αὐτῷ ἀσφαλείας ἐξέρηται, ὅτε ἡ ἀσφάλεια αὐτῷ δόξης ἐστὶν ἔρημος. τί γὰρ ἰσχυρότερον ἀνδρὸς, τί δὲ ὠφελιώτερον τοῦ ὑπὸ τῆς ἄνω δόξιας τειχιζομένου; τοῦτο στέφανος καὶ ἀπὸ ἐλέους πλέκεται, καθάπερ
Ψάλ. ρβ. ϛ. ὁ αὐτὸς Δαβὶδ ἀλλαχοῦ φησι· Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ἔστι καὶ ἀ-
β. Τιμ. δ. ἡ. Παρεμ. λ. θ. καὶ Σοφ. λβ. γ. πὸ δικαιοσύνης, καθάπερ ὁ Παῦλος· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.
ἔστι καὶ χάρεντος στέφανος, ὥσπερ ἕτερος λέγει· Στεφανῷ σὲ χαρίτων ἐστεφανωμένον σε. ἔστι
Ἐσθ. κη. ε. δὲ καὶ στέφανος δόξης, καθάπερ Ἡσαΐας, Ἔσαι, λέγων, ὁ στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς δόξης. πρῶτα γὰρ ταῦτα ὁ στέφανος ἔχει, φιλανθρωπίαν, δικαιοσύνην, χάριν, δόξαν, ὑπερβολήν. Θεοῦ γὰρ ὄντι ὃ δῶρον, ποικίλλειν τοῦτο φέρον τὴν χάριν. ἔστι
α. Κορ. θ. κε. καὶ ἀφθαρσίας, καθάπερ φησὶ Παῦλος· Ἵνα ἐκεῖνοι φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. ὃ τοίνυν ἐνταῦθα λέγει, τοῦτό ἐστιν· ἀσφαλείᾳ καὶ δόξῃ ἡμᾶς τελείωσον. τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ δῶρα, ἰσχυρὰ καὶ ὑπερβολῆς γέμοντα. τοιοῦτοι δὲ στέφανοι. ὅτι μὲν γὰρ τῶν ἀνθρώπων οὐκ ἔνι τοῦτο· ἀλλ' ὁ μὲν ἐν δόξῃ, οὐκ ἀσφαλὴς πάντως· ὁ δὲ ἐν ἀσφαλείᾳ, οὐκ ἐν δόξῃ πάντως, οὐδὲ ῥᾳδίως ἂν συμβαίη ταῦτα· εἰ δὲ καὶ συμβαίη, ταχέως ἀποσύρεται. οἷόν τι λέγω. ἐν δυναστείαις ὄντες, λαμπροὶ μὲν καὶ περίφανοῖς, οὐκ ἐν ἀσφαλείᾳ δέ· ἀλλὰ διὰ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ὀχυροτάτοις χωρίοις καθεστήκασι, διὰ τὸ μέγεθος τῆς δόξης. ἐν ἀπερρίμμενοι καὶ ἀκαταφρόνητοι, ἐν ἀσφαλείᾳ μὲν διὰ τὸ μὴ γνωρίζεσθαι, οὐκ ἐν τιμῇ δέ· ἀλλὰ διὰ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ἀτιμίᾳ, διὰ τὸ ἐν ἀσφαλείᾳ εἶναι. ὅτι γὰρ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο· ἀλλ' ἀμφότερα μετὰ πολλῆς ζωηρότητος τῆς ὑπερβολῆς. συνοπτάσαντες τοίνυν τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ πρό γε πάντων τὸ ἀρέσκειν Θεῷ, ὅπερ καὶ ὅπλον καὶ δόξα καὶ ἀσφάλεια καὶ θαυμαστὸν ἀγαθὰ, μετὰ ὑπομονῆς τελέσωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, καὶ μὴ ἀναπεσωμέν ποτε, μηδὲ γυμνοὶ τῶν ὅπλων φανῶμεν. τοῦτο γὰρ τὸ πολέμου τοῦτο τὸ εἶδος οὐκ ἀνέχεται ἄοπλον τραπιώτην ἰδεῖν. ἀλλὰ τότε λύεται ἡ πρᾶξις καὶ, ὅταν λυθῇ τὸ δεσμωτήριον· λύεται καὶ τὸ δεσμωτήριον, ὅταν ἀπολύηται τὸ σώματος ἡ ψυχή. ὥστε ἕως ἂν ἐνταῦθα ὦμεν, πιστεύειν ἀνάγκη καὶ οἴκοι καθημένους, καὶ εἰς ἀγορὰν ἐμβάλλοντας, καὶ ἀργυροποιουμένους, καὶ νοσοῦντας, καὶ ὑγιαίνοντας. καὶ γὰρ ἐν τῷ χειρῶνι τῆς νόσου μάλιστα τῆς μακρᾶς ταύτης ὁ χειμὼν, ὅταν ὀδυνῶσι πάντοθεν θορυβῶσι τὴν ψυχὴν, ὅταν ἀλγηδόνες πολιορκῶσιν, ὅταν ὁ διάβολος ἐφεστήκῃ προξενῶν εἰπεῖν τι ῥῆμα πανοῦργον· τότε δὴ μάλιστα ἀσφαλίζεσθαι δεῖ, φερέσθαι τῷ θωρακι, τῇ ἀσπίδι, τῷ κράνει, τοῖς ἄλλοις ὅπλοις, καὶ διηνεκῶς θυμηδεῖν τῷ Θεῷ. ταῦτα χαλεπὰ κατὰ τὸν διάβολον βέλη, αὗται κακίαι καὶ τὸν δαίμονος πληγή, τότε μάλιστα λαμπροὶ ἐν στέφανοι. ἐπεὶ καὶ νῦν μαχέσιον Ἰωὴβ (οὐδὲν γὰρ κωλύει πάλιν εἰς αὐτὸν καταφυγεῖν) τοῦτο μάλιστα λαμπρὸν ἀπέφηνε, τοῦτο ἀνεκήρυξε, τοῦτο ἐστεφάνωσε, ὃ ἐν κειρῷ πειρασμῷ καὶ νόσῳ καὶ πενίᾳ ἀποδείξεσθαι φιλῶν τὸν γνώμιον, ἄσειστον τὸν διάβολον, τὸ διηνεκὲς τῷ Θεῷ
Ἰωβ. β. κα. ἀνενεγκεῖν ῥήματα, ἐν τῷ πνευματικῷ ἐκείνῳ θυσιαστηρίῳ. θυσία γὰρ ἦν τὰ ῥήματα αὐτοῦ, ἄνθρ ἔλεγεν· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας· ὃ δὴ καὶ ἡμεῖς ἀ-

εἰ ποιῶμεν ἐν παιδείαις, ἐν ἐξετάσεσιν, ἐν ἐπιβουλαῖς, δοξάζοντες ϖ Θεὸν καὶ ὁμολογοῦντες διὰ παντός· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμ. ϙ. 1 ΚΥΡΙΕ, ΜΗ ΤΩ ΘΥΜΩ ΣΟΥ ΕΛΕΓΞΗΣ ΜΕ, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅταν ἀκούσῃς θυμὸν καὶ ὀργήν, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. συγκαταβάσεως γὰρ ὄντα τὰ ῥήματα. καὶ γὰρ τὸ θεῖον ἀπαθὲς τῶν τοιούτων ἀπήλλακται. Ψαλλέγεται δέ, ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας. ἐπεὶ καὶ ἡμεῖς, ὅταν βαρβάροις ψαλλεγώμεθα, τῇ ἐκείνων χρώμεθα γλώττῃ· καὶ τοὺς παιδίον φθεγγώμεθα, συμψελλίζομεν, καὶ μειρακίοις ὡμεν σοφοί, τοὺς τῶν ἐκείνων συγκαταβαίνομεν ταπεινότητα. καὶ τί θαυμαστόν, εἰ ἐν ῥήμασι τοῦτο ποιοῦμεν, ὅπου γε καὶ ἐν τοῖς ἁγίοις, καὶ χεῖρας δάκνοντες, καὶ θυμὸν ὑποκρινόμενοι, ὥστε διεγεῖραι τὸ παιδίον; ὅτου δὴ καὶ ὁ Θεὸς καθάψασθαι βουλόμενος, τοιούτοις χέχρηται ῥήμασιν. οὐ γὰρ τοὺς τῶν ἀξίων τῶν ἑαυτοῦ φθέγγεσθαι ἐποιήσατο, ἀλλὰ τοὺς τῶν ὠφελουμένων τῶν ἀκουόντων. ἐπεὶ καὶ τὸ ἀόργητον ἀλλαχοῦ πάλιν δείκνυσι, λέγει· Μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν, καὶ οὐχὶ ἑαυτούς; σὺ δὲ πῶς ἐβούλου αὐτὸν ψαλλέγεσθαι τοῖς Ἰουδαίοις; ὅτι οὐκ ὀργίζεται, οὐδὲ μισεῖ οὐδὲ ποινᾶται; καὶ γὰρ τὸ μῖσος πάθος ἐστίν. οὐδὲ ἐφορᾷ τὰ ἀνθρώπινα; καὶ γὰρ τὸ ὁρᾶν ἀπὸ τῶν σωμάτων ἐλήφθη. οὐδὲ ἀκούει; καὶ γὰρ καὶ τοῦτο ἀπὸ τῆς αἰσθήσεως. ἀλλ' ἀπὸ τούτου ποινὴν δοῦναι δόγμα ἐπήχθη ἔτι, τὸ ἀπαθῆ οὐκ εἶναι τὰ πρῶτα· οἱ φθάνοντες καὶ ἐνιαυτὸν ἀκούειν περὶ Θεοῦ, καὶ τὸ ὅλως εἶναι Θεὸν πολλοὶ δι' τῶν τότε ἠγνόησαν. τοῦτον οὖν ἀγνοηθέντος, πρῶτα τὰ ἀπολώλει· ἐκείνου οὖν τοῦ δόγματος εἰσαχθέντος, ταχέως καὶ διόρθωσις ἐπεγένετο. ὁ μὲν γὰρ πειθεὶς ὅτι ἐστὶ Θεός, καὶ μὴ τιμὴν ἀξίαν ἔχῃ περὶ αὐτοῦ ἐννοίαν, ἀλλὰ παχύτερόν τι ὑποπτεύῃ, τῷ χρόνῳ πεισθήσεται, ὅτι οὐδὲν τοιοῦτον περὶ Θεοῦ· ὁ δὲ πειθεὶς ὅτι οὐ προνοεῖ, οὐδὲ μέλει αὐτῷ τῶν ὄντων, οὐδ' ὅτι ἐστί, τί κερδανεῖ ἀπὸ τοῦ τῆς ἀπαθείας λόγου; ἀλλὰ δὴ τοῦτο, ἐκεῖνο αὖθις ψαλεχθεὶς προέτεινον, ὅπως ἀναπέσηται αὖθις τοῖς περὶ τοῦ εἶναι αὐτὸν δόξαν, ἔπειτα καθαιρεῖ πάλιν τὴν μακρὰν αὐτοῦ, ἀναγκάζων ὅτι τοῦτο τὸ δόγμα, καὶ ὑγιεστέρα περὶ αὐτοῦ φθεγγόμενος, καὶ ϖ περὶ τῆς ἀπαθείας αὐτοῦ κενὰ λέγειν. καὶ γὰρ φησιν· Οὐ πεινάσει, οὐδὲ κοπιάσει. καὶ ὁ εἰπὼν οὕτω, ὅτι ὀργίζεται, αὖθις πάλιν δεικνύς, ὅτι ἀπαθὲς τὸ θεῖον, ἐπάγει· μὴ ἐμὲ παροργίζουσιν, οὐχὶ ἑαυτούς; καὶ ὁ εἰπών, ὅτι ἐν τῷ ναῷ ἐστιν, ὁ αὐτὸς πάλιν φησιν· ὅτι οὐκ ἀνθρωπος ὁ θεὸς, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, τοιοῦτόν, ἵνα μὴ πάσιν ἐπεξῆλθε, τῷ ζωτικωτέρῳ ἔδωκε νοῆσαι ἀπὸ τῶν εἰρημένων, ὅτι ὁ τῶν τυραννικῶν παθῶν ἀπηλλαγμένος καὶ ὢν αὖθις ζῆν οὐκ ἔστι, πολλῷ μᾶλλον τῶν ἄλλων ἐλευθέρωται. διὸ καὶ φησι, Μὴ ἔσῃ ὡς ἄνθρωπος ὀργιζόμενος; καὶ πρόσκαιρον ϖ περὶ ἀπαθείας ἀναιρεῖ λόγον. ὥστε καὶ ταῦτα, ὅταν ἀκούσῃς θυμὸν, μὴ πάθος νόμιζε. εἰ γὰρ ἄνθρωποι φιλόσοφοι μέλλοντες, καὶ τὸ ἐγχωρεῖν ἀόργητοι ψαμμώσι, πολλῷ μᾶλλον ἡ ἀνώλεθρος ἐκείνη καὶ ἄφθαρτος καὶ ἄῤῥητος καὶ ἀκαταλήπτος. οὐχ ὁρᾷς, ὅτι καὶ ἰατροὶ τέμνοντες ἢ καίοντες, οὐ θυμῷ τοῦτο ποιοῦσιν, ἀλλὰ σκοπῷ τῆς διορθώσεως; οὐκ ὀργιζόμενοι τοῖς κάμνουσιν, ἀλλ' ἐλεοῦντες αὐτούς, καὶ τῶν νοσημάτων ἀπαλλάττοντες; ὅταν οὖν εἴπῃ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τοῦτο λέγει· μὴ ἀπαραιτήτως με δίκαιον τῶν ἡμαρτημένων, μηδὲ ἐπεξέλθῃς τοῖς πεπλημμεληκόσιν.

Ἐλέησόν

2 Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. Ταύτης πάντες δεόμεθα τῆς φωνῆς, καὶ μυριάκις ὥρθμ μυρία κατορθώκοτες, καὶ τοσὰς ἄκρας ἥκοντες δικαιοσύνης. διὰ
Ψάλ. ρμβ. β. Ψάλ. ρκθ. γ. 4 Κορ. δ. δ. τοῦτο καὶ πάλιν φησίν· Οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. καὶ ὁ· Ἐὰν ἀνομίας φυλάξῃς, Κύριε τίς ὑποστήσεται; καὶ ὁ Παῦλος· Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ
Παροιμ. κ. θ. ἐν τούτῳ δεδικαίωμαι. καὶ ἕτερος· Τίς καυχήσεται ἁγνὸν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου; πάντες τοίνυν ἐλέους δεόμεθα, ἀλλ' οὐ πάντες ἄξιοί ἐσμεν τοῦ ἐλεεῖσθαι. καὶ γὰρ εἰ καὶ ἔλεός ἐστιν, ὅμως τὸ ἄξιον ὅπου ζητεῖ· καθάπερ αὐτὸς πρὸς
Ἐξοδ. κ. γ. λγ. Μωϋσῆν ἔφη, Ἐλεήσω οὓς ἂν ἐλεῶ, καὶ οἰκτειρήσω οὓς ἂν οἰκτείρω. ὁ μὲν οὖν ἄξιόν τι τοῦ ἐλεηθῆναι ποιήσας, ἐρεῖ, ἐλέησόν με· ὁ δὲ σκηλαλῶν ἑαυτὸν τοῦ τούτης τυχεῖν τῆς συγγνώμης, μάτην ἐρεῖ, ὅτι, ἐλέησον. εἰ γὰρ ἐφ' ἁπάσαις ἔμελλεν ὁ ἔλεος ἔρχεσθαι, οὐδεὶς ἂν ἐκολάσθη. ἀλλὰ καὶ ὅστις ἔχει τινὰ κρίσιν, καὶ τὸ ἄξιον ὅπου ζητεῖ, καὶ τὸν ὑπεύθυνον, ὥστε αὐτὸν ἀπολαῦσαι. πολλοὶ γοῦν πολλάκις τοῖς αὐτοῖς ἁμαρτήμασιν ὑπεύθυνοι γεγόνασι, καὶ οὐ τοῖς αὐτοῖς ἔδοσαν δίκην, ἑτέρας ἔχοντες αἰτίας προϊσαμένας αὐτούς. καὶ, Εἰ βούλεσθε, τοῦτο νῦν ἐπιδείξωμεν ᾧ λέγω. ἥμαρτον Ἰουδαῖοι πάντες, καὶ εἰδωλολάτρησαν· ἀλλ' οὐ πάντες τοῦ αὐτοῦ ἔδοσαν δίκην. ἀλλ' οἱ μὲν ἔπεσον, οἱ δὲ συγγνώμης ἀπέλαυσον. οὐ γὰρ τοῖς ἁμαρτήμασιν οὐχ ἡ φύσις ζητεῖται μόνον τοῦ γεγενημένου, ἀλλὰ καὶ ἡ γνώμη, καὶ ὁ καιρός, καὶ ἡ αἰτία, καὶ πάντα τοῦ ἁμαρτήματος. εἰ οἱ μὲν σκέμενοι, οἱ δὲ μετενόησαν, καὶ εἰ οὐκ προϊσάσθη, καὶ εἰ μὲν ἀπάτῃ, εἰ δὲ μελέτῃ. καὶ πολλά ἐστι τὰ ζητούμενα, καὶ καιρὸς διαφορᾶς, καὶ πολιτείας κατάστασις. οἷον τί λέγω. ἥμαρτον οἱ ἐν τῇ παλαιᾷ, ἁμαρτάνουσι καὶ οἱ ἐν τῇ καινῇ. καὶ τοῦτο οὐ διδόασιν ἀμ-
Ἐβρ. ι. κβ. φότεροι δίκην, ἀλλ' ὅτοι χαλεπώτερον. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; ὅταν οὖν εἴπῃ, πόσῳ, ὑπέταται μάθωμεν δείκνυσι τὴν κόλασιν. ἥμαρτον οἱ κατὰ τοῦ νόμου, καὶ οἱ ἐν τῷ νόμῳ. πάλιν οἱ κατέτεροι ἡμερω-
Ρω. β. ιβ. τέραν δίδασι δίκην. καὶ τοῦτο δηλῶν ἔλεγεν· Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. τὸ ἀνόμως, οὐχὶ χαλεπώτερον, ἀλλ' ἡμερώτερον. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. τί δή ποτε; ὅτι οἱ μὲν τὴν φύσιν ἔχουσι κατηγοροῦσαν· οἱ δὲ μετὰ τῆς φύσεως καὶ νόμον. καὶ ὅσῳ πλείονος ἀπέλαυσαν τῆς διδασκαλίας, τοσούτῳ μείζονα ὑποστήσονται κόλασιν. πάλιν καὶ ἀπὸ τῶν ἀξιωμάτων τὸ αὐτό ἐστιν ἰδεῖν συμβαῖνον. καὶ δῆλον ἀπὸ τῆς θυσίας. ὑπὲρ πάντος γοῦν τοῦ λαοῦ τοσαύτη προσεφέρετο θυσία ἁμαρτόντος, ὅσον ὑπὲρ τοῦ ἱερέως μόνου· δηλοῦντος τοῦ λόγου, ὅτι ὅσῳ μείζων ὁ ἀξίωμα, τοσούτῳ χαλεπωτέρα καὶ ἡ κόλασις ἐν οἷς ἁμαρτάνουσι. διὰ δὴ τοῦτο ἡ μὲν ἁπλῶς πορνεύσασα, ἀπῄρτο· ἡ δὲ τοῦ ἱερέως θυγάτηρ κατεκαίετο. ἔστι δὲ ἑτέρωθεν ἰδεῖν συνιόντα καὶ ὑπάτασιν ἁμαρτίας γινομένην. οἷον, ὅταν τις ἁμαρτών, ἐνταῦθα δῷ δίκην, ἕτερος δὲ τυφῆς ἀπολαύσῃ. ὁ μὲν γὰρ μείζονα ἔκρ, ὁ δὲ ἐλάττονα ὑποστήσεται τιμωρίαν, ἐὰν μὴ ἐνταῦθα πάντα ἀπολύσηται. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἐν Ἁγίᾳ Γραφῇ λέ-
Δευτ. ιε. ιβ. γοντα τοῦ πλουσίου· Ἀπέλαβες τὰ ἀγαθά σου, ὅτος δὲ τὰ κακά· καὶ νῦν ὅτος παρακέκληται, σὺ δὲ ὀδυνᾶσαι. ἀλλ' ὅτος μὲν ὁλόκληρον ἀπέλετο τὴν τιμωρίαν, διὰ τὰ ἔπαθε κακῶς· ἕτερος δὲ οὐχ ὁλόκληρον, ἀλλ' ἐκ μέρους. διὰ καὶ ἡμερώτερον κολάζονται. ἴδοι δὲ ἂν τις καὶ ἀπὸ ζωστέως ὑπερτεταμένης καὶ ἀφελείας διαφορὰν γινομένην κολά-
Δευτ. ιβ. μζ. σεως, ὅταν λέγῃ· Ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδώς, μηδὲ ποιήσας, δαρήσεται ὀλίγας. καὶ πολλὰ ἕτερα δώσει

τις

ὡς δὴ τὰ ποιοῦντα διαφορὰν χαλάσεως, καὶ διαφορὰν ἐλέους καὶ φιλανθρωπίας. σκόπει γὰρ ὅτι τοῦ πρωτοπλάστου. ἥμαρτεν ἡ Εὔα· ἥμαρτε καὶ ὁ Ἀδάμ, καὶ ὃ ἁμάρτημα ἕν. ἀμφότεροι γὰρ ἔφαγον ἀπὸ τοῦ ξύλου. οὐκ ἀμφότεροι δὲ τὴν αὐτὴν ἔδοσαν δίκην. ἔσφαξεν ὁ Κάϊν, καὶ ἔσφαξεν ὁ Λάμεχ· καὶ ὁ μὲν ἠλεήθη, ὁ δὲ ἐκολάζετο. Ϛ εἰ τίς σε σαββατῳ ξύλα, καὶ σοὶ μιᾶς ἔτυχε συγγνώμης· ὁ Δαβὶδ ἐφόνευσε καὶ ἐμοίχευσε, καὶ ἀπέλαυσε φιλανθρωπίας. Ἐνδιατείνωμεν πάντως τὰς ζητήσεις. πολλῷ γὰρ βέλτιον ταῦτα διαζητῆσαι, ἢ φλυαρίας καὶ συλλογισμοὺς τοὺς ἐν ἀγορᾷς περιπλανᾶσθαι. ὁ γὰρ τοῦ βύρσης μόνον τὰ ῥιπτάρια, ἀλλὰ καὶ ὁ ζητεῖν μέγα κέρδος ἐστί, κἂν μὴ εὕρωμεν. ἀναγκαδησόμεθα γὰρ ἐν τούτοις ἀπαρολείπτους, καὶ Ⓦ χαρὰν πολλὰ ἐν αὐτοῖς δαπανᾶν. Ἵνος οὖν ἕνεκεν (δεῖ γὰρ ὅτι Ⓦ περίτεμνον ἀναδραμεῖν λέγειν) μαθητοποιησάντων ἁπάντων τὴν Ἰουδαίων, ⓐ μὲν ἐκολάζοντο, ⓐ δὲ οὐκ ἐκολάζοντο; ὅτι ⓐ μὲν μετενόησαν, καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν διὰ τὴν βλάβειαν· ⓐ δὲ ἐνέμειναν. ὥστε ὁ μὲν ἁμάρτημα, ἴσον· τὰ δὲ μὴ ταῦτα, οὐκ ἴσα. τίνος δὲ ἕνεκεν καὶ ὅτι τοῦ Ἀδὰμ καὶ τῆς Εὔας οὐχ ἡ αὐτὴ τιμωρία, εἰ καὶ αὐτὴ ἡ ἁμαρτία; ὅτι οὐκ ἐξ ἴσου ὁ κατὰ γυναικὸς ἀπατηθῆναι, καὶ κατὰ ὄφεως. διόπερ σαφῶς ἀπαίτιον ὁ Παῦλος ἐκάλεσε, λέγων· Ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. Ἵνος δὴ ἕνεκεν καὶ ὁ τὰ ξύλα συλλέξας οὐκ ἔτυχε φιλανθρωπίας; ὅτι πολλῆς παρανομίας ἦν, ὃ οὐκ ἐποιμίων βλέπεως παραβῆναι ὃ προσταγμα· καὶ ἔδει καὶ τοῖς ἄλλοις φόβον ἐντεθῆναι πολιῶ. τοῦτο καὶ ὅτι τῆς Σαπφείρας καὶ Ἀνανίου γέγονε. καὶ ἡμεῖς τοίνυν ὅταν ἁμαρτάνωμεν, σκοπῶμεν, εἰ ἄξιοι ἐλέους ἐσμέν· εἰ ἐποιήσαμέν τι ὥστε ἐλεηθῆναι· εἰ μετενοήσαμεν· εἰ βελτίους ἐγενόμεθα· εἰ ἀπέστημεν. καὶ γὰρ ὃ Ⓦ μετανοήσαντα σωθῆναι, ἐξ ἐλέους ὅτι σωθῆναι. ὅπως γνῶ κἀγὼ εἰ ἄξιοί ἐσμεν σωθῆναι, ἀπὸ τῶν δακρύων, ἀπὸ τῶν θρήνων. λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὸν στρωμνόν μου βρέξω. τοιοῦτον ἀπὸ τῆς κατανύξεως ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. οὐκ αὐθάδως αὐτὰ λέγει, ἀλλ' ὅτι τὸ αὐόλιαθον τῆς φύσεως καταφεύγει, λέγων· ἐλέησόν με Κύριε, ὅτι ἀθενής εἰμι. ὅπως εἶπε, δείκνυς ὅτι οὐκ ἀρκεῖ μόνον ὅπερ. εἰ γὰρ ἦρκει, πρώτης ἂν οἰκτίσθην ἐσώθημεν. πρώτης γὰρ ἐσμεν ἀνθρωποι. ἐμοὶ δὲ (εἰ δεῖ ἀκριβέστερόν τι περὶ τούτου εἰπεῖν) τὰ μὲν σοὶ τοῦτο λέγειν δοκεῖ· ἀλλὰ τὴν ἀθενείαν τὴν οὐκ τῶν πειρασμῶν ἐγκωμιαζομένην αἰτήσεται, ὑπὲρ μακρὸν καὶ τοῦτο διήγημα εἰς τὸ τυχεῖν ἐλέους καὶ φιλανθρωπίας παραλλόμενος. τοῦτο γνῶ καὶ παρεῖναι ἠνίξατο λέγων· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. οἶδε γὰρ καὶ θλῖψις μετ' ὑπομονῆς φερομένη, πολλῆς φιλανθρωπίας οὐσίωσιν παρέχειν, καὶ ἵλεων Ⓦ Θεὸν ποιεῖν. ταύτην τοίνυν μοι δοκεῖ καὶ οὗτος αἰτήσεσθαι, λέγων·

Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. Οὐκ εἶπεν, ἄνες μοι, σῶσόν με, ἀλλ' ἴασαι. τὰ γὰρ παρόντα ἄξιοι τραύματα ἀφανισθῆναι. ὀστᾶ δὲ καὶ τοῦτο, τὴν ἰσχνὰν ἅπασαν λέγει· τὰ σαρκία δὲ, τὴν πλησμονὴν, τὴν κόλασιν, τὴν ὑμωσίαν. ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. ὥσπερ οὖν ὅτι τῶν ἰατρῶν τὰ μὲν ταῦτα ὅτι, μᾶλλον δὲ τέτανος, ἢ καὶ πέντε, ὁ ἰατρός, ἡ τέχνη, ὁ κάμνων, τὸ νόσημα, τῶν φαρμάκων ἡ δύναμις, καὶ διαταξίς τις γένηται καὶ μάχη (ἂν μὲν γὰρ μὴ ὁ ἰατρὸς καὶ τῆς τέχνης καὶ τῶν φαρμάκων καὶ ἡ προαίρεσις ἡ τοῦ κάμνοντος, σκεδάσαν τὸ νόσημα· ἂν δὲ ἀφῇ ὁ μετὰ ἐκείνων διατάξασθαι, πρὸς τὴν ἀρρωστίαν ἑαυτὸν ἕξάγει· ἢ κἂν μὴ μεθ' ἑκείνης διατάξηται πρὸς τὴν τέχνην, ἀπηνεγκεν ἑαυτὸν) οὕτω δὴ καὶ ἐφ' ἡμῶν συμβαίνει· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ

Παρξ. α.

λὰ πολλῷ πρὸ δοξότερον. ὅπου μὲν γὰρ τῶν ἰατρῶν πολλάκις καὶ μὴ τοῦ νοσήματος, καὶ μὴ τῆς τέχνης, καὶ μὴ τῶν φαρμάκων ὁ κάμνων ἴσατο, καὶ οὐδὲν ὤνησε, τῆς φύσεως ἀσθενησάσης, καὶ τῆς τέχνης ἀπορησάσης, καὶ τῆς δυνάμεως ἁραπετευσάσης ἔκ τινος ἐπηρείας· ὅπου δὲ τοῦ Θεοῦ, οὐκ ἔνι τοῦτο, ἀλλ' ἐὰν ᾖς μὴ τοῦ ἰατροῦ, πάντως δεῖ θεραπευθῆναι ὃ ἔλαχες. οὐ γάρ ἐστιν ἀνθεκτὴν τέχνη, ἵνα ἀπορήσῃ, ἀλλὰ θεία δύναμις, ἣ καὶ φύσεων καὶ νοσημάτων καὶ πονηρίας καὶ πάσης ἀνεγκλήτου κακίας. διὰ δὴ τοῦτο καὶ οὗτος ὥσπερ ἰατρῷ τῷ Θεῷ προσελθὼν καὶ ἀποδυρόμενος, ἔλεγε· ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. τινὲς δὲ φασιν ἐνταῦθα ταραχὴν ἐκείνην λέγειν, τὴν ἐκ τῆς ἁμαρτίας γινομένην. καθάπερ γὰρ ὅταν πνεύματα ραγδαῖα εἰς πέλαγος ἐμπέσῃ, πάντα ταράττει, καὶ ἡ βυθία ἄνω φέρει ψάμμος, καὶ οἱ πλέοντες εἰς κινδύνῳ· ὅταν δὴ καὶ ἐφ' ἡμῶν ταράττεται ἡ ψυχή, κινεῖται τὸ σῶμα, πάντα πληροῦται τοῦ χειμῶνος, καὶ μεσοῦντος τοῦ σκάφος λοιπὸν ταραχῆς, καὶ σκότος πολύ, καὶ πάντα οἴχεται ἀπολιμπάνοντα τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. τοῦτο μάλιστα καὶ εἰς ἐπιθυμίας ἀστελείας συμβαίνειν εἰωθε· τοῦτο καὶ εἰς θυμὸν καὶ εἰς συμφορᾶς. πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ τὴν τάξιν βλέπουσιν· ἀλλ' ὥσπερ ἰωλόχου χορευθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται· ὅταν τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχέηται, πάντα διαστρέφεται καὶ τὴν ἰδίαν ὁδὸν ἀπόλλυσι. πῶς οὖν αὖτη γίνεται ἡ ταραχή, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. ὅ γὰρ ὥσπερ ἐν θαλάττῃ πρὸς τὴν τῶν πνευμάτων ἐμβολήν, ὅταν καὶ ἐν τῇ ψυχῇ πρός τινα ἀδόκητον πρόσεισιν, ἀλλὰ πρὸς τὴν ἡμετέραν ῥᾳθυμίαν συμβαίνει. καὶ γὰρ τὸ γνόφαθαι καὶ τὸ μὴ γνόφαθαι ἡμεῖς κύριοι. οἷον τι λέγω. τῆς ἐπιθυμίας ἐπιεσμένης, ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐκ αἴρεται ἡ καμινος, ἂν μὴ ἔφιν προσθῇς τῇ ὕλῃ· οὐκ ἀνάπτεται ἡ καμινος, ἂν μὴ ταῖς θυμόρφοις ὄψεις προσενέγκῃ, ἂν μὴ ταῖς ἄλλα κάλλη πολυτρόπως μνηστεύσῃ, ἂν μὴ εἰς θέατρα πορνείας ἀναβαίνῃς. ἂν γὰρ μὴ πάντης τυφῇ τὴν σάρκα, ἂν μὴ καταπατήσῃς οἶνῳ λογισμόν, οὐκ αἴρεται ἡ φλόξ, οὐκ ἀνάπτεται ἡ καμινος, ὃ χαλεπώτερον τὸ θηρίον, ὃ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων τῆς διανοίας τὸ καθαρόν. ἀρκεῖ οὖν ταῦτά, φησιν; οὐκ ἀρκεῖ ταῦτα καὶ μόνα· ἀλλὰ ἕτερα δεῖ προσελθεῖν, βύβας διώκειν, ἀγῶνα ζωγράφου, τὴν νηστείαν τὴν σύμμαχον, διαίτην λιτήν, ἀσχολίας ἀναγκαίας, πρὸ τῶν ἄλλων ἁπάντων τὸν Θεοῦ φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν. διὰ τούτων ἁπάντων δυνάσας χαλινώσαι τὴν λυπῆσαι ἐπιθυμίαν, καὶ εἰπὲ τὴν κυμαινομένην θαλάττην.

3 Καὶ σὺ Κύριε ἕως πότε; 4 Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου. σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Σωρεύει τὸ Κύριε τί φησιν, ὥσπερ τι δικαίωμα προβαλλόμενος συγχωρήσεως καὶ χάριτος. καὶ γὰρ ἡ μεγίστη ἡμῶν ἐλπὶς αὕτη, ἡ ἄφατος αὐτοῦ φιλανθρωπία, ἣ ζητοῦντα ἑαυτὸν εὑρίσκειν αὐτὸν, προχειρον εἰς συγχώρησιν· τὸ ἕως πότε, οὐκ ἀποδυσωπητοῦντός ἐστιν, οὐδὲ δυσχεραίνοντος, ἀλλ' ὀδυνωμένου καὶ ἀληθῶς, καὶ φέροντος ἀπὸ τῶν πειρασμῶν ὄγκον. ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου· δύο ἐνταῦθα λέγει, τὸ, τὸ ἐπίστρεψαι αὐτὸν, καὶ τὸ ῥύσασθαι τὴν ψυχὴν μου. τοῦτο γὰρ μάλιστα τοῖς δικαίοις πρεσβεύσασιν, τὸ καταλλάξαι αὐτὸν καὶ ἵλεων εἶναι καὶ θυμὸν καὶ μὴ ἀποστρέφεσθαι (τοῦτο γὰρ καὶ ἕτερον ἔπεται, τὸ σωθῆναι τὴν ψυχὴν) οὐχ ὡς πολλοὶ τῶν ἀνθρώπων καὶ μάλιστα τῶν παχυτέρων εἶναι μόνον ὀπτίζουσιν, ὅπως τῆς παρούσης ἀπολαύσειεν εὐημερίας. ἀλλ' οὐκ ἐκεῖνοι μόνον· ἀλλ' ὅπως τῆς σωτηρίας τῆς τῇ ψυχῇ ἀπολαύσαιεν, ἧς οὐδὲν

προτιμότερον

προσῆμότερον αὐλοῖς ἦν.

5 Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ, τίς ἐξομολογήσεταί σοι;

Ὅσα πόσας ἔθηκεν αἰτίας σωτηρίας· ὅτι ἀθανὴς εἰμί, φησιν, ὅτι ἐπαρκῶ τοῖς ὀρθῶς μου, ὅτι πολλὰ τὰ Κυρίου ταῦτα αἰτῶ, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· οὐ τοῦτο λέγων, ὅτι μέλει τοῦ παρόντος καὶ ἡ-
5 μετέρα (ἄπαγε. οἶδε γὰρ Ⓜ καὶ τῆς ἀναστάσεως λόγον) ἀλλ' ὅτι μὴ τὸν ἐντεῦθεν ἀποδημίαν ἡ μετοίκια χαρὰν οὐκ ἔχει. ἐπεὶ δὲ ὁ πλοῦτος ἐξομολογεῖται δὲ μετανοεῖ, ἀλλ' οὐδὲν ὠφελεῖτο δι' αὐτὸν ἀχαριστίαν. καὶ αἱ πρόφασαι ἦσαν λαβεῖν ἔλαιον, ἀλλ' οὐδεὶς αὐτὰς ἔδωκε. τοῦτο δίνιον ἄξιοι ἐν οὗτοι, ἐν ταῦτα ἀπενίψασθαι καὶ ἁμαρτήματα, ὥ-
10 στε ὅπου τοῦ φοβεροῦ βήματος παῤῥησίας ἀπολαῦσαι. Εἶτα παιδεύων Ⓜ ἀκροατήν, ὅτι μὴ τὸ τοῦ Θεοῦ φιλανθρωπίας δεῖ ἐν καὶ ἡμέτερα ἐπεσθαι (διὰ τε γὰρ τὴν ἀσθένειαν προσβαλλώμεθα, διά τε τὴν ταραχὴν, διά τε τοῦ Θεοῦ τὴν ἀγαθότητα, διὰ τε αὐτὸ δὴ τοῦτο, ὃ ἔλεγε· καὶ ἐν παῤῥησιάσασθαι, οὐδὲν ἡμῖν ὄφελος) ὅσα τὴ ἐπήγαγε.

6 Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

15 Ἀκηδιάσαντα Ⓐ ἐν διπλοΐᾳ ζώντες, οἷον ὁ βασιλεὺς ἐν πορφυρίδα προσειλήφεις μετανοίαν ἐπεδείκνυτο. ἀκηδιάσωμεν, καταμυγῶμεν. οὐκ ἁπλῶς ἔκαμεν, ἀλλὰ ἐν σκοπιᾶσι στενάζων. οὐκ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην· οὐ μίαν καὶ δευτέραν ἐν τρίτην ἡμέραν, ἀλλὰ ἐν καθ' ἑκάστην νύκτα. ἐν οὐ τὸ παρελθὸν μόνον λέγει, ἀλλὰ καὶ ἐν τὸ μέλλον. μὴ γὰρ δὴ νομίσητε, ὅτι ταῦτα ποιήσας ἅπαξ, προὴς ἄνεσιν ἑαυτῷ λει-
20 πὸν ἀφῆκεν, ἀλλὰ διηνεκῶς τοῦτο προάγων διετέλει ἐπὶ πάσης τῆς ζωῆς. οὐ καθάπερ ἡμεῖς, Ⓐ μίαν ἐργαζόμενοι τοῦτο πολλάκις ἡμέραν, ἢ οὐδὲ μίαν, εἰς γέλωτα καὶ τρυφὴν καὶ ἄνεσιν ἑαυτοὺς ἐκδίδομεν. ἀλλ' οὐκ ἐκρύη· ἀλλ' ἐν δάκρυσι διηνεκέσι διετέλει. ταύτην δὴ καὶ ἡμεῖς μιμώμεθα τὴν ἐξομολόγησιν. Εἰ γὰρ μὴ βληθείημεν κλαῦσαι ἐν ταῦθα, ἀνάγκη πάντως ἐκεῖ ὀδύρεσθαι καὶ κλαίειν· ἐκεῖ μὲν ἀνοίκτα, ἐναῦθα δὲ
25 μετὰ κέρδους· καὶ ἐκεῖ μὲν μετ' αἰσχύνης, ἐναῦθα δὲ μετ' εὐκοσμίας πολλῆς. ὅτι γὰρ δύσλυτη τοῦτο τὸ γλύεσθαι, ἄκουσον τί φησιν ὁ Χριστός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ματθ. κδ. ιγ.
ἀλλ' οὐκ Ⓐ ἐνταῦθα κλαίοντες ὦμεν· ἀλλὰ πολλῆς ἀπολαύσοντας τῆς παρακλήσεως. Μακάριοι γὰρ Ⓐ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. ἀκούετωσαν Ⓐ οἱ ἀργυρᾶς κλίνας ἔχοντες, οἷα τῶν βασιλέως υἱῶν ἡ κλίνη· οὐ λιθοκόλλητος, οὐ χρυσόπαστος, ἀλλὰ δάκρυσι λελουμένη. τούτῳ αἱ νύκτες, οὐκ ἀναπαύσεως, ἀλλὰ θρήνων καὶ ὀδυρμῶν νύκτες ἦσαν. ὅπου γὲ ἡμέρα πολλαὶ προσέπαιον αὐτὸν φθονηταί· οὐ ἅπαντες ἀνέσεως ποιοῦνται χαρὰν, τοῦτον ἐκεῖνος ἐξομολογήσεως ἐποιεῖτο, θερμότερον θρήνων τότε. καλὸν μὲν γὰρ ἀεὶ τὸ κλαίειν, μάλιστα ἐν καιρῷ τῆς νυκτὸς, ὅτε σοβεῖ ὁ σκληρούων τῆς θαυμαστῆς ταύτης ἡδονῆς· δεῖ ἔνεστιν ἐμφορηθῆναι ἐν βλεμμάτων μετὰ πάσης ἀδείας. ἴασιν οἱ πιέζειν λαβόντες ὃ λέγω, ὅσῳ δυφεσιώτερον ἔχουσιν αὐτὰ τὰ δάκρυα οἱ πηγαί. ταῦτα γὰρ δάκρυα τὸ ἄσβεστον πῦρ σβέσαι δυνάμενα), τὸ ποταμὸν σκῆνος τὸ τοῦ βήματος ἐλκόμενον. δι' Πραξ. κ. λε.
ὃ καὶ ὁ Παῦλος ἐδάκρυε τρισπίαν νύκτα καὶ ἡμέραν, τὰ ἀλλότρια διορθούμενος πάθη, ἡμεῖς δὲ οὐδὲ τὰ οἰκεῖα· ἀλλὰ γέλωτι καὶ τρυφῇ ἑαυτοὺς ἐκδίδοντες, τὴν νύκτα χάρῳ βαθεῖ καταχωνύμενα. καὶ οἱ μὲν ὑπνῳ θανάτῳ προσοικότι προσόντες· οἱ δὲ ἀγρυπνίαν θανάτου χαλεπωτέραν ἀγρυπνοῦσι, τόκους καὶ δανεισματα καὶ τὰ ἑτέρων ἀνθρωπολογούμενοι καὶ σκῆνος τὸ ἡμέτερον ὀπτιβολᾶς. ἀλλ' οὐκ Ⓐ νηφοντες, ἀλλὰ τὰς ἑαυτῶν γεωργοῦσι ψυχὰς, ὥσπερ ὑετῷ τοῖς δάκρυσι χειμαζόμενοι τούτοις, καὶ τὰ σπέρματα τῆς ἀρετῆς αὐξοντες. πάσῃ καρδίᾳ.

χία ἡ ἀσελγεία ἀδάτος ὅστιν βύνη τοιαῦτα δάκρυα δεχομένη. ὁ δὲ τοιαῦτα σαλεύων οὐδὲν ἡλεῖται δὲ ὅπι τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπθμάτει τὴν ψυχὴν, τὸ ἡλίου λαμπρότερον καθίστησι τὴν διάνοιαν. καὶ μὴ μέ νομίσητε πρὸς μοναχοὺς ταῦτα λέγειν μόνον· καὶ γὰρ πρὸς βιωτικοὺς ἡ παράνεσις, δὲ πρὸς τούτους μᾶλλον, ἢ ἐκείνους. ὅτοι γὰρ μάλιστα ⓐ δεόμθοι τῆς μετθοίας φαρμάκων. ὁ τοιαῦτα θρηνῶν, ἀναστήσεται λιμθὸς γαλήνην τὴν ψυχὴν ἔμενον ἔχων, πάντα ἐκβάλλων δὲ πάθη, πολλῆς πεπληρωμένος τῆς εὐφροσύνης. εἰς οἶκον Θεοῦ μὴ πρήσιας ἀπθμήσεται ὁ τοιοῦτος· τῷ πλησίον μὴ ἡδονῆς ἁλιεύσεται. ὑ θυμὸς γὰρ ἐνδομυχεῖ, οὐκ ἐπιθυμία φλέγει, οὐκ ἔρως χρημάτων, ὑ φθόνος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. πάντα γὰ ταῦτα, καθάπερ θηρία ἐμφωλεύοντα, καταδύναι δοκεῖ τῆς νυκτὸς ὁ τεναγμὸς ἐκεῖνος καὶ δάκρυα πρεσκεύασεν. 7 Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου.

Εἶδες ψυχὴν σωτηρίαν μεμθυῖαν. Εἰπὼν τὴν μετθοίαν, λέγει πάλιν τὰ πάθη, ⓦ θόρυβον ⓦ ἐν τῇ ἁλμυρίᾳ, ⓦ φόβον ⓦ ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ ἐκπεμόμενον. ὀφθαλμὸν γὰρ ἐνταῦθα ⓦ τῆς ψυχῆς φησι τὸ διορατικὸν ἐκεῖνο καὶ λογικὸν, ὅταν ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἰώθεν. ὅτι δὲ ἀπὸ πάντος πρὸ τῶν ὀφθαλμῶν εἶχε τὰ πλημμελήματα, καὶ τοῦ Θεοῦ τὴν ὀργὴν ἀμφοτέρζε, ἐν φόβῳ ὤν, οὐκ ἀνθρώπους ζῶν, καθάπερ ⓐ πολλοὶ, ἀλλὰ ἀγωνίαν καὶ πρέμων. ἡ τοιαύτη ταραχὴ, γαλήνης μήτηρ ὅστιν· ὁ τοιοῦτος φόβος, ἀδείας κατάθεσις· ὁ οὕτω τεταραγμένος, πάντα χειμῶνα ἐκβάλλει· ὁ τοιαύτην οὐκ ἔχων τὴν ψυχὴν, χαλεπὸν κλυδώνιον κατέχεται. καὶ ὥσπερ πλοῖον ἀνερμάτιστον τῇ τῶν ἀγρίων πνευμάτων ἐκθορὴν ῥύμῃ παφέρεται· οὕτω καὶ ψυχὴ ἀνθρώπου ζῶσα, μυρίοις προσκειται πάθεσι. διὸ καὶ
Ep. 5. 18. ὁ μακάριος Παῦλος τοῦτο τὸ πάθος ἐνδυκνύμενος, ἔλεγε· Οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. καὶ καθάπερ κυβερνήτης, ἕως μὲν ταῖς φορτίσι τὸ κατὰ τὸ πλεόντων παρέπλει), πάντως ἐν γαλήνῃ καθίστησιν, ἐπὶ δὲ τούτοις ἀπθμήσεις καθεύδῃ, παρέρχεται μεγάλῳ· οὕτω δὴ καὶ ὁ μὲν θεσπέσιος ὁ μὲ ἀγωνίαν καὶ πρέμων καὶ παρατιθέμενος, ἐν ἡσυχίᾳ τὸ ἑαυτῷ καθίστησι σκάφος· ὁ δὲ ὑπνῳ τῇ ῥᾳθυμίας ἑαυτὸν παραδοὺς, κατορύσσει δὲ σκάφος ἐργάζεται).

Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Τί ὅστιν ἐπαλαιώθην; ἠδένησά, φησι, κατὰ τῶν ἐχθρῶν μου. καὶ γὰρ ἀναγώνιος ἡμῖν ὁ βίος, καὶ μυρίων ἐχθρῶν ἡ ζωὴ ἡμῖν ἐμπέπληται, οἵτινες καὶ ἰσχυρότεροι γίνονται, ἐπειδὰν ἀμῤῥτήμασι παρεπόσωμεν. διὸ πᾶν χρὴ ποιεῖν, ὥστε διαφυγεῖν αὐτῶν τὰς λαβάς, καὶ μηδέποτε πρὸς αὐτοὺς καταλλάττεσθαι. αὕτη γὰ ἡμῖν μεγίστης ἀσφαλείας κατάθεσις. τούτων τῶν ἐχθρῶν τὴν φάλαγγα
Ep. 6. 12. δηλῶν ὁ Παῦλος, ἔλεγε· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς
A 3 τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἐπεὶ οὖν τοιαύτη ἡ τῶν πολεμίων φάλαγξ, ἀεὶ καὶ διηνεκῶς ὁπλίζεσθαι χρὴ, καὶ φυλάττειν τῶν ἁμῤῥτημάτων τὰς ἐφόδους. διὸ καὶ ὅτω παλαιοῦν εἰώθεν, ὡς ἁμῤῥτίας φύσις. διὸ καὶ ὁ Παῦλος τὴν σύντευξιν παλαίωσιν γινομένην ἀποτείχεσθαι κελεύων,
Ro. 12. 2. ἔλεγε· Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν. ὅταν οὖν κατὰ τῆς ἁμῤῥτίας παλαιωθῇς, κατὰ τῆς μετθοίας ἀνακαίνισον σαυτόν.

8 Ἀπόστητε ἀπ' ἐμοῦ πάντες ⓐ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. 9 Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Οὐ μικρὰ δὲ αὕτη ὁδὸς εἰς ἀρετὴν ἀγουσα, τὸ φθάσαι τὸν

τοῦ ποιητοῦ. ὅπερ μὴ ϑαυμάσῃς ἐφ' ἑαυτῆς καὶ ὁ Χριστὸς ἀπαιτεῖ πρὸς ἡμᾶς, ὡς τοῦ τὰ ἴδια μελῶν ἡμῖν ἀναγκαιοτάτοις οὖσιν φίλοις κελεύειν ἐκκόπτειν, ὅταν ἡμᾶς σκανδαλίζωσι, καὶ βλάβοιμεν ἵνα ἡμῖν αὐτῶν ἡ σωτηρία φέρῃ. Ἐὰν γάρ, φησιν, ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν· καὶ ἐὰν ἡ χείρ σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτὴν, καὶ βάλε ἀπὸ σοῦ· ἢ γὰρ μελῶν λέγων (ἅπαντα) ἀλλὰ καὶ φίλων γνησίων, ὧν δεῖ τὰς φιλίας ἀτιμάζειν, ὅταν μήτε αὐτοῖς κέρδος μήτε ἡμῖν γίνηται, ἀλλὰ βλάβη. Ταύτην δὴ τὴν ἀρετὴν κατορθώσας καὶ σὺ, εἰ μόνον σὺ ἐδίωκε τὰς τοιαύτας συνουσίας, ἀλλὰ καὶ προσεκαλεῖτο τούτους ἀποπηδᾶν ἑαυτῶν. σοῦ τῆς μετανοίας ὁ καιρὸς· τοῦτο τῶν δακρύων τὸ κέρδος. ἡ γὰρ ὕστερον συντελοῦσα ϑλῖψις, σοὶ μιᾶς λοιπὸν τὸ σωφρονεῖν κατέχειν. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. καὶν αὐτὸ τὸ σχῆμα ᾖ τῆς ἀφελείμενος, βλάπτωμεν ἢ ἡμᾶς, ἀτιμάζωμεν αὐτὴν φιλίαν. σοὶ γὰρ οὐτελέστερον ἀνδρὸς καὶ βασιλεύοντος, ὅταν μανίαν συζῇ· ὥσπερ σοὶ βασιλικώτερον καὶ δεσμῶτα, ὅταν ἀρετὴν ἢ κεκτημένος. ὅτι Εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. οὐκ εἶπεν, ὅτι Εἰσήκουσε τῆς φωνῆς μου ἁπλῶς, ἀλλὰ τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ὁρᾷς πῶς καὶ τὰ πρὸς ἑαυτὸν μετὰ πολλῆς εἰσάγει τῆς δαψιλείας, τὸ φωνὴν, καὶ κλαυθμόν; φωνὴν μὲν οὖν τοῦτο, ὅτι Ⓜ τόνον λέγων τῆς κραυγῆς, ἀλλὰ τὴν σχέσιν τῆς ἀφωνίας· τὸ κλαυθμὸν, ὅτι Ⓜ ἀπὸ τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ Ⓜ ἀπὸ τῆς ψυχῆς. ὁ γὰρ μετανοίαν εἰσάγων, καὶ τοῦτο τοῦ Θεοῦ ἀκουόμενος, εὐκόλως καὶ τοῦτο δυνάται κατορθῶσαι τὸ ἀγαθὸν, τὸ σχακρύσαι τῶν πονηρῶν τὰς συνουσίας. 10 Αἰσχυνθήτωσαν καὶ συνταραχθήτωσαν σφόδρα οἱ ἐχθροί μου· ἀποστραφήτωσαν καὶ καταισχυνθήτωσαν σφόδρα οἱ τάχος.

Αὕτη ἡ ψυχὴ μεγάλην ἔχει ὠφέλειαν, τό, τε αἰσχυνθῆναι λέγω, τὸ τὸ εἰς τὰ ὀπίσω ἀπελθεῖν. Ⓜ γὰρ κακῶς πεχόντες, εἰ καταισχυνθεῖεν, καὶ εἰ τὰ ὀπίσω ἀπέλθοιεν, σῴσονται τῆς πονηρίας. ὥσπερ γὰρ εἰ ἀνθρώποι ἴδωμεν κατὰ κρημνοῦ φερόμενον, ἀναχαιτίζομεν αὐτὸν τῷ σωτέρω φορᾶς, λέγοντες, αἰνθρωπε, ποῦ φέρῃ; κρημνὸς ἔμπροσθεν ἀπειλητήσεται· οὕτω δὴ καὶ σοὶ ἄξιοι οἱ κακοὶ πάλιν εἰς τὰ ὀπίσω δυσδραμεῖν. ὅτω καὶ ἵππον μαινόμενον δεῖ μὴ ταχέως τις ἀναχρούσηται, ταχέως ἀπολεῖται. ὅτω καὶ ἁρπαγὴν ἰὸν ἑρπετῶν πολλάκις ἐπινεμόμενον, μὴ πολλοῦ τοῦ τάχους τῆς σωτέρω φορᾶς ἰσῶσιν, ἐγκόπτοντες αὐτῶν τὴν κακίαν. ὅτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ τὴν ἐν ἡμῖν κακίαν ἀναστέλλωμεν μὴ πολλῷ τῷ τάχει, ἵνα μὴ προϊοῦσα αὔξῃ τὸ νόσον. καὶ γὰρ ἀμελούμενα, μείζονα γίνεται τῶν ἁμαρτημάτων τὰ τραύματα, καὶ ὁ μὲν τραυμάτων ἴσα τὰ νόσου δὲ τὰ ἀῤῥωστίας, ἀλλὰ δὲ θάνατον εἰκὸς τὸ ἀθάνατον· ὥσπερ αἱ ὀξεῖς ἀρχῆς δὲ τὰ μικρὰ ἀμέλωμεν, οὐδὲ τὰ μεγάλα ἕψεται. σκόπει δὲ ὁ μελετήσας μὴ ὑγιάζειν, οὐδὲ μάχεσθαι εἴωσται· ὁ μὴ εἰδὼς μάχεσθαι, δὲ τὸ φιλῆσαι κατορθώσει· ὁ κατορθώσας τὸ φιλεῖν, ἐχθρὸν οὐκ ἔχει· ὁ δὲ ἐχθρὸν οὐκ ἔχων, ἀλλὰ τὴν ἀγάπην ὑπεδεικνύμενος, ἅπαντα κατορθώσει τὴν ἀρετήν. μὴ δὴ τῶν σωτέρων ἀμελῶμεν, ἵνα μὴ σοὶς τὸ μεῖζον αἴρηται καὶ κακά. ὁ Ἰούδας, εἰ τὸ χρημάτων ἐρᾶν ἐκόλασεν, οὐκ ἂν εἰς ἱερωσύνην ἦλθε. Τοῦτον εἰ κατέσχεν, οὐκ ἂν εἰς Ⓜ κολοφῶνα τῶν κακῶν ἔξεπήδησε. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ τὴν πορνείαν μόνον, οὐδὲ τὴν μοιχείαν, ἀλλὰ καὶ τὴν ἀκόλαστον ὄψιν ἀναστέλλει, τὴν ῥίζαν κατωθεῖν δυνάμενον, ὥστε καὶ εὐκολώτερον εἶναι τὴν σωφροσύνην τὴν πονηρίας. τοῦτο καὶ ὁ παρὰ τοῖς Ἰουδαίοις ἐποίει, παχύτερον μὲν καὶ ὡς δι' αἰνιγμάτων, ὅπως τοὺς ἁρπακοδεστέρους ὁ λόγος ἴῃ, ἐποίει γοῦν ὅμως. πῶς, καὶ τίνι τρόπῳ; οὐκ ἤφιει ἐν κλίνεσι γίνεσθαί τινα μίξιν οὐκ ἀφορῶν ἦμεσαν· οὐκ ἤφιει αἷμα ἐᾶσαι ἀλόγων· οὐκ ἤφιε συνέχουσα κατέχειν μὴ τὴν ἐπιοῦσαν, μεγάλα καὶ τούτων ἀναστέλλων κακά· ἀφῆκε μὴν τὸ πρότερον, τὴν ἀῤῥε-

Δευτ. κβ. ι. Λευιτ. ι'. ι. Δευτ. κδ. ιγ.

νομιξίαν· ἀφ' ἧς τῆς δευτέρας, τοὺς φόνους· ἀφ' ἧς τε τρίτης, τὴν ὠμότητα καὶ τὴν ἀπόνοιαν. ἀλλὰ νῦν πάντα ἀνέδην καὶ μετὰ πολλῆς τῆς ἀταξίας. κ ἀναδ
ἀφ' ἧς τῆς πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν οἰνίσωμαι μακρὸν καταδέξῃ πάθος, μὴ τοῦτο εἴδῃς ὅτι μακρόν, ἀλλ' ἐννόησον ὅτι τὸ ἄξιον αὐτοῦ περιφέρομεν τὰ μέλισα ἵκανει δεινά. καὶ γὰρ ἐπειδὰν ἴδωμεν ἐν οἰκίᾳ συμπόσιον ἀναφθὲν μικρὸν, θορυβούμεθα καὶ ταράττομεθα. καὶ γὰρ τῶν παροιμιῶν παρεσχόμεθα, ἀλλ' ἀπὸ τῆς παροιμίας τὸ τέλος λογιζόμενοι, θορυβούμεθα καὶ πλείονα ἐκχέομεν, ὥστε ὁλόκληρον σβέσαι τὴν καμίνον. τοῦτο τοῦ πυρὸς σφοδρότερον ἐπινέμεται ψυχὴν ἡ κακία. διὸ δεῖ παρακαλεῖν. ἐὰν γὰρ ῥᾳθυμήσωμεν, δυσκολωτέρα γένηται ἡ διόρθωσις. τοῦτο δὲ ὅτι πλοίῳ συμβαίνει ἴδοι τις ἄν, καὶ τοὺν ναύτας θορυβουμένους, ὑχ ὅταν ἴδωσι τὴν θάλατταν ἐπαφρίζουσαν, ἀλλὰ καὶ ὅταν μέλλουσαν ταῦτα ποιεῖν. μὴ τοίνυν ὦμεν ῥᾳθυμοι τοῖς μικροῖς ἁμαρτήμασιν, ἀλλὰ μετὰ πολλῆς αὐτὰ διαξελλωμεν τῆς σφοδρότητος, ἵνα τῶν μειζόνων ἀπαλλαγῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## Ψαλμ. ζ. ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ, ΟΝ ΗΣΕ ΤΩ ΚΥΡΙΩ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεῖ. 1 Κύριε ὁ Θεός μου, ὅτι σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

Δεῖ μὴν ὅτως ἀκριβῶς τὴν γραφὴν καὶ τὴν ἰσοτιμίαν τῶν γραφῶν, ὡς μὴ δεῖσθαι ἡμᾶς μακροτέρου λόγου πρὸς τὴν τούτων διδασκαλίαν. ὅπερ οἱ μὲν ὑπὸ βιωτικῶν πραγμάτων ἀφελούμενοι, οἱ δὲ ῥᾳθυμίᾳ ἑαυτοὺς ἐκδιδόντες αἰτιώτατοι τούτων εἰσίν, ἀνάγκη πρὸς τὸ μῆκος τὸν λόγον ὀξαναγεῖν, τὴν ὑποθεσιν τοῦ ψαλμοῦ λέγοντας. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. τίς οὖν ἐστιν ἡ ὑποθεσις; ψαλμὸς τῷ Δαβίδ, ὃν ᾖσε τῷ Κυρίῳ. ἄλλος· ψαλμὸς ὑπὲρ ἀγνοίας τοῦ Δαβίδ. ἄλλος· ἀγνόημα τοῦ Δαβίδ· καὶ αὖτε Χουσί, Αἰθιοπός φησιν. ἀλλὰ δὲ ὅτως ἀσαφῆ τὰ εἰρημένα, τῷ τὴν ἰσοτιμίαν ὑμᾶς ἀγνοεῖν. ὅπερ οὐκ ἐγκαλεῖν δεῖ μόνον, ἀλλὰ καὶ διδάσκειν, ἀναγκαίου ἅπαντος τοῦ διηγήματος. τίς οὖν ὁ Χουσὶ ὅτος ὁ υἱὸς Ἰεμενεῖ, καὶ τίνες οἱ λόγοι αὐτοῦ, ὑπὲρ ὧν ἦσε τῷ Θεῷ τὸ ᾠδεῖον τοῦτον ὁ Δαβίδ, ἐντεῦθεν ἤδη λεκτέον, εἰς ἀρχὴν ἀνάγοντα τὸν λόγον. Ἀβεσσαλὼμ, υἱὸς ἐγένετο τῷ Δαβίδ, νέος ἀκόλαστος καὶ διεφθαρμένος. ὅτος ἐπανέστη ποτὲ τῷ πατρί· καὶ τὴν βασιλείας αὐτὸν, καὶ τῆς οἰκίας, καὶ τῆς πατρίδος ἐκβαλὼν, αὐτὸς αὐτὶ ἐκείνου κατέσχε πάντα. καὶ ὅτε μὲν φύσει, ὅτε μὲν ἀναισθησίᾳ, ὅτε μὲν ἡλικίᾳ, ὅτε καὶ προσλαβόντα ἡδεῖτο· ἀλλ' ὅτως ἐν καθαπαξ ὠμὸς καὶ ἀπίστως καὶ ἄθεον μᾶλλον, ἢ ἀνθρωπος, ὡς ἅπαντα τοῦτα διαῤῥήξας καὶ κωλύματα, αὐτοῖς ὑπεπήδησε τοῖς τῆς φύσεως νόμοις, καὶ ταραχῆς ἐνέπλησε πάντα καὶ θορύβου. καὶ γὰρ πάντα ἀνετρέπετο τότε, φύσεως ὄρος, ἀνθρώπων αἰδώς, ἡ πρὸς Θεὸν εὐλάβεια, φιλανθρωπία καὶ ἔλεος, ἐσφείσατο ἀμοιβαί, καὶ ἡ πρὸς τὸ γῆρας αἰδώς. εἰ γὰρ μὴ ὡς πατέρα αἰδεσθῆναι ἠθέλησε, ὡς γεγηρακότα ἐλεῆσαι ὤφειλεν· εἰ δὲ μὴ τῆς πολιᾶς ἐμέλησε, ὡς ἀνεργέτου· εἰ δὲ μηδ' ὅτως, ὡς μηδὲν ἠδικηκότα. ἀλλ' ὁ τῆς φιλαρχίας ἔρως πᾶσαν ταύτην ἐξέβαλε τὴν αἰδῶ, καὶ θηρίου ἄνθρωπον ἐποίησε. καὶ ὁ μὲν μαχαίρας ἦν καὶ γλυπτὰς μὴ ἀναθεωρήσας, ἀλήτης, καὶ φυγὰς καὶ τὴν ἔρημον ἐπλανᾶτο, καθάπερ μετανάστης, ἐν ἀφροσύνῃ, καὶ τοῖς ἐντεῦθεν πιεζόμενος κακοῖς· ἐκεῖνος δὲ ἀνετύφα τοῖς τῆς παρεδρίας ἀγαθοῖς. τὴν εἰ-

γων

πων πραγμάτων ἐν τούτοις ὄντων, καὶ τῶν τραυματιῶν μετ' ἐκείνης πλαγμένων, καὶ τῶν πόλεων κατὰ Ⓦ τὸ γινόμενον ὁσῶν, Χριστὸς ἀληθῶς ὁπλίτης, φίλος ὢν τοῦ Δαβὶδ ἔμφυτε τοῦ πρὸς αὐτὸν φιλίαν διατηρῶν ἐν τῇ τῶν καιρῶν τούτων μεταβολῇ· καὶ ἰδὼν αὐτὸν ἀθλητὴν καὶ τοῦ ἔρημον πλανώμενον, διέρρηξε Ⓦ χιτωνίσκον, κατεπάσατο τὸ φᾶρος, ἀνώμωξε πικρὸν καὶ ἐλεεινόν· καὶ ὅπου μηδὲν ἡδύνατο, τοῦ ἀπὸ τῶν δακρύων εἰσφέρει τὴν ῥαστώνην. οὐ γὰρ ἰῶ τῶν καιρῶν φίλος, οὐδὲ τῆς δυναστείας, ἀλλὰ τῆς ἀρετῆς. διὰ τοῦτο, τῆς ἀρχῆς μεταπεσούσης, τοῦ φιλεῖν οὐ μετέβαλεν. ἰδὼν τοίνυν αὐτὸν ὁ Δαβὶδ ταῦτα ποιοῦντα, φησὶ πρὸς αὐτόν· φίλον μὲν καὶ ταῦτα, καὶ γνήσιον πρὸς ἡμᾶς διακείμενον· ὀνήσει δὲ οὐδὲν ἡμᾶς. ἀλλὰ δεῖ τι βουλεύσασθαι καὶ σκέψασθαι, ὅπως ἂν λυθῇ καὶ καταλαβόντα δεινά, καὶ ἀπαλλαγῶμεν τῶν συμφορῶν. ταῦτα εἰπὼν, εἰσηγεῖται γνώμην ἐκείνῳ τοιαύτην. ἀπελθὼν πρὸς Ⓦ τὸν Ⓦ ἐμὸν, καὶ φίλου πρόσωπον ὑπόδυς, διδασκέδασόν μοι τὰ ἐκείνου βουλεύματα, καὶ τὸ Ἀχιτόφελ τοῦ βουλοῦ ἀχρεῖον ποίησον. ὁ δὲ Ἀχιτόφελ ἐστὶ τὸ τυράννου πάντα ἐκπράττει, δεινὸς μὲν ὢν τὰ πολεμικὰ, δεινὸς δὲ στρατηγῆσαι καὶ πολέμου καὶ μάχης. διὸ καὶ τὸ τυράννου μᾶλλον αὐτὸν ὁ Δαβὶδ ἐδεδοίκει. ὥστε ἰδοὺ δεινὸς ἐν ταῖς γνώμαις ὁ ἀνήρ. ταῦτα ἀκούσας ἐκεῖνος ἐπείθη. καὶ οὐδὲν μακροψυχεῖ ἐλογίσατο, οὐδὲ ἀνδρεῖον, οὐδὲ εἶπε, τί δὲ μοι ἀλλοῖον; ἢ δὲ μοι ἀποκαλυφθῇ μου τὸ πρόσωπον; τί δὲ ἂν φοβηθῇ τὸ δρᾶμα τῆς ὑποκρίσεως; δεινὸς ὁ Ἀχιτόφελ. ἴσως καὶ τοῦτο ἐλέγξει, καὶ ποιήσει καταφανῆ, καὶ ἀπολοῦμαι εἰκῇ καὶ ματαίως. οὐδὲν τῶν τοιούτων ἐννοήσας, εἰς τὸ πρόσωπον ἐπεπήδησε τοῦ τυράννου, τὸ πρῶτον ὅτι Ⓦ Θεὸν ῥίψας, καὶ εἰς μέσους ἑαυτὸν ἀφῆκε τοὺς κινδύνους. ταῦτά μοι εἴρηται, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ' ἵνα καὶ ἀλγήνα, καὶ ὅσα ἕτερα ἀπὸ τῆς ἰσοτιμίας δυναζόν καρπώσασθαι χέρδη, καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν. ἰδοὺ γάρ, ὁ Χριστὸς ὅταν ζητῆται παρ' ἡμῶν πολλῶν, ὀλιγάκις ὀλίγοι θλίβονται, ποτὲ δὲ εἰσὶν ἐν ἀνέσει, τοῦτο ἐναυθάνεται ὅτιν θύρᾳ. ὁ μὲν γὰρ διάκονος ἐν συμφοραῖς ἰῶ· ὁ δὲ μαρτὺς καὶ πατρὸς καὶ τῆς φύσεως αὐτῆς ἐχθρὸς καὶ πολέμιος, ἐν βασιλείᾳ καὶ βασιλικῇς αὐλαῖς. ἀλλ' ὅτι ἐκεῖνος ἐντεῦθεν ἐκέρδανέ τι, ὅτε ἐστὶ ἐβλάπτετο. ἀλλ' ὁ μὲν ἐγίνετο μείζοσι θλίψεσιν ὑποδύνος· ὁ δὲ λαμπρότερον διέλαμπε, καθάπερ χρυσὸς ἐν καμίνῳ, τῇ θλίψει καθαρώτερος γινόμενος. τοῦτο δὴ πρῶτον ἐντεῦθεν μανθάνειν, μὴ ταράττεσθαι ἐν ταῖς τοιαύταις δυσημερίαις, ὅταν ἴδῃς ὅτι τῶν δικαίων συμβαίνουσαι· ἕτερον μὴ τοῦτο, μὴ μαθόντας πρὸς τοὺς κακοὺς, ἀλλ' εἰδέναι φιλίας νόμους· τέταρτον, ὅτι καὶ κινδύνων καταπολεμᾷ κρείττων τῆς ἀρετῆς· τέταρτον, ὅτι ἐν τοῖς ἀπόροις εὐέλπιν εἶναι, τὸν πρὸς τοῦ Θεοῦ συμμαχίαν ἀναμένοντα. ἐπεὶ καὶ ὁ Χριστὸς τότε ἐκεῖνος ὅτε στρατόπεδον εἶδεν, καὶ τὸ τυράννου τὸ φόβον, καὶ τῶν ἵππων τὸ πλῆθος, καὶ τὰς φαλαγγας τὸ ὁπλιτῶν, καὶ τὸ πρὸς καταιλῆφθαι τὰς πόλεις, καὶ τὸν ἐρημίαν καὶ Δαβὶδ, καὶ τὸν μόνωσιν καὶ τὸ ἀθέτειαν· ἀλλ' εἰς ἓν μόνον ἰδὼν, τὸν ἀμαχον τοῦ Θεοῦ συμμαχίαν καὶ τὸν ἔμοιδν τὸ ἐκείνου, ὅτω τὰ μέρη ἑκάτερα ἔκρινε, καὶ εὗρε τὸ μὲν σαθρὸν, τὸ δὲ ἰσχυρόν. ὁ μὲν γὰρ ἀδίκως ἐποίει, ὁ δὲ μετὰ τοῦ δικαίου ἑαυτὸν ἐφύλαττε. καὶ τοίνυν, ὅπου πλῆθος ἀνθρώπων, ἀλλ' ἔνθα ἀρετῆς συμμαχία, ὅτως ἐπεπάσατο Ⓦ Θεόν. ταῦτα λέγω, ἵνα καὶ ἡμεῖς, κἂν ἀσθενεῖς ὦσιν Ⓓ τὰ δίκαια ἔχοντες, τὰ ἐκείνων θεραπεύωμεν· κἂν ἰσχυροὶ Ⓓ ἀδικοῦντες, φύγωμεν αὐτῶν τὴν συμμαχίαν. ἡ μὲν γὰρ κακία, κἂν τὸν οἰκουμένην ἔχῃ μεθ' ἑαυτῆς, πάντων ἐστὶν ἀσθενέστερα· ἡ δὲ ἀρετὴ, κἂν μεμονωμένη τύχῃ, πάντων ἐστὶ δυνατωτέρα. τὸν γὰρ Θεὸν ἔχει μεθ' ἑαυτῆς ἰσάμενον. τίς οὖν σῶσαι δύναται τὸν ὑπὸ Θεοῦ πολεμούμενον; τίς δὲ ἀπολέσαι τὸν τοῦ ἐκείνου βοηθούμενον; ταῦτα δὴ πάντα φιλοσο-

φῶν ὁ Χυσί, ⸌ ἠμόμβνος βύελπις, ἀπῆλθεν εἰθα ἐπέμπετο, καὶ ὡς ἐπέσκη, ἰδὼν εἰσελαννόντα τ̃ τύραννον, προσῆλθεν· ὁ δὲ ἰδὼν αὐτὸν ἀ̃θρον, καὶ τῇ φιλαρχίᾳ μεθύων, οὐκ ἠξέτασεν ἀκριβῶς, ἀλλ' ὑπισκώπτων αὐτὸν καὶ ὀνειδίζων, ἀπιθι, φησι, μὴ τῶ ἑταίρω σου, οὐδὲ τὸ ὄνομα κατομείνας εἰπεῖν, κατὰ μίσους ⸌ ἀπειθείας πολλῆς. προσὼν οὖν ὁ Χυσὶ

β. Bασ. ις. m. οὐδὲν ἀκαταστάτητος, οὐδὲ ἀκαθορυβήτητος, φησι· ὅτε ἰῶ ὁ Θεὸς μετ' αὐτ̃, τὰ ἐκείνω ἐφέρνουν· ὅπῳ γὰρ μὴ σῦ νεῶ ὄθιν, ἀκόλουθον θεραπεύειν τὰ σά. ἐπῆρε τοῦτο τ̃ τύραννον, ⸌ ἐφύσησε, καὶ οὐδὲν ἀξετάσας ἀκριβὲς (κοῦφος γὰρ ἀνὴρ πιστεύει πάντι λόγῳ, ὁ δὲ κἀκεῖνος ἔπαθε) ⸌ τοῖς ἐναντίοις ἐκτεταχηλιασθείς, εὐθέως αὐτὸν εἰς σὸν γνησίως εἰσάγει, καὶ εἰς σὸν προσώπους ἐγκεφάφει τ̃ν φίλων. τὸ γὰ πᾶν ὁ Θεὸς ὠκονόμει, πρῶτον καὶ γρατηγῶν τοῖς γνομένοις. καὶ βυλῆς προκειμένης περὶ πολέμω, καὶ ἑτέρων ἑτερα εἰσηνεγμένων περὶ τ̃ν, πότερον βᾴθεως ὑπιθέσθαι χρὴ, ἢ μακρὸν ἀναβαλλομένους· παρελθὼν ὁ Ἀχιτόφελ, ὁ δεινὸς ἐκεῖνος συμβυλεύσας καὶ γνώμω εἰσενεγκεῖν, ταύτην εἰσηνέγκατο

β. Bασ. κζ. a. τὴν συμβυλὴν λέγων· Τεταλαιπωρημένῳ νεῶ καὶ τεταραγμένῳ ὑπιθώμθα ⸌ πατρὶ τῷ ⸌ῳ. καὶ γὰ μὴ συγχωρήσαντες μηδὲ μακρὰν αὐτὸν ⸌πῆναι, ὕπως ἀν ἔλωμθ. ἀν γὰρ ἀπροσκυάς ῳ ὄντι νεῶ ὑπιθώμθα, ὑδὲ εἰς ἡμᾶς ἐς αι πόνος. ταῦτα ἀκούσας ὁ τύραννος, καλεῖ καὶ τ̃ Χυσὶ τ̃ αὐτομολήσαντα ἐν τοῖς ἐκείνοις προς αὐτὸν, ⸌ μεταδίδωσι καὶ αὐτῷ τ̃ς τ̃ης βυλ̃ης λόγου· ὅπερ οὐκ ἰῶ χ̃ ἀκηλουθίαν ἀνθρώπινω, τὸν ἀ̃θρον ἐλ-ζόντα, τοῦτον ὕτω ὠμ̃ησαι, καὶ νομίσαι ἀξιόπιστον εἶ), ὡς καὶ συμβυλ̃ης ἀξιοῦν πραγμάτων ἐνέχειν τοιούτων. ἀλλ' (ὅπερ ἐφθω εἰπεῖν) ὅταν ὁ Θεὸς γρατηγῇ, καὶ τὰ δύσκηλα ἔυκηλα ⸌ῖ. καὶ εἰσάγεται ὁ Χυσὶ, καὶ μεταδίδωσιν αὐτῷ πᾶ̃ρησίας, καὶ ἀξιοῖ λέγειν τὸ παρισάμθμον. τί οὖν ὁ Χυσὶ; Οὐδέποτέ, φησι, διημ̃ρτεν ὁ Ἀχιτόφελ. εἶδες ⸌ωσεσιν ὑδρός; οὐκ βᾴθεως αὐτ̃ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ' ἐγκωμίω. θαυμάσας γὰρ αὐτὸν πρ̃τον, ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις καιρίως συμβυλεύοντα, ὕτω τ̃ παρόντος κακίζει γνώμην. ὃ γὰ λέγει ὕτο ἔστι· θαυμάζω πῶς νῦν διημ̃ρτεν. ὑ γὰρ μοι δοκεῖ συμφέρειν ⸌ῦ ὁ λογισμός. ἀν μὴ γὰ νεῶ ὑπιθώμθα, καθάπᾳ ἄρκτος παροιστρώσα, θυμ̃ γεμῶν ὁ πατήρ σου, ⸌ ἀπεγνωκὼς τ̃ ἑαυτ̃ ζωῆς, ⸌ ἐναγκαζ ύσῃ τῇ ὀργῇ πολεμ̃ν, ὑδένα τ̃ ἑαυτ̃ σωτηρίας ποιήσε) λόγον, καὶ μ̃ πολλῆς ἐμπεσεῖται τ̃ σφοδρότητος ἡμ̃ν. εἰ γὰ μικρὸν ἐνδοίημθ, μ̃ πλείονος ὑπιθησόμθα τ̃ προσκυνήσεως, καὶ μείζονος τ̃ ἀσφαλείας, καὶ ἀπονητὶ καὶ μετ' ὐκολίας πάσης, ὥσπερ ἐν σαγ̃ λαβόντες αὐτὸν, ὕτως ἐπθμαξόμθ. ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσαλὼμ, καὶ λυσιτελεστέραν ⸌ῖ ἔφησεν αὐτῷ. ταῦτα γὰ ἔλεγεν ὁ Χυσὶ, βυλόμενος δοιῶσαι καιρὸν τῷ Δαβὶδ, ὥστε ⸌πῆναι μακρὸν καὶ ἀναπνεῦσαι καὶ γράτθμα ⸌ωσαγαγ̃ν. ὕτω τοίνυν ἐκβαλὼν τὸν Ἀχιτόφελ τὴν γνώμην, δι' ἣν ἐκείνων κεκρυμμένων ἀ̃δρῶν πέμψας ἀπήγειλεν ἅπαντα τῷ Δαβὶδ, καὶ ὅτι τὴν αὐτ̃ γνώμην ἐκύρωσεν ὁ τύραννος τὴν φέρουσαν τῷ Δαβὶδ τὴν νίκην. ὕτω γοῦν ⸌ ἐγέ-

β. Bασ. πι. νετο. ὅπῳ γὰ μακρὸν ἐνέδωκε, προσκυνασάμενος ὁ Δαβὶδ ἐπέβετο, καὶ ὃ ⸌έβαιον ἔσησεν. ὅπερ ὁ Ἀχιτόφελ ἀπὸ πολλῆς ⸌ωσέσεως καὶ δεινότητος ⸌ωορῶν, καὶ συνιδὼν ἤδη

β. Bασ. κγ. τὸ τέλος κατὰ μαθών, ὅτι ὁλέθρος ἰῶ τῷ Ἀβεσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἀνεγκὼν τὴν συντυχὸν ἐπήρειαν, ἀπελθὼν βεβήλον ἀνῆψε καὶ ἀπήξατο, καὶ ὕτω Ⓜ βίον κατέλυσε. ταῦτα τοίνυν ἅπαντα μαθὼν ὁ Δαβὶδ, γράφει Ⓜ ψαλμὸν, δι' ⸌ομείας ὕμνους τῷ Θεῷ ἀναφέρων, καὶ ὃ πᾶν αὐτῷ ἀναπτεὶς γρατήγημα. δι' καὶ ἀ⸌χόμενος ὕτω πώς φησι· Κύριε ὁ Θεός μου, ὅτι σοὶ ἤλπισα, σῶσόν με. οὐκ ὅτι τῷ Χυσὶ, οὐδὲ ὅτι τῇ ἀνθρωπίνῃ σοφίᾳ, οὐδὲ τῇ συνέσει τῇ ἐκείνου, οὐδὲ ὅτι τῇ ἐμῇ γνώμῃ, ἀλλ' ἐπὶ σοί. τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμθ, κἂν δι' ἀνθρώπων ἡμῖν κατόρθωμά τι γένηται,

ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῷ δι' ἡμῶν καὶ τῷ δι' ἑτέρων ἡμῖν ἐνεργετημάτων γινομένων. ἂν γὰρ ὕπνον ποιῶμεν, οὐδὲν ἔσται δύσκολον οὐδὲ σκληρόν. ὁ δὴ καὶ ὁ Δαυὶδ ἐποίει, μονονουχὶ λέγων· οὐκ ἐν τοῖς ῥήμασι τοῦ Χριστοῦ ἐλπίδα τῆς σωτηρίας εἶχον, ἀλλ' ἐν τῇ συμμαχίᾳ τῇ σῇ. καὶ ὅσα μεθ' ὅσης εὐχαριστίας φθέγγεται· ὅπερ αὐτῷ συμβῆναι ποιεῖν. ὅταν γὰρ εἴπῃ, Κύριε ὁ Θεός· ἀλλὰ Κύριε ὁ Θεός μου. καὶ ἀλλαχοῦ· Ὁ Θεὸς ὁ Θεός μου, σὲ ὀρθρίζω. οὐ γὰρ καὶ μετὰ πολλῶν αὐτοῦ χρείαν εἶχεν· ἐδίδαξόντας δὲ, ἀλλὰ τοῦ ὑπερβολὴν τοῦ πόθου. ὅταν καὶ ὁ Θεὸς ἐπὶ τῶν δικαίων τοῦτο ποιεῖ· καὶ καινὸς ἀπὸ πολλῶν ὢν Θεὸς, ἐδίδαξόντας ἑαυτὸν τῶν δικαίων ἐστὶ λέγων. Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. καὶ ὅσα φιλόσοφον γνώμην. Εἰπών, Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με (τοῦτέστι, μὴ ἀφῇς με κακῶς παθεῖν) οὐκ ἀπὸ πολλῶν τῶν διωκόντων με, καὶ ῥῦσαί με. ὅρα πῶς οὐδὲ πάσχων κακῶς, ὀνομαστὶ μέμνηται τοῦ πατραλοίου, καὶ ἐν τῇ συμφορᾷ τοῦ φύσιν ὑπερνικώσης, καὶ ἐν τῷ πολέμῳ Ⓦ ὑγιῆ ὁρῶν, καὶ ἐν τοῖς κινδύνοις τῶν ἀπλάγχνων οὐκ ὑπιλαμβανόμενος. ὅτω φιλόπαις ἦν καὶ φιλόστοργος· μᾶλλον ἢ ὅτω φιλόσοφος. οὐ γὰρ ἡ τῆς φύσεως τυραννὶς, ἀλλ' ἡ τῆς γνώμης ἡμερότης τοιοῦτον αὐτὸν ἐποίει εἶναι μᾶλλον. ὁ τῷ στρατοπέδῳ ὃ πλέον ἐλογίζετο, ἢ τῷ τυράννῳ. διὰ τοῦτό φησι, σῶσόν με ἐκ πολλῶν τῶν διωκόντων με, καὶ ῥῦσαί με. ὁρᾷς πῶς οὐδὲ ἐκείνων σφοδρῶς μέμνηται; οὐ γὰρ εἶπεν, ἐκ τῶν πολεμούντων, τῶν τὰ ἐμὰ διαρπαζόντων, τῶν ἐπιτυφώντων τοῖς βασιλείοις τοῖς ἐμοῖς, ἀλλὰ τῶν διωκόντων με.

2 Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτροῦμένου, μηδὲ σώζοντος. Καὶ μέντοι στρατόπεδα ἐξανέστησαν, καὶ πολλοὶ ἦσαν μετ' αὐτοῦ. πῶς οὖν λέγει, μὴ ὄντος λυτροῦμένου, μηδὲ σώζοντος; ὅτι οὐδὲ ἐν συμμαχίᾳ ἦγεῖτο μέρει τοῦ οἰκουμένου ἅπασαν, εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσει ῥοπῆς· οὐδὲ ἐν ἐρημίᾳ ἦν, εἰ καὶ μόνος ἦν, τῆς ἐκείνου μετέχων συμμαχίας. διὸ καὶ ἔλεγεν· Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ἵνα ὅταν ἀναγκαίως τὴν ῥῆσιν ταύτην ἐκλαμβάνοντες, λέοντα καὶ διώκτην, δράκοντα καὶ δαίμονας εἶναί φασιν. ὅταν γὰρ εἴδε τὴν ἰσχὺν ἁρπαγῆναι ἀπ' αὐτοῦ καὶ καταποθῆναι, ἄξιοι μηδέποτε τοῦτο παθεῖν αὐτούς. καὶ λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ἐκεῖνος ἔπαθε. τίς ἡ αἰτία; διὰ τῆς καχλάσεως, φησὶ, τὴν συμμαχίαν τοῦ Θεοῦ ἀπέστησεν ἀπ' ἑαυτοῦ. διὰ τοῦτο λέγει, μὴ ὄντος λυτροῦμένου, μηδὲ σώζοντος. ὅτι ἡ λέων ὁ διάβολος λέγεται καὶ δράκων, ἀκούσον λέγοντος αὐτοῦ· Ὁ ἐχθρός ὑμῶν διάβολος περιέρχεται ὡς λέων, ζητῶν τινα καταπιεῖν. καὶ αὐτὸς δὲ ὁ προφήτης ἀλλαχοῦ· Καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. πολὺ γὰρ τὸ θηρίον. ἀλλ' ἐὰν νηφωμεν, ὁ λέων οὗτος καὶ δράκων πανταχοῦ πάντως βυτελέστερος ἔσται· καὶ οὐδὲ ἐξ ὑβρίσεως ποιήσει ἡμᾶς προσπαίζεται· ἀλλὰ κἂν προσπαίζηται, καταπατηθήσεται. Πατήσῃ γάρ, φησιν, ἐπάνω ὄφεων καὶ σκορπίων. προείρηκε μὲν γὰρ πολλὰ τὸν θυμὸν, καθάπερ λέων. ἂν δὲ συμπροσβάλῃ τοῖς τοῦ Χριστοῦ ἔχουσι, καὶ τὸν σταυρὸν ὑπὲρ τοῦ μετώπου, καὶ τὸ πῦρ τοῦ πνεύματος, καὶ τὴν λαμπάδα τὴν οὐδέποτε σβεννυμένην, οὐδὲ ἀντιβλέψαι δυνήσεται, ἀλλὰ νῶτα δοὺς οἰχήσεται, οὐδὲ μεταστραφῆναι τολμήσει. καὶ ἵνα μάθῃς ὅτι ὁ κόμπος τοῦ Ἐρημίου, σκόπει μοι τὸν Παῦλον. ἀνύβρεστος γὰρ ἦν καὶ αὐτός· ἀλλ' ὅτως αὐτὸν ἐδεδοίκει ὁ λέων οὗτος, ὡς τοῦ ἱματίου αὐτοῦ καὶ τῆς σκιᾶς φεύγειν. τὴν γὰρ Χριστοῦ ἐνωδίνην ἐξ αὐτοῦ πνέουσαν καὶ ἀνιοῦσαν οὐκ ἔφερε, καὶ τὴν λαμπάδα ἀντιβλέψαι οὐκ ἴσχυσε.

3 Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου.

Πανταχοῦ δεῖ τοῦτο προσηκεῖν, ὅτι οὐχ ἁπλῶς εὔχεσθαι δεῖ μόνον, ἀλλ' οὕτως εὔχεσθαι, ὥστε καὶ ἀκούεσθαι. οὐ γὰρ ἀρκεῖ εὐχὴ τὸ προκείμενον ἀνῦσαι, ἐὰν μὴ οὕτως αὐτὸν φιλωμεν ὡς τῷ Θεῷ δοκεῖ. ἐπεὶ καὶ ὁ Φαρισαῖος ηὔξατο, καὶ οὐδὲν ὤνησε. καὶ Ἰουδαῖοι πάλιν ηὔχοντο, ἀλλ' ἀπεστρέφετο ὁ Θεὸς εὐχομένων ἐκείνων. οὐ γὰρ ηὔχοντο, ὡς εὔχεσθαι ἔδει. Διὰ τοῦτο καὶ εὐχὴν ἐδήλωσεν, οὐκ ἁπλῶς αἰτίαν ἀκούεσθαι δυναμένην. τοῦτο καὶ ἐν τῇ περὶ ταύτης εὐχῇ ἐδήλωσεν, οὐκ ἁπλῶς αἰτίαν ἀκουσθῆναι, ἀλλὰ μὴ τοῦ ἰδίου ἐπισπεύειν. ἵνα γὰρ ταῦτα ἴδω; ὅτι, λύσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ὅτι, σκοτίσθη ἐν ὀργῇ ἀπὸ πάντων τῶν ἐχθρῶν μου. ὅτι, ἐταπεινώθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ταῦτα γὰρ πάντα ἰκέτου Θεὸν ἐπιπαύσασθαι· ἀθρῶοι, δάκρυα, στεναγμοί, καὶ ὅτι τὴν πονηρὰν ἀποπλάνην, καὶ τὸ δεδοικέναι καὶ τρέμειν αὐτοῦ τὴν ψῆφον. καὶ ἀλλαχοῦ ἔλεγεν· Εἰσήκουσεν ὁ Θεὸς τῆς δεήσεώς μου· ἐν θλίψει ἐπλάτυνάς μοι. τὸ γὰρ ἀκούεσθαι, οὕτω γίνεται· πρῶτον μὲν οὖν, οὐκ ἂξίους εἶναι λαβεῖν ἑαυτοὺς, οὐκ ἐπὶ τῇ καθ' ἡμῶν νόμῳ τοῦ Θεοῦ εὐχεσθαι· τέλειον, οὐκ ἐν συνεχῶς· τέταρτον, οὐκ ἐν μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον, οὐκ τὰ συμφέροντα ζητεῖν· ἕκτον, οὐκ τὰ πρὸς ἑαυτὴν εἰσφέρειν ἀπόντα. ὅρα γοῦν πολλοὺς οὕτως ἀκουσθέντας· ὡς Κορνήλιον ἀπὸ τοῦ βίου· καὶ Συμεὼν ἀπὸ τῆς πρεσβείας· ὡς Σολομῶντα ἀπὸ τοῦ τρόπου τῆς αἰτήσεως, Αὐτῷ γὰρ οὐκ ἠτήσατο χρήματα, οὐδὲ ψυχάς, φησιν, ἐχθρῶν σου· ὡς τελωνίου ἀπὸ τῆς ταπεινοφροσύνης· ἑτέρωθεν ἑτέρωθεν. ὥσπερ οὖν οὐκ τούτων τὸ ἀκούεσθαι γίνεται, οὕτως ἑτέρωθεν τὸ μὴ ἀκούεσθαι, κἂν δίκαιοι ὦσιν ὡς αἰτούντες. Τί γὰρ Παύλου δικαιότερον γένοιτο; ἀλλ' ὅπως ἀσύμφορα ἠτήσεν, οὐκ ηὐχύσθη. ὑπὲρ τούτου, φησί, τρὶς ὡς Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. τί γὰρ Μωϋσέως; ἀλλ' οὐδὲ σκῆνος ηὐχύσατο, λέγοντος τοῦ Θεοῦ· Ἐκχωνεύθω σοι. ὅπως γὰρ ἤτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν (ἀσύμφορον ἦν τοῦτο ἐκείνῳ) οὐκ ἐπέτρεψε. μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ ποιοῦν μὴ ἀκούεσθαι, ὅταν τοῖς ἁμαρτήμασιν ὑπερμαχῶμεν. ὁ δὲ περὶ Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ· Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν; οὐκ ἀπέσχισαν, φησι, τῆς ἀσεβείας, καὶ σὺ μοι ταύτην δέησιν ἀναφέρεις; ἀλλ' οὐκ εἰσακούσομαί σου. πάλιν ὅταν κατ' ἐχθρῶν αἰτῶμαι, καὶ μόνον οὐκ ἀκούομαι, ἀλλὰ καὶ προξυνόμαι. Φαρμακὸν γάρ ἐστιν ἡ ὀργή. ἀλλ' ἐὰν μὴ εἰδῶμεν τὸ φαρμακὸν πῶς ὀπτέον ἐστί, οὐδὲ τοῦ ὀπτοῦ ἀπολαύσομεν. ἰδωμεν τοίνυν τί καὶ οὗτος ὁ ὀργίλος φησί· Κύριε ὁ Θεός μου, εἰ ἐποίησα ἕτο. τί ἐστιν, εἰ ἐποίησα τοῦτο; ὁ πάσχω, φησιν. εἰ ἐπεμείνατε πατρί, εἰ πρῴμησα ὑμᾶς. ἀλλ' οὐδὲ ἐν τούτοις ὀνομαστί πάλιν αἰτίαν τὴν ἀδικήσασαν εἰπεῖν· ἀλλ' ὑπὲρ τοῦ παιδὸς αἰτιᾶται καὶ ἐρυθριᾷ. οἷον δ' εἴ τις ὀργίλος ἀνὴρ τοῦ ἑαυτοῦ γαμβροῦ μοιχευομένου ὁρῶν, μηδὲ ὀνομαστὶ τὸ ἁμάρτημα εἰς τὸ μέσον ἀγαγεῖν καταδέχοιτο· οὕτω δὴ καὶ οὗτος, οὐκ εἶπεν, εἰ κατεξεμέσην τοῦ γεγυνηκότος, εἰ παιδοφοίας ἐγκαλοῦμεν· ἀλλὰ εἰ ἐποίησα τοῦτο. τί λέγω τοῦτό, φησι; ποία γὰρ ἀρετὴ τὸ μὴ ὀργίζεσθαι παιδοφοίᾳ, ὅπου γε οὐδὲ ἐν τοῖς ἀνειλοις ἴδοι τις ἄν; εἰ ἔστιν ἀδικία ἐν χερσί μου. οὐ λέγω περὶ τῆς ἀδικίας ταύτης· ἀλλ' οὐδὲ ἑτέρας ἂν εὑρεθείη, φησίν, ὅσα ἐν χερσί μου ἀδικία. ταῦτα λέγει, οὐ μεγαληγορῶν, ἀλλ' εἰς ἀνάγκην ἐμπεσὼν τοῦ τὰ ἑαυτοῦ κατορθώματα εἰπεῖν. ἀλλ' οὐδὲ οὕτω πω μέγα τοῦτο πρὸς τὸ μέλλον ῥηθέσεσθαι. Τί γὰρ τοῦτό ἐστιν;

4 Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, φησι. Πεσέσθε μετ' ἀκριβείας. οὐ γὰρ τὸ τυχὸν ἐστὶ τὸ εἰρημένον. καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ γε μείζον,

Ακτ. ιη.ι. Ησ. α.ιι.

Ψαλ. δ.α.

Πρεσβ.λ. καὶ λα. Ματθ.ιε.κβ.καὶ Μαρκ.ζ.κς. καὶ Βασ.γ.μα.

Ανακ.ιη.ιδ.

Β.Κορ. ιβ.η.

Δαλτ.γ.κς.

Ιερεμ.ζ.ια.

ζον, καὶ φιλοτόφ ψυχῆς, τὸ Ⓦ ἀδικοῦντα μὴ ἀμύνεσθαι. καί τοι τε ὁ νόμος τοῦτο παρ-
εἶχεν, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν. καὶ οὐκ Δευτ. ιθ. κα.
ἐᾶν παραβαίνειν τὸ γενόμενον. ἀλλ' ὅπω φιλόσοφος ἐκεῖνος, ὡς μὴ μόνον μὴ παραβαίνειν Ⓦ νόμον, ἀλλὰ καὶ οὐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνειν, ὑπὲρ τὰ σκάμματα πη-
δῶν. καὶ γὰρ ἐνόμιζεν ἀρκεῖν εἰς ἀρετὴν, εἰ μὴ δὲ ὑπερακοντίσειε καὶ περσάλματα. ὥσπερ οὖν καὶ Παῦλος ἐποίει, κελευόμενος ἐκ τοῦ εὐαγγελίου ζῆν, καὶ μὴ ζῶν, ἀλλ' ἀ- α. Κορ. θ.
δάπανον πηγὴν τὸ εὐαγγέλιον· ὅπω τοίνυν καὶ ὁ μακάριος Δαβὶδ, τοῦ νόμου διδόντος ἀ- ιδ. καὶ ιε.
μύνεσθαι Ⓦ ἀδικοῦντα, οὐκ ἐμεινεν ἐν τῷ μέτρῳ τούτῳ, ἀλλὰ καὶ ὑπερηκόντισεν. ἡ-
μεῖς δὲ τοῦτο ἀπαυτόμαθα μόνον τὸ μὴ ἀνταποδιδόναι, ἀλλὰ καὶ τὸ εὔχεσθαι. Εὐχεσθε Ματθ. ε. μδ.
γάρ, φησιν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· καλῶς ποιήσετε τοῖς μισοῦσιν ὑμᾶς. ὅτι δὲ
τοῦ Δαβὶδ ὑ μικρὸν τὸ μὴ ἀμύνεσθαι, ἀλλὰ καὶ πολλῷ μεῖζον ὑ νομικὸν παράγγελμα-
τος. διὸ φησιν, Εἰ ἐποίησα τοῦτο· Εἰ ἔστιν ἀδικία ἐν χερσί μου· Εἰ ἀνταπέδωκα τοῖς
ἀνταποδιδοῦσί μοι κακά. ὅπι μὲν γὰρ τοῦ παιδὸς, καὶ ἡ φύσις ἐκώλυεν· ἀλλ' εἰ ἑτέρως,
φησὶν, ἠδίκησα, ἢ καὶ ἡμυνάμην. πόθεν οὖν ἀρίηθμον συνίσωμεν ἡμεῖς, ποίαν δὲ ἀπο-
λογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παῤῥησίαν μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ παλαιᾷ
πολιβυομένων, καὶ ταῦτα πολλῷ περιαιρέτου ἀπαιτούμενοι; Ἐὰν γὰρ μὴ περισσεύσῃ, Ματθ. ε. κ.
φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν
τῶν οὐρανῶν. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος ὁ ἐν τῷ νόμῳ τὰ αὐτὰ καταρθῶν τῷ μετὰ τοῦ νόμου·
ὅπως ὅτε ὁ ἐν τῇ χάριτι ὢν ἐν ᾧ νόμῳ· ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ πολλὴ γίνε) ἡ διαφορά. τοῦτο
διακρίνει ὁ Παῦλος καὶ ὅπι τὰ κακίας, καὶ ὅπι τὰ ἀρετῆς, ὅσα κακείνως πῶς μείζονως θαυμά-
ζει, καὶ τούτους μείζονος τιμωρίας ἀξίους ἀποφαίνει εἶ), οὕτω λέγων· Ὅταν γὰρ ἔθνη τὰ μὴ Ρωμ. β. ιδ.
νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. εἶδες
πῶς οὗτοι χωρὶς νόμου κατορθοῦντας ἐπαινῇ καὶ ἀνακηρύττει; ὅσα πάλιν καὶ οὗτοι ἐν τῇ χά-
ριτι ἁμαρτάνοντας πῶς μείζονος κολάσεως ἀξίους εἶ) δείκνυσι τῶν ἐν τῷ νόμῳ θαμάρ-
τόντων, οὕτω λέγων· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ὅπι δυσὶν ἢ τρισὶ Εβρ. ι. κβ.
μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ Ⓦ υἱὸν τοῦ Θεο-
ῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; καὶ πάλιν οὗτοι περὶ
τοῦ νόμου, ἐλαττόνος δείκνυσι τιμωρίας ἀξίους ὄντας τοὺς ἐν τῷ νόμῳ παραβάντων,
Ὅσοι, φησὶν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· τουτέστιν, ἠμερώτερον, οὐκ ἔχοντες Ρωμ. β. ιβ.
Ⓦ νόμον κατηγορεῖ, ἀλλὰ τοῦ φύσιν μόνον· ὅσοι δὲ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθή-
σονται· τουτέστι βαρύτερον, ἔχοντες μετὰ τῆς φύσεως καὶ Ⓦ νόμον κατηγορεῖ. Ἀπο-
πέπτωκα ἀφ' ἁπὸ τῶν ἐχθρῶν μου κενός. 5 Καταδιώξας ἀφ' ὁ ἐχθρὸς τοῦ ψυχῆ
μου, καὶ καταλάβοι. Εἶδες πάῤῥησίαν διηγεῖται καὶ ἄφοβον ζωὴν δείκνυσι, εἰ γὰρ μὴ σφό-
δρα ἑαυτῷ ἐθάῤῥει, οὐκ ἂν τοιαῦτα ἐπῃρᾶτο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Εἰ ἠδίκησα, εἰ ἠ-
μυνάμην· τοῦτο καὶ τοῦτο πάθοιμι. καὶ καθ' ἑαυτὸν τοῦ ψόφου οὐκ φέρει· καὶ οὐκ ἀξιοῖ κρί-
θῆναι, ἀλλὰ πολλῷ μᾶλλον ὑπὲρ τοῦ ἀξίαν δίδοναι τοῦ δίκην· καὶ ὑπερβάλ-
λοντα ἑαυτὸν ποιεῖ κολάζει, ἧς ὁ νόμος αὐτὸν εἴργει. καὶ ὅσα ποία ταῦτα· ἀποπέπτωκα,
φησὶν, ἀπὸ τῶν ἐχθρῶν μου κενός. καταδιώξας ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι,
Καὶ καταπατήσας εἰς γῆν τοῦ ζωήν μου, καὶ τοῦ δόξαν μου εἰς χοῦν κατασκη-
νώσαι. Τουτέστιν, ἀτίμου, ἀνώνυμον ἀπολέσειε, μετὰ τῆς ζωῆς μου δὲ τοῦ δόξαν
μου ἀφανείσειε. τί ὅτι, καὶ τὴν δόξαν μου εἰς γῆν κατασκηνώσαι; ταπεινώσαι, πατή-
σαι· γοῦν ἕτοιμος τοῖς ἐχθροῖς, φησι. τί γοῦν δὴ μιαρώτερον τοῦ Ἀβεσσαλώμου,
ὃστις πατέρα, καὶ πατέρα τοιοῦτον, ὅπως ἤμελλον καὶ ὅπλοις ἐδίωκεν, ἀσελγὴς ὢν καὶ ἀκόλα-

στος καὶ ὑβριστής; τί οὖν; οὐκ ἀπέδωκε τοῖς δύο ποδιδόδυσιν αὐτῷ κακά, οὐδὲ ἐμνησικάκησεν; ὐδαμῶς. κἂν ἐξεπάσης τὸν Σαὺλ τῷ ἰσχείῳ, τότε μάλιστα ὄψει ταύτῃ τὴν φωνὴν ἀφαλάμπουσαν. ⓦ γὰρ μὴ μνείας βυέργεσίας καὶ ἐπαίνας ἀδικουῶτα καὶ ἐπιβουλεύοντα, καὶ ἀνελεῖν καθ' ἑκάστην ἐπιθυμοῦντα τὴν ἡμέραν, λαβὼν εἰς χεῖρας οὐ ἅπαξ καὶ δὶς * καὶ πολλάκις καθεύδοντα, καὶ καθάπερ ἐν δεσμωτηρίῳ συγκεκλεισμένον, οὐ δρυμῶν, οὐδ' ὀρυφόρων ἔρημον, πολλῶν ἐγκεκλεισμένων σφάξαι καὶ ἀνελεῖν, ἐφείσατο, καὶ τῆς ὀργῆς ἐκράτησε· καὶ ταῦτα εἰδὼς, ὅτι ἀφεὶς αὐτὸν ἀφαφυγεῖν, πολέμιον ἀφήσει ἑαυτῷ καὶ ἐχθρὸν ἀκαταλλακτον. ἀλλ' ὅμως ὅτε ἡ μνήμη τῶν προελθόντων, ὅτε ὁ φόβος τῶν μελλόντων, ὅτε ἄλλο τῶν τοιούτων οὐδὲν εἰς τὴν σφαγὴν αὐτὸν ἐξήναγκε ἐκείνην· ἀλλ' ἐφιλοσόφει, καὶ τῆς χειρὸς ἐκράτει, καὶ ⓦ θυμὸν ἐχαλίνα· καὶ ἠρεῖτο κινδυνεύειν οὐ ἐπιβουλεύεσθαι μᾶλλον, καὶ τῆς πατρίδος αὐτῆς ἐκπεσεῖν καὶ τῆς ἐλευθερίας, ἢ τὸν ἐχθρὸν ⓦ ἐκεῖνον καὶ μάτην αὐτῷ ἐπιβουλεύοντα, τὸν μὴ μνείας ἐνεργεσίας φονεύσαι, σφάξαι καὶ ἀνελεῖν. καὶ ἐξ ἑτέρων ἔστιν ἰδεῖν τὸν φιλόσοφον αὐτὸν δαίμονα. δεῖ καὶ ἐπιθέσθαι αὐτῷ πολλὰ καὶ χαλεπά· οἷον τὸ ἀποφάσκειν ἐπιμελεῖσθαι· τὸ τοὺς ἐχθροὺς κεκτῆσθαι μὴ πολλῆς τῆς οὐσίας αὐτοῦ· τὸ δυώνυμον ἀποθανεῖν· τὸ παρὰ πολεμίων τοῦτο παθεῖν, ὃ πολὺ τοῦ θανεῖν χαλεπώτερον εἶναι δοκεῖ. δεῖ καὶ μνείας μηχανήματα ποιεῖ, πρὸς τὸ μὴ τὴν τελευτὴν * μνημονεύεσθαι. ὅρα τοίνυν ὅσα ἑαυτῷ ἐπάρασθαι· τὸ δυσήνυτα πονεῖν, τὸ ὑπὸ τῶν ἐχθρῶν κτείνεσθαι, τὸ ἀποθανεῖν, τὸ μηδὲ κοινῆ τῇ τελευτῇ, τὸ καὶ τὴν μνήμην αὐτοῦ ἐξαλειφθῆναι, τὸ μὴ ἀτιμίας· οὐκ οὖν τοσαῦτα ἑαυτῷ ἐπάρασάμενος, εἰ μὴ σφόδρα ἐθαῤῥεῖ τῷ ζωειδότι. εἰ δὲ ἐχθρὸν εἶχεν, οὐδὲν τοῦτο ἐκείνῳ ἔγκλημα. καὶ γὰρ αὐτὸς πρεῖς λαβάς. ποίαν γὰρ λαβὼν ἔδωκε τῷ παιδί; ποίαν τῷ Σαὺλ; καὶ τὸν μὲν ἄξια ὑμωείας παθόντα, πολὺς καιρὸν σωφρονίσας, ἐπεμήνατο καὶ ἀνεκλήσατο· τὸν δὲ φονεύσαντα κατ' αὐτοῦ, πολλάκις εἰς χεῖρας λαβὼν διέσωσε; μὴ τοίνυν τοῦτο σκέπτει, εἰ ἐχθρὸς εἶχεν, ἀλλ' εἰ αὐτὸς αὐτοῦ κατεσκεύασεν. ὅτε γὰρ ὁ Χριστὸς τοῦτο ἐκέλευσε, τὸ μὴ σοῦ ἐχθρούς ἔχειν (τοῦτο γὰρ οὐκ ἐσμὲν κύριοι) ἀλλὰ τὸ μὴ μισεῖν. τοῦτο γὰρ ἡμεῖς κύριοι· ἐκεῖνο δὲ πρόπτως. τοῦ δὲ μισεῖσθαι εἰκὴ, οὐκ ἐν ἡμῖν ἡ δόξασία κεῖται, ἀλλ' ἐν τοῖς μισοῦσι. καὶ γὰρ ⓐ ποιεῖ σοῦ ἀγαθοὺς μισεῖν εἰώθασιν εἰκῆ καὶ μάτην. καὶ γὰρ καὶ τὸν Χριστὸν ἐμίσουν εἰκῆ, καθὼς λέγει· Ἐμίσησάν με δωρεάν. καὶ ⓐ ἀπόστολοι σοῦ ψευδαποστόλους εἶχον ἐχθρούς, καὶ ⓐ προφῆται σοῦ ψευδοπροφήτας. οὐ γὰρ τοῦτο δεῖ σκοπεῖν, ὅπως μὴ κοινὴν ἐχθρούς, ἀλλ' ὅπως μὴ δικαίως μηδὲ εὐλόγως· καὶ ὅπως, κἂν μυριάκις μισώμεθα, μὴ μισῶμεν, μηδὲ ἀποστρεφώμεθα. ἔχθρα γάρ ἐστι τοῦτο ἐστι, τὸ μισεῖν καὶ ἀποστρέφεσθαι. ὅταν οὖν μισῶμαι καὶ μὴ μισῶ, ἐκεῖνος μου ἐχθρὸς, οὐκ ἐγὼ τοῦτον ἔχω. ὅταν δὲ χωμαι, ὅταν βυέργετεῖν βούλωμαι, πῶς τοιοῦτον ἐχθρὸν ἔχω; δεῖ τοῦτο ὁ Παῦλος ἔλεγεν· Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. καὶ ἡμέτερα τοίνυν εἰσφέρωμεν, καὶ αὐτῷ τούτῳ ἐκχωρῶμεν τὸν ἔπαινον ἔχωμεν. ἵνα δὲ δῶ καὶ ἡμέτερα; οἷον ἃ λέγω. μισεῖ ὁ δεῖνα καὶ ἐπηρεάζει; σὺ φίλει καὶ εὐεργέτει. ὑβρίζει καὶ λοιδορεῖται; σὺ εὐλόγει καὶ ἐπαίνει. ἀλλ' ἵνα λύσει τὴν ἔχθραν οὐδὲ ὅτως; ἀκηκοὼ πλειονάκις σοι δίδωσι τὸν μισθόν. ⓐ γὰρ καὶ οἱ ὅσῳ ἂν θεραπεύσωμεν μὴ καταλύωσι τὸν πόλεμον, λαμπροτέρους ἡμῖν παρέξουσι τὰς ἀμοιβὰς, καὶ ἑαυτοῦ ἀσθενεστέρους ποιοῦσιν. ὁ μὲν γὰρ μισῶν, καὶ μὴ βουλόμενος ἔχθρὸν, πικραίνεται, ἀφαφθείρεται, δικνεκεῖ συζῇ πολέμῳ· ὁ δὲ τούτων δυώτερος τῶν βελῶν, ἔξω τοῦ τειχισμοῦ ἔστηκε· καὶ ἑαυτοῦ μὲν ἐκείνου τὰ μέγιστα ὠφελεῖ, ἐν ᾧ ἀσυνδάζειν ἐκείνῳ καταλλάττεται, καὶ μὴ πολεμεῖν, ἑαυτὸν ἀπαλλάττων πολέμου καὶ μάχης. φεύγωμεν τοίνυν πολεμεῖν

C. Bas. ad. κα. καὶ γ. α. Bas. κδ. ζ. καὶ κεφ. κς. ζ.

Ιω. ιε. κε. καὶ Ψαλ. κβ.

Ρωμ. ιβ.

πολεμεῖν ἑτέροις, ἢ τιμὴ ῥίζαν τῶν ἀπέλωλεν, κενοδοξίαν, φιλαργυρίαν. ἢ γὰρ δόξα χρήματά τις ἐξόρυξ ἐστιν, ἢ δόξα δόξαν κενὴν. ἐὰν δὲ τῶν ὧμα δυώτεροι, ἢ τῷ ἁλίσκεσθαι ἕλκρα ἐσόμβα ὑψηλότεροι. καὶν ὑβρίσῃ τοίνυν, φέρωμεν γενναίως. ἑαυτὸν γὰρ, ὃ σὲ ὕβρισε. καὶν πλήξῃ, μὴ ἀντιτείνῃς τὴν δεξιάν. αὐτὸς γάρ ἐστιν ὁ πληγὴν ὁρμυός, σε μὲ τῇ χειρὶ, ἑαυτὸν δὲ τῷ θυμῷ παίων, ἢ πονηρὰν ἀφ' ἡμῶν λαμβάνων δόξαν. εἰ δὲ δοκεῖ σοι ταῦτα δύσκολα εἶναι· σκόπησον, ὅτι εἰ μανόμενός σε ὁ ἱμάτιον ἔρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς; σὲ ϖ παθόντα, ἢ ἑκόντα τὸ ποιήσαντα; ἔνδηλον ὅτι ἑκόντα. εἶτα, ἔνθα μὲν ὁ ἱμάτιον διαῤῥήγνυται, ὁ ποιήσας τὸ παθόντος χαλεπώτερα πέπονθεν, ἔνθα δὲ καρδία διαῤῥήγνυται (ὁ γὰρ θυμὸς τοῦτο πάσχει) οὐκ ἑκόντα ἡγήσῃ μείζονα πεπονθέναι δεινὰ σὺ τοῦ μηδοτιοῦν ἐπιμένοντος; μὴ γὰρ δὴ ἔστω εἴπῃς, ὅτι ὁ ἱμάτιον ὁ σὸν διέῤῥηξεν, ἀλλ' ὅτι ἐφ' ἑτέρῳ τιμῇ ἑαυτὴν καρδίαν. ὥσπερ γὰρ ἱκέτευσε οὐκ ἂν γένοιτο, μὴ τῆς χάλης διαῤῥαγείσης, καὶ σὸν οἰκείους ὁρᾶς ἐπαφρίσας· ὕπως οὐκ ἂν θυμὸς ἀμέσως γένοιτο, μὴ τῆς καρδίας διαῤῥαγείσης. ὥσπερ οὖν ἂν ἴδῃς τινὰ ἱκτέρῳ κατεχόμενον, καὶν μυρία ἐργάσηται δεινὰ, οὐκ ἂν ἔλοιο ἐφ' ἑαυτὸν ἀπαράσασθαι τὸ νόσημα· ὕπω δὲ ὅπου τοῦ θυμοῦ, μὴ ζήλου μηδὲ μίσει τὴν κακίαν, ἀλλ' ἐλέει καὶ κείνου τὸ χαλεπαίνοντα τὸ ἐν αὐτῷ θηρίον, ἀλλὰ φορτικώτερον ἑαυτὴν λυμαινόμενον καὶ διαφθείρουσα. ὅτι γὰρ ἑαυτὸς οἱ ζώστοι λυμαίνον), ἀκούειν ὅτι πολλῶν τὰς ζωὰς διαλυόντων μάχας, ὅτω ϖ δαιμονιώτατον ἀνθρώπων· σαυτὸν φεῖσαι· σαυτὴν ἀδικεῖς. πιστὸν γὰρ ἡ κακία τὴν πίκτοντα αὐτὴν λυμαίνεται μόνον, πάντα ἄνω καὶ κάτω ποιοῦσα. μὴ τοίνυν βαλόμενοι ἀμύνεσθαι ἑτέροις, αὐτοὶ τὸν λιμὸν ἐκπέσωμεν. οὐδὲ γὰρ εἴ τις μέλλων ναυαγεῖν καὶ κατορύχιος γίνεσθαι, ὕβρισέ σε ὅπου τῆς γῆς καθήμενον, πλήξας δὲ, οὐδὲ ὀξέως τῆς γῆς ἐκποδὼν ἐποίησας αὐτὸν ναυαγεῖν. τοῦτο τοίνυν διδάσκει· ὅτι ὁ μὲν ὑβρίζων σε καὶ προϊών, ὥσπερ ἐλίσσῃ τινὶ, ἢ καταγλίσχει καταπονηζόμενος, κατορύχιος γίνεται τῷ τοῦ θυμοῦ ναυαγίῳ· σὺ δὲ ὁ φέρων γενναίως, ἐν λιμένι καὶ πρὸς αἰγιαλὸν τρυφᾶς. ἐὰν δὲ ϖ σὺ ἀνθ' ὧν ἔξενεχθῆς αὐτῷ ζήλει, οὐκ ἐκεῖνον, ἀλλὰ σαυτὸν κατεπόντισας.

6 Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Τοῦτο ὅτως εἶπε, δεικνὺς ὅτι ὀργὴ, οὐκ ἐν ὀργῇ, ἀνάστηναι· ὡς ὅταν λέγῃ· Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. ἀκούων τοῦ ἀνάστα, μηδὲν σωματικὸν ὑποπτεύσῃς. ὥσπερ γὰρ τὸ καθῆσθαι, ὅτι Θεοῦ οὐ σωματικῶς εἴρηται), οὕτως οὐδὲ τοῦτο. σὺ γὰρ, φησὶ, καθήμενος εἰς τὸν ἀγῶνα. τί οὖν ἐστιν, ὁ διὰ τὸ καθέδρας αἰνίττεται); τὸ ἑδραῖον, τὸ πεπηγὸς, τὸ βέβαιον τῆς φύσεως, τὸ μόνιμον· ὅταν οὖν μὴ ὀργὴ δυσχερὴς ἐδήλωσεν. εἰπὼν γὰρ, σὺ καθήμενος εἰς ϖ ἀγῶνα, ἐπήγαγε, ἡμεῖς δὲ ἀπολλύμενοι εἰς ϖ ἀγῶνα. ὥσπερ οὖν τὸ καθῆσθαι σωματικὸν, ὕπως οὐδὲ τὸ δύασθαι. ἀλλ' ἐκεῖ μὲν τὸ ἑδραῖον, ἐν τούτοις δὲ τὸ πρωρητικὸν, τὸ ἀνθηγωτικόν. ἔστι δὲ ὅπου δηλοῖ τὸ καθῆσθαι καὶ τὸ δικαστικόν· ὡς ὅταν λέγῃ· Ἐκάθισας ὁ θρόνος ὁ κρίνων δικαιοσύνην. καὶ ὁ Δαυὶδ· Θεὸς ἐτέθησαν, καὶ τὸ κριτήριον ἐκάθισεν. ἔστι καὶ τὸ βασιλικόν· ὡς ὅταν λέγῃ· Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς ϖ αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ὅθεν καὶ τὸ κάθου ἐκ δεξιῶν μου, τὸ ἰσόθιμον ἐνδείκνυται. τί δὲ ὅστι τὸ, ἐν ὀργῇ σου; καὶ τοῦτο πάλιν θεοπρεπῶς ἐκληπτέον. ὀργὴ τοῦ Θεοῦ, οὐ πάθος, ἀλλὰ τιμωρία καὶ κόλασις.

Ψάλ. γ. ς.

Ψάλ. θ. ς.

Δαν. ζ. θ. Ψάλ. μδ. η. Ψάλ. ρθ. α.

40 Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου. Ἄλλος φησὶν, Ἐν θυμῷ ὅτι σου ἐχθροί σου. ἕτερος, Ἐν χάλῳ τῶν θλιβόντων με. ἕτερος, Ἐν αἰνιγματικαῖς ἐνδεσμοῦντων. ὁ δὲ Ἑβραῖος τό, Ἐν τοῖς πέρασι, Βεβρωθ φησὶν. ὅρα πάλιν πῶς ἐν τούτοις οὐχ ἑαυτῷ ἀμύνει, ἀλλ' ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ταῦτα λέγει. οὐ γὰρ ἁπλῶς εἶπε,

κόλασιν

κόλασον τοὺς ἐχθρούς σου, ἀλλ' ὑψώθητι. καὶ πῶς ὑψοῦται ὁ ὑψηλός, καὶ ἀεὶ ὢν ὕψιστος; τὸ γὰρ ὕψος αὐτοῦ τῆς φύσεως ὅτε ἐλαττοῦται, ὅτε προσλαμβάνει τι. τέλειος γάρ ἐστι καὶ ἀνενδεής, καὶ ἀεὶ ὡσαύτως ἔχων. πῶς οὖν, καὶ νῦν φησὶν ὑψοῦται; ὑψοῦται ἐν ταῖς διανοίαις τῶν πολλῶν. οἷον ἐμακροθύμησε πολλάκις· ἀλλ' ὁ ἐχθρὸς ὁ μακροθυμίας ἐνόμισεν εἶναι), ἀλλὰ ταπεινώσεως τοῦτο καὶ ἀσθενείας. ὥστε καὶ ταπεινοῦται, ἀλλ' οὐκ ἐν τῷ προσώπατι, ἀλλ' ἐν τῇ διανοίᾳ ἐκείνων. καθάπερ γὰρ ὁ ἥλιος ἀμυδρὸς φαίνεται ἐν τοῖς ἀσθενοῦσι ταῖς ὄψεσι· οὕτω δὴ καὶ ὁ Θεὸς ἀσθενὴς καὶ ταπεινὸς ἐν ταῖς καρδίαις ἐκείνων. ἀλλ' ὥσπερ ὁ ἥλιος οὕτω νομίζεται, οὐκ ἔστι δὲ ἀμυδρός, ἀλλὰ τῆς ἀσθενείας ἐκείνων τὸ πάθος· οὕτω καὶ ὁ Θεὸς, κἂν τοῦτο νομίζηται, οὐκ ἔστιν ἀσθενὴς, ἀλλὰ τῆς ἐκείνων ἀνοίας τὸ συμπέρασμα. Ἵνα οὖν φησιν ὁ δίκαιος; ὑψώθητι καὶ ἐπὶ τοῖς ἐχθροῖς ἡμῶν, ἐπέξελθε καὶ δεῖξόν σε τοῖς ἐχθροῖς, ἵνα νομίζοντες εἶναί σε ταπεινὸν, ἀφ' ὧν πάσχουσιν, ἴδωσί σε τὸν δίκαιον. Εἶδες αὐτοῦ σκοπὸν οὐ τὸ ἑαυτοῦ ζητοῦντος, ἀλλὰ τὸ τοῦ Θεοῦ. τὸ δὲ, ἐν τοῖς πέρασιν, οὐ μόνον φασὶν, ἐν ταῖς κεφαλαῖς, ἀλλὰ, μηδεὶς διαφύγοι τῶν ἐχθρῶν. μεγάλη δὲ ἀρετὴ τοῦ δικαίου, ὅταν τοὺς αὐτοῦ ἐχθροὺς ἔχῃ τοῦ Θεοῦ, καὶ τοὺς αὐτοὺς φίλους· ὥσπερ καὶ κακία μεγάλη, ὅταν τοὺς τοῦ Θεοῦ φίλους ἐχθροὺς ἔχῃ, καὶ τοῖς ἐχθροῖς φίλους. ὥσπερ οὖν ὁ Θεὸς ἐχθροὺς ἔχειν λέγεται, οὐ μισῶν, ἀλλὰ ἀποστρεφόμενος αὐτοὺς, ἀλλὰ ταῖς πράξεις αὐτῶν ταῖς πονηραῖς· οὕτω καὶ ὁ δίκαιος ἐχθροὺς ἔχει, οὐκ ἀμυνόμενος αὐτοὺς, ἀλλὰ τῇ πονηρίᾳ ἀποστρεφόμενος.

7 Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω.

Ἄλλος φησὶν, Ἐν κρίματι. Καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Ἄλλος φησὶ, Κυκλωσάτω σε. 8 Καὶ ἕνεκεν ταύτης εἰς ὕψος ὀπίσω, Κύριε.

Ἄλλος φησὶ, Καὶ ἐπάνω αὐτῆς εἰς ὃ ὕψος ὀπίσω. ἄλλος· Καὶ διὰ ταύτην εἰς ὕψος ὀπίσω. ὁ δὲ Ἑβραῖος, Τὸ ἕνεκεν ταύτης, φησὶν ἀγαλέα. τί ἐστιν, ἐν προστάγματι ᾧ ἐνετείλω; ὥστε βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ μὴ παρορᾶν, φησὶ, τοὺς ὑπερηλαζομένους. ὅπερ οὖν ἡμῖν ἐνομοθέτησας, τοῦτο καὶ αὐτὸς διὰ τῶν ἔργων ἡμῖν ἀπόδος. ἴσως δέ τινες φασὶν, ὅτι ἐπηπείλατο ἐξαίρειν τοῖς ἐχθροῖς αὐτοῦ.

Καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Μηδὲν δυσφερὲς μηδὲ ἀνάξιον ὑπονόησῃς. κἂν γὰρ αἱ λέξεις τοιαῦται, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. τί οὖν ἐστι τὸ, κυκλώσει σε; αὐτὶ τοῦ ἀσεταί σοι, ὑμνήσει σε, εὐφημίαν οἴσει σοι πολλήν. ὅπου γὰρ ὄχλος χορῶν ἐστὶ τοιούτων, κύκλῳ περιστάντες ἐν τῷ ναῷ καὶ ἐν τῷ θυσιαστηρίῳ, καὶ ὅταν ταῖς εὐχαριστίαις ἀνέφερον, ἀπὸ τοῦ σήματος τῆς σάσεως αὐτῶν τὴν εὐφημίαν ἠνίζατο. ὃ δὴ λέγει τοιοῦτόν ἐστιν· ἐπέξελθε, βοήθησον. τοῦτο γάρ σε καὶ παρὰ τοῖς ἐχθροῖς ὑψηλὸν ποιήσει, καὶ παρὰ τοῦ λαοῦ σου πολλάς οἴσῃ τὰς εὐφημίας. ὅρα πῶς οὐ τὸ αὐτοῦ ζητεῖ, ἀλλὰ τὸ τοῦ Θεοῦ. πρωταχοῦ γὰρ βάλλεται καὶ παρὰ τοῖς ἐχθροῖς, καὶ παρὰ τοῖς οἰκείοις αὐτὸν δοξάζεσθαι.

Καὶ ἕνεκεν ταύτης εἰς ὕψος ὀπίσω. Ὑπὲρ ταύτης, τίνος; τῆς συναγωγῆς, φησι. τουτέστι, διὰ ταύτην εἰς ὕψος ὀπίσω· ὕψωσον ἡμᾶς, δύναγε ἡμᾶς, ὑψηλὰ ποίησον πράγματα, λαμπροτέραν αὐτὴν καὶ περιφανῆ ποίησον, ὅπως τῷ περιτέρᾳ αὐτὴν εὐπραγίᾳ ἐπαναγάγῃς. ὅρα δὲ πρωταχοῦ τὰς ἱκετηρίας ἀναμιγνύντα καὶ διδασκαλίαν. καὶ γὰρ περὶ τούτου εἰπών, οἰκτείρησόν με, καὶ εἰσάκουσόν μου, πρέπει λοιπὸν εἰς συμβουλὴν, ὅπως λέγων· μέχρι πότε ἀνόητοι ἕως πότε βαρυκάρδιοι; καὶ ἐνταῦθα εἰπών, εἰς ὕψος ὀπίσω, Κύριε, ἐπάγει· Κύριος κενεῖ λαούς.

Ἄλλος δέ φησι, Κύριος διδάσει. διδάσκει τοὺς νομίζοντας ἁπλῶς καὶ ὡς ἔτυχεν ἀκούσματα φέρεσθαι, ὅτι προνοιά τις ἐφέστηκε τοῖς πράγμασιν, ἅπαντα διοικοῦσα τῶν γινομένων.

χιομβρίων. κρίνω γὰρ ἐν τούτῳ, τίνι τε μέλλουσαν λέγει, τίνι τε παρεσυσαν. ἐκεῖ μὲν γὰρ καθόλου καὶ ἡ σαφὴς ἐκείνη· ἐκ μέσης ἐν καὶ ἐν τούτῳ ἀπαιτεῖ δίκας, τοὺς τε ῥᾳθυμοτέρους διεγείρων, καὶ σὺν ἀπιστοτέρους ἐφελκόμενος εἰς τὴν ἔννοιαν τῆς περὶ τὸν πλούτου προνοίας. 9 Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου. Ἄλλος, Κατὰ τὸ δίκαιόν μου. Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

10 Συντριβεσθήτω δὴ πονηρία ἁμαρτωλῶν. Ἄλλος φησίν, Ἀπορριφήτω κακώσεις κατὰ τὴν ἀσεβῶν. Καὶ κατευθυνεῖς δίκαιον. Ἄλλος, Καὶ ἑδράσεις δίκαιον. πῶς ὁ λέγων ἀλλαχοῦ, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ἐνταῦθά φησι, κρῖνόν με κατὰ τὴν δικαιοσύνην μου; ὅτι ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο. ἐκεῖ μὲν γὰρ λέγων, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, μὴ κριθῇς σὺ τοῖς ἐμοί, δηλοῖ, μηδὲ τοῖς αὐτοφυῶς τὴν ἀνεργησίαν τὴν σὴν καὶ σὸν ϖ ἐμὸν βίον ὀξετάσῃς. διὸ καὶ ἐπήγαγεν, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, τουτέστι, τοῖς σὲ χρηνόμενος. ἐνταῦθα δὲ οὐ τοῦτο φησιν. οὐ γὰρ τοῖς αὐτὸν κρίνεσθαι βούλεται, ἀλλὰ τοῖς ἑαυτόν. διὸ καὶ κατὰ τὴν δικαιοσύνην μου εἶπε, τουτέστι, κατὰ τὴν δικαιοσύνην τὴν ἐμήν. δικαιοσύνη δ' ἐνταῦθα λέγει, ὃ μὴ ἀρξαι χειρῶν ἀδίκων· ὅπερ ἔλεγεν ἀνωτέρω, εἰ ἐποίησα τοῦτο, καὶ ἁρπάσαιμι ὃ αὐτὸ δ' τοῦτο δηλοῖ ὃ, κατὰ τὴν ἀκακίαν μου, κατὰ τοῦτο βούλομαι κριθῆναι, φησί. πολλὴ καὶ ἐνταῦθα ἡ παῤῥησία τοῦ δικαίου. ταῦτα δὲ λέγει εἰς ἀνάγκην ἐμπεσών. ποίαν δὴ ταύτην; ὅτι πονηρὰν τοῖς πολλοῖς δυσκόλοις, ἀφ' ὧν ἔπαθεν, ἐκτᾶτο δόξαν. οἱ γὰρ πολλοὶ τῶν δυσκόλων, ἀπὸ τῆς συμφορᾶς καὶ ϖ βίον ὑπολαμβάνειν εἰώθασιν· ὅσαπερ καὶ ὅτε τὸ Ἰὼβ γέγονε. διὸ καὶ ἔλεγον, μηδὲν αὐτῷ ζωηδότες πονηρὸν, οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαθήκασιν, καὶ τὸν Παῦλον δὲ πονηρόν τινα καὶ κακόδρομον ᾠήντο εἶναι οἱ βάρβαροι, ὅτε ἡ ἔχις εἴλετο αὐτοῦ τῆς χειρός. διὸ καὶ ἔλεγον, Σωθέντα οὐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ ἐᾶσε. καὶ ὁ Σεμεεὶ δὲ ἀνδροφόνον καλεῖ ϖ Δαβὶδ, ἀπὸ τῆς συμφορᾶς ταύτην τὴν πονηρὰν περὶ αὐτοῦ φέρων ψῆφον. ἵν' οὖν καὶ ὑμεῖς μὴ τὸ παρόντες, φέρε, μακρὰν περὶ τούτων διαλεξώμεθα. οὐ γὰρ πολλῶν ἀκούω λεγόντων· εἰ ἐφίλει ὁ Θεὸς τοὺς πένητας, οὐκ ἂν εἴασεν πένητας· ἑτέρων πάλιν, ποῦ ἂν ἐλεημοσύνη τὸ δεινός; ποῦ δὲ αἱ αὐτοφωλίαι; ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνητε, ϖ περὶ τούτων διερευνήσωμεν λόγον. εἰ γὰρ ἀνθρωπος νοῦν ἔχων, οὔτε μισάνθρωπος, οὔτε φιλοπόνηρος γένοιτ' ἄν, πῶς σὺ τολμᾷς τοιαῦτα λέγειν, ὅτι τοὺς ἐν πενίᾳ, καὶ ἐν ἀρετῇ ὄντας, μισεῖ ὁ Θεός, τοὺς δὲ ἐν πλούτῳ, καὶ ἐν κακίᾳ, φιλεῖ, βλάσφημον τὸ στόμα ἀνοίγων; ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνῃς, μάθε τί φιλεῖ ὁ Θεὸς καὶ μισεῖ. τίνα τοίνυν φιλεῖ; ϖ τὰς ἐντολὰς αὐτοῦ τηρούντα (Τοῦτον γὰρ ἀγαπήσω, φησί, καὶ ἐλευσόμεθα πρὸς αὐτὸν) οὐ τοὺς πλουτοῦντα, οὐ τοὺς ὑγιαίνοντα, ἀλλὰ τοὺς ὑπακούοντα τοῖς ἐμοῖς προστάγμασι. τίνα δὲ μισεῖ καὶ ἀποστρέφεται; τοὺς μὴ ποιοῦντα. ὅταν οὖν ἴδῃς τινὰ τὰς ἐντολὰς αὐτοῦ μὴ ποιοῦντα, κἂν ὑγιαίνῃ, κἂν πλούτῳ περιῤῥέῃ), ἐν τοῖς μισουμένοις αὐτὸν τίθει· ϖ δὲ ἐναρέτων, κἂν νοσοῦντα ἴδῃς, κἂν πενόμενον, ἐν τοῖς φιλουμένοις ἀρίθμει. οὐ γὰρ ἐν τούτοις τὰ τῆς φιλίας, ἀλλ' ἐν ἐκείνοις. ἢ οὐχ ὁρᾷς καὶ ὅτι τῶν βιωτικῶν, σὺν τῶν βασιλέων φίλους, μάλιστα τούτους περιπαθοῦντας ἐν πολέμοις, καὶ τραύματα ἔχοντας, καὶ ἀποδημοῦντας γελοίους; σὺκ ἤκουσας, Οὓς ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται; ἀλλὰ πολλοὶ σκανδαλίζονται, φησι, ταῦτα ὁρῶντες. οὐ δεῖ οὖν, ἀλλὰ διὰ τὸ οἰκεῖον αὔξειν. οὐ γὰρ ἐνταῦθα ἡ ἀντίδοσις ἡμῖν τῶν πόνων· ἀλλὰ ταῦτα μὲν ἐνταῦθα σκάμματα· ταῦτα δὲ μετὰ ταῦτα ἆθλοι καὶ στέφανοι. μὴ ζήτει τοίνυν ἐν χωρῷ τῶν παλαισμάτων καὶ ἐν ἡμέρᾳ παλαίστρᾳ, τὴν ἄνεσιν καὶ τὴν ἀδειαν· μηδὲ σύγχεε σὺν χρεῖος.

Ψαλμ. ρμβ'. β.

Ματθ. κη'. δ'.

Β. Βασιλ. ζ.

Ἰωαν. ιδ'. κα. καὶ κγ.

Ἐβρ. ιβ'. ε.

κμενοί. ἀλλ' ἀσθενέστεροι πολλοί, φησίν, εἰσιν. ἀλλὰ δι' τούτων προσενόησεν ὁ Θεός· δι' ἓν ἅπασι πολλοὺς δι' τὴν δικαίων ἐν βιωτικοῖς καὶ ἐν τούτοις· οὐ δι' ἐκείνους, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους. ὥστε εἰ καὶ σκανδαλίζωσί σε ἐν θλίψει, οἰκοδομείτωσάν σε ἐν μέσῳ· καὶ εἰ ὑποσκελίζωσί σε ἐν βιωτικοῖς τῶν πονηρῶν, ἀπορρυπτώσαν σε ἐν καλοῖσι καὶ ὑμνοῖα. Οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλῖψιν ἔξετε; Τί τοίνυν ζητεῖς ἀπ' ἐκείνων, ἐκείνα τούτοις ἐπάγοντας; Οὐκ ἤκουσας αὐτοῦ λέγοντος, Ὁ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε; ὥστε εἰκὸς ἦν σκανδαλίζεσθαι τοὺς δυνατωτέρους, εἰ τὰ ἐναντία ἐγένετο ὧν εἶπεν. Εἰ δὲ χρὴ ἀκριβῶς πάντα προσβαίνειν, τίνος ἕνεκεν σκανδαλίζῃ; καὶ τίνος ἕνεκεν, φησίν, ὅτι διετύπωσεν ὁ Θεός; μὴ ἐζήτασε, μηδὲ πολυπραγμόνει. Οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτω; Διὰ τοῦτο καὶ ὁ προφήτης ἐπετίμα τοῖς Ἰουδαίοις, ὅτι μισθῶν γέμοντες κακῶν, τὰς Θεοῦ τέχνας ὁδοὺς προσεργάζοντο, λέγων· Γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· ὅμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις οἰκέτης προσπεσὼν, καὶ μισθῶν ὑπόδικος ὢν ἐγκλημάτων, πρεῖς τὸ λύσαι τὸν ὀργὸν τοῦ δεσπότου, βούλοιτο αὐτὸν ἀπαιτοῦν, τί δήποτε οὐ τὸ πεποίηκε. μὴ δὴ τοῦτο ζήτει, ἀφεὶς τὸ κλαίειν καὶ θρηνεῖν καὶ τὰ οἰκεῖα ἀπονίπτεσθαι κακά. Ταῦτα λέγω, οὐχ ὡς ἀπορῶν τί λέγειν εἰπεῖν· ἀλλὰ βουλόμενός σε ἀπὸ τῆς πολυπραγμοσύνης ταύτης, εἰς τὴν περὶ τῆς οἰκείας σωτηρίας μέλειν ἐμβαλεῖν. τίνος οὖν ἕνεκεν οὕτως ἐπέταξε; τοῦ ἡμᾶς φειδόμενος τοῦ τῶν ἀνθρώπων. Ὃ μὲ γὰρ πόνον οὗτος ταχέως διαλύει, ἕτερος βραχὺς βίος· τοῦ δὲ στεφάνους εἰς τὸ μέλλον ἑτοιμάσαντος, εἷς ἀγὴρως καὶ ἀτελεύτητος ὁ αἰών. καὶ ὁ μὲν πόνος οὗτος ταχέως παύσεται καὶ παρατρέχει· ἐκεῖνα δὲ ἀθάνατα μένει, οὐδέποτε πτερὰς ἔχοντα. ἄλλως δέ, καὶ γυμνάζει τὰς ψυχὰς εἰς τὸ τῆς ἀρετῆς φιλεῖν. ὅταν μὲν γὰρ καὶ μὴ πόνων αὐτὸν αἱρῆται, μηδέποτε ἔπαθλον λαμβάνοντα, μελετᾷ διαφέρεσθαι πρὸς αὐτὸν μὴ πολλῆς τῆς ἀκριβείας· ὅταν δὲ καὶ μεθ' ἡδονῆς τὸν κακὸν φεύγῃ, μηδέποτε κόλασιν ὑπομένοντα, γυμνάζεται μισεῖν αὐτὸν καὶ ἀποστρέφεσθαι. ὥστε ἀπὸ τούτου δεῖ ἕξιν λαβεῖν τῆς ἀπεχθείας τῆς πρὸς τὴν πονηρίαν, καὶ τῆς ἀγάπης πρὸς τὸν ἀρετήν. ἔστι καὶ ἕτερος λόγος. ποῖος δὲ οὗτος; ὅτι μάλιστα πρὸς φιλοσοφίαν ἡ θλῖψις ἀλείφει, καὶ ἰσχυροτέρους ποιεῖ. καὶ μὴ τούτου πάλιν ἄλλος. ποῖος δὲ οὗτος; βούλεται παιδεῦσαι τὴν παρόντων ὑπεροψίαν, καὶ μὴ προσπλῶσθαι, μηδὲ συνδεδέσθαι αὐτοῖς. Διὰ δὴ τοῦτο καὶ θλῖψιν ἐπάγει, καὶ πόνον, καὶ τὰ χρηστὰ αὐτὰ καὶ φαιδρὰ δυσκατάλυτα πεποίηκε.

Σωτελεσθήτω δὴ πονηρία ἀμαρτωλῶν, καὶ καθυβρισθεῖς δίκαιον.

Τίνος, συμπαθήσωμεν; ἐπάγαγε, φησί, τιμωρίαν, καὶ σῖσον αὐτοὺς τῆς κακίας. κεφαλῆς γὰρ αἱ σπεδόνες παροῖς εἴκουσι φαρμάκοις, καὶ καύσεσι καὶ τομαῖς· ὅταν δὲ ἡ πονηρία ὑπὸ τιμωρίας κωλύεται. ταῦτ' οὖν εἰδότες, καὶ τοὺς τιμωρουμένους, καὶ τοὺς κολαζομένους δακρύειν χρή, ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀμαυρωτί. πρῶτον μὲν γὰρ κακόν, τὸ ἁμαρτάνειν· δεύτερον δέ, τὸ ἁμαρτάνοντας μηδεμιᾶς τυγχάνειν θεραπείας. μᾶλλον δὲ τοῦτο πρῶτον εἴποις ἂν δικαίως, καὶ πολλῷ χαλεπώτερον. ὥσπερ γὰρ τὸ νοσεῖν χαλεπόν, ἀλλὰ τὸ νοσοῦντα μὴ θεραπεύεσθαι· καὶ τὸ ἕλκη ἔχοντα σπεδόνα θρυοῦσθαι ἁπλῶς, ἀλλὰ τὸ ἕλκη ἔχοντα καὶ εἰκῇ κείμενον, καὶ μὴ τυγχάνοντα ἰατικῆς χειρός. τὸ τεμνόμενον καὶ καιόμενον, τοῦτον φαίνεται αἱ πρὸς ὑγείαν ὁδοὶ εἶναι, οὐ τὸν ἀπὸ τῆς τομῆς ὀδυνῶν βλέποντες, ἀλλὰ τὸν ἀπὸ τῆς τομῆς ὑγείαν. οὕτω καὶ ὅτι τῆς ψυχῆς θεραπεύεσθαι χρή, οὐχὶ τοὺς κολαζομένους (τὸ γὰρ πρὸς ὑγείαν ἔλκοντας) ἀλλὰ τοὺς ἁμαρτάνοντας

μαρτυρῶντας ἀπιμωρητὶ ἀφιέναι καὶ πενθεῖν. καὶ εἰ αἱ τιμωρίαι τῆς πονηρίας εἰσὶ κωλυτικαί, φησι, τίνος ἕνεκεν οὐ καθ' ἑκάστην ἡμέραν διδόαμεν δίκην τῶν ἠμαρτημένων; ὅτι εἰ τοῦτο ἐγίνετο, πᾶσα μὲν ἂν ἡ τῶν ἀνθρώπων, ὁ δὲ τῆς μετανοίας καιρὸς ἀνῄρητο. σκόπει γοῦν ὅτι τοῦ Παύλου. Εἰ γὰρ ἐκεῖνος ἔδωκε δίκην τῆς διωξέως, καὶ ἀπῆρεν, πῶς ἂν ἔσχε καιρὸν μετανοῆσαι; * * οὐχ ὁρᾷς καὶ τοὺς ἰαμβεῖς, ὅταν τις πολλὰ πεποιηκέναι τραύματα, οὐ τοσαύτην ἐπάγοντας θεραπείαν, ὅσην ἀπαιτεῖ τῶν τραυμάτων ἡ φύσις, ἀλλ' ὅσην φέρει τῆς δυνάμεως ἡ ὑπόστασις, ἵνα μὴ τὰ τραύματα θεραπεύσαντες ϖ κάμνοντα ἀπενέγκωσι; Διὰ δὴ τοῦτο ὁ Θεὸς οὔτε πάντας ὁμοῦ κολάζει, οὔτε πάντας κατ' ἀξίαν, ἀλλ' ἠρέμα, καὶ σποδιδούς· καὶ πολλάκις ἕνα τιμωρούμενος, δι' ἐκεῖνον πολλοὺς ἐσωφρόνισε. τοῦτο καὶ ὅτι τοῦ σώματος γίνεται πολλάκις· ἑνὸς ἀκροποδίου μέλους ἑτέρους πλείους ὑγιεῖς ποιοῦμεν. ὅρα δὲ τοῦ δικαίου τὸν φιλόστοργον ψυχήν, πῶς πάντα ποιοῦσι τὸ κοινῇ συμφέρον ζητεῖ, καὶ τῆς κακίας τὴν ἀναίρεσιν· οὐκ ἵνα αὐτὸς δίκην λάβῃ παρὰ τῶν ἐχθρῶν, ἀλλ' ἵνα ϖ ἐχθροὶ παύσωνται τῆς πονηρίας. τοῦτο ποιῶμεν πάντα ποιοῦντες σκοπῶμεν, ὅπως σωθῶσι τὰ τῆς κακίας, καὶ ἀφιῶμεν σὺν τούτῳ, καὶ σπεύδωμεν ὡς εἰκείμενοι ἱμάτια· καὶ μακαρίζωμεν τοὺς ἐν ἀρετῇ, καὶ πενίᾳ ἐμμένοντας παμφίλοις, ἀπὸ τῶν ἔξωθεν εἰς τὴν διάνοιαν ἑκατέρων εἰσιόντες. τότε γὰρ ὀφθήσεται τὸ μὲν ϖ πλοῦτον, τὸ δὲ τὴν πενίαν. τί γάρ, εἰ λαμπρὸν σκηνὴν ἔξωθεν περιβέβληται; τί τῶν ἐργαστηρίων διεπίνοιχε, καὶ τῶν ξύλων τῶν αἰσχίστων αὐτά; τί τῶν λαμβανόντων αὐτὰ πωλοῦντες σοῦ δοκοῦσι πορώτεροι; ἀλλ' οὐχ ὁ τοῦ δικαίου πλοῦτος τοιοῦτος, ἀλλὰ μόνιμος καὶ πεπηγώς. Εἰ δὲ σὺ αἰσθάνῃ ϖ πλουτοῦντες ἐν πενίᾳ ὄντες, σοῦ δὲ ϖ φρενίτιδι κατεχόμενοι, καὶ δίκην τοῦτο μάλιστα εἰσὶν ἐλεεινοὶ, καὶ μαινομενοί. εἰ γὰρ ἠδυνάντο, καὶ πρὸς ϖ ἰατρὸν ἔτρεχον· νῦν δὲ τῆς κακίας τοῦτο τὸ χαλεπώτατον, ὅτι ἐν αὐτῇ ὄντες, οὐδ' ὅτι εἰσὶν ἐν αὐτῇ, συνορῶσι. μὴ δὴ τοῦτο ἴδῃς, ὅτι χαίρει πλουτῶν ὁ πλούσιος· ἀλλὰ δίκη τοῦτο αὐτὸ μάλιστα αὐτὸν δάκρυσον, ὅτι σοῦ δὲ αἰσθάνεται ἐν ὅσῳ κεῖται κακῷ. οὐ γὰρ αἰσθητόν, ὃ ὅτι τοῖς ἀγαλλομένοις, ἀλλ' ἀλγείας ἑκάστης.

Καὶ κατευθυνεῖς δίκαιον. Τί ἐστι τοῦτο; τῶν γὰρ πονηρῶν κολασθέντων, φησὶ, σωφρονιστικώτεροι ϖ δίκαιοι γίνονται. ὥστε δύο ἐντεῦθεν τὰ ἀγαθά· ἐκεῖνοί τε γὰρ τῆς πονηρίας ἀφίστανται, καὶ οὗτοι τῇ ἀρετῇ μᾶλλον προσέρχονται. ὥσπερ γὰρ ὑγιαίνων ἀνὴρ θεραπεύοντα ἰδών τινα καμόμενον, ἢ τεμνόμενον, σωφρονιστικώτερος πρὸς τὸ ὑγιαίνειν γίνεται· οὕτω δὴ καὶ ἐνταῦθα. ἐκ γὰρ πολλοὶ τῶν τότε ἐσκανδαλίζοντο, καὶ τῶν δοκούντων ἑαυτοὺς σωφρονεῖν, ὅτι τῇ τῶν πονηρῶν εὐημερίᾳ, ἀτελέστερον ἔτι διακείμενοι. διὸ καὶ σοῦ ἀλλαχοῦ ἔλεγε· Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ὅτι τοῖς ἀδίκοις. Ψαλμ. οϛ. ϛ.
ἄλλος γ' πάλιν· Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; καὶ ὁ Ἰωὼ γ' πολλὰ τοιαῦτα ἐζήτει. ἀλλὰ τότε μὲν ἀτελέστερον διακείμενοι, ταῦτα ἔφασκον ϖ φάσκοντες, καὶ ἐζήτουν ϖ ζητοῦντες· νῦν δ' σοδεμιᾶς συγγνώμης ἄξιος ὁ τούτοις θορυβάμενος, ὁ τοσαῦτα φιλοσοφεῖν μαθών, καὶ σοῦ τὴν μυρίων τοιαῦτα δογμάτων δοξάσαντος, καὶ τὰ σοῦ γεέννης, καὶ τὴν περὶ βασιλείας σαφέστερον διδαχθεὶς λόγον, καὶ ὅτι τὰ κατ' ἀξίαν ἕκαστος ἐκεῖ ἀπολήψεται. Ἰαπ. ιβ. ϛ.

Ἐπαίζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δίκαιος. 11 Ἡ βοήθειά μου σοῦ δὲ τοῦ Θεοῦ τοῦ σώζοντος σοῦ δυθεῖς τῇ καρδίᾳ. Ἄλλος, Ὁ ἐτάζων καρδίων καὶ νεφρῶν ὁ Θεὸς δίκαιος, ὁ ὑπερασπιστής μου. Καὶ ἕτερος, Ὁ Θεὸς δίκαιος. Οἱ ἑβδομήκοντα γ' ὕστερον εἶπον, Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. δικαία ἡ βοήθειά μου σοῦ δὲ τοῦ Θεοῦ. Εἶπεν ὅτι κενεῖ τὸν οἰκουμένην· λέγε λοιπὸν σὲ πῶς κενεῖ. Εἶπεν ὅτι ὑ μὴ τύρων δέομαι, σοῦκ ἐλέγχων, οὐκ ἀποδείξεως, ὑ γραμματείων, οὐκ ἄλλου τῶν τοιούτων ὑδενός. αὐτὸς γὰρ ὅστις

ὁ τὰ ἀπόρρητα ὑπισχνούμενος. μὴ τοίνυν λεγέτω τις τῶν ἀνοήτων, καὶ πῶς κελεύει τὸν κόσμον τοσοῦτον ὄντα; ὁ γὰρ ποιήσας οὐκ ὄντα, καὶ γλυόμενον κελεύει. νεφέσεις ἢ σκιάδια, τὰ ἀπόρρητα τὰ ξενοίας λέγει, τὰ ἀνόητα, τὰ βαθύτατα, ἀπὸ τῆς θέσεως τῶν μυείων. τί ἐστιν ἐπαίζων; ὥσπερ ἄλλος εἶπε, δοκιμάζων. εἰ ἢ καὶ ἀνθρώπινα αἱ λέξεις, ἀλλὰ θεοπρεπῆ τὰ νοήματα. ὥσπερ γὰρ ὁ Παῦλος λέγων, Ὁ ἢ ἑρμηνῶν τὰς καρδίας, τὸ ἑρμηνᾶν, ἀντὶ τοῦ σαφῶς εἰδέναι, τίθησιν· ὅταν καὶ ᾖ, τὸ ἐπαίζων, ἀντὶ τοῦ ἀκριβῶς ὑπίσασθαι. καὶ τὸ βασανίσαι ἢ τὸ γυμνάσαι ἐστίν, ὅπερ ἀκριβοῦς ἐστιν ὑπισχνεῖσθαι· ὡς καὶ Παῦλός φησι, Πάντα ἢ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Εβρ. δ. 17. Ρωμ. κ. ιγ. γυμνᾶ

Δικαία ἡ βοήθειά μου. Ἄλλος, Δίκαιος ὁ ἀσφαλιστής μου. τί ἐστι, δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ; δικαίως ἂν ἠξιοῦτο μοί, φησι, παρὰ τοῦ Θεοῦ. οὐδὲν γὰρ ἀδίκων αὐτῶν. ὥστε εἰ μέλλοιμεν ἀπολαύειν συμμαχίας τῆς ἄνωθεν, τοιαύτα αἰτεῖν δεῖ, ἃ καὶ τὸν τοῦ δικαίου λόγον ἔχει· ἵνα τῇ φύσει τῆς αἰτήσεως τὴν ῥοπὴν ὑπισχνούμεθα τοῦ σώζοντος. τοῦτο εὐθεῖς τῇ καρδίᾳ. τοῦτο ἔργον αὐτοῦ, τοῦτο ἔθος αὐτοῦ. ὅπου τοίνυν καὶ ἐγὼ οὐκ ἦρξα χειρῶν ἀδίκων, οὐδὲ ἀμυάλως ὑπέμεινα, διὰ τοῦτο δικαία μοι ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ. ταῦτα οὖν εἰδότες, μηδὲν τοιοῦτον αἰτῶμεν, ὃ κωλύει τὴν δόσιν. ὅταν γὰρ κρίμα αἰτῆς, οὐκ ἔστι δικαία ἡ βοήθειά σου. σκαιπία γάρ ἐστι τῷ νόμῳ τοῦ πρέποντος. κἂν πλοῦτον αἰτῇς, κἂν κάλλος αἰτῇς, κἂν ὁτιοῦν τοιοῦτον αἰτῇς βιωτικόν, αἰτεῖς παρρέον, καὶ σκαιὸν τῇ τῆς ψυχῆς φιλοσοφίᾳ. αἰτῶμεν τοίνυν ὥστε καὶ ὑπιτυχεῖν.

12 Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἄλλος φησίν, Ἐμβεμῴμενος καὶ πᾶσαν ἡμέραν. Ὁ δὲ Ἑβραῖος, Κατὰ πᾶσαν ζωήν. Καὶ ἄλλος, Ἀπειλούμενος, ἐμβεμῴμενος, ἢ χολάζων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ δίκαιος, πάντως βούλήσεται τοὺς ἀδίκους κολάσαι· εἰ ἰσχυρός, πάντως δυνήσεται. καὶ πῶς, φησι, τὰ τῆς φιλανθρωπίας, εἰ καὶ τὸ δίκαιον κελεύει; σκόπει μή, ἐπειδὴ μὴ καὶ πόδας ἐπάγειν τῇ δίκῃ, μᾶλλον δὲ παρὰ τοῦτο, ἐν τῷ πάντα ἀφεῖναι δι' ὀλιγωρίαν ξυζῆν παλιγγενεσίας δοῦτερον δὲ ἐν ᾧ καὶ μετανοοῦμεν δοκῶμεν. διὰ γὰρ ἀνοησίαν οὐ καθ' ἑκάστην ἁμαρτανόμενα ἡμέραν, τότε ἄφεσιν αὐτοῦ τὸ ἄφατον μέγεθος τῆς φιλανθρωπίας· ὃ δὴ καὶ ἐμφαίνων ἐπήγαγε, λέγων· Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ἀπορῇς, ἐπεὶ καὶ δύναται καὶ βούλεται, τίνος ἕνεκεν οὐ χολάσει; μεμάθηκε, φησίν, ὅτι μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἵνα γὰρ μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι δὲ ἀθένειαν οὐκ ἐπεξέρχεται, δείκνυσι τῆς μηνύσεως τὸν αἰτίαν· ὅτι μεγάλα καὶ ἡ μακροθυμία μέτρα ἔχει. ὅπου γὰρ ὀργὴ τοῦτο μακροθυμεῖ, εἰς μετάνοιάν σε ἄγων, ὅταν ἀπὸ τοῦ φαρμάκου τούτου μηδὲν κερδήσῃς, καὶ ἐπεξέρχεται. ἀεὶ καθ' ἑκάστην ἡμέραν τὸ κολάζεσθαι ἐσμὲν ἄξιοι. ὅτε γὰρ, ἂν μὴ ὅτε ἴωμεν, ὡς μέγα τι πέφευγε, τὸ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· ἀλλ' ὡς τῶν γραμμάτων μὲν τοῦτο ἀπαιτουμένων, τῆς δὲ τοῦ Θεοῦ φιλανθρωπίας ἐπεχούσης τὴν ἀξίαν κόλασιν, τοῦτό φησιν. Εἶδες καὶ σκιαῦδα πῶς ὁ ἀνεπαίδευτος τοῦ Θεοῦ δείκνυσι, καὶ τὴν κόλασιν ὀργὴν λέγει; οὐδεὶς γὰρ ὀργὴν ἐπάγει ἄλλῳ· ἀλλὰ τὴν μὲν ὀργὴν αὐτὸς ἔχει, τὴν δὲ κόλασιν ἐπάγει ἑτέρῳ. οὐδὲν οὖν ἄλλο, ἢ τὴν κόλασιν δηλοῖ, τῷ εἰπεῖν, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. καὶ πῶς, φησι, καθ' ἑκάστην ἡμέραν; εἰσελθέτω ἕκαστος εἰς τὸ ἑαυτοῦ συνειδός, καὶ τότε ὄψεται. ἵνα γὰρ παρῶ τὰ ἀπόρρητα ἑκάστου ἁμαρτήματα, ταῦτα δὴ τὰ κοινὰ τίς διαφεύξεται; ποῖα δὴ ταῦτα; ποία ἐστὶν ἡμέρα, ἣ μὴ ῥᾳθύμως διάγομεν καὶ μὴ πολλῆς ὀλιγωρίας; ὅτι ἢ τοῦτο ὀργῆς ἄξιον, δῆλον ἐντεῦθεν. Εἰπέ γάρ μοι· Εἰ δικαιοῦ χασμώμενος καθεσθείης, καὶ διελέγξῃς, οὐκ ἂν σε θύραθεν δίκην ἀπήτησε, καὶ εἰς τὴν ἀσφάλειάν μετ-

τέχνου

τέχνοσε; ναί, φησιν· αὐθεφπος γὰρ ὢν. καὶ τί τοῦτο; ἀὐθεφπος μὲν γὰρ ὑβρισθεὶς, οὐκ ἀὐθεφπος ἐίη δίκαιος ἀγωνακτεῖν (πῶς γὰρ ὃ ὁμοτίμως ὑβρίσθη) ὁ δὲ Θεὸς ὑβριζόμενος, δικαίως ἂν ἐπαγάγοι τὴν δίκην. μείζων γὰρ αὕτη ἡ ἁμαρτία τῆς εἰς ἀὐθεφπον. καὶ ὁ μὲν ἀὐθεφπος τὸ ἑαυτῶ ζητῶν τοῦτο ποιεῖ· ὁ δὲ Θεὸς τὸ σὸν. ὥστε κὰν τοῦτο, ἄξιον τοῦτο μᾶλλον ἀγανακτήσεως. ὃ γὰρ ἐστιν ἴσον καταφρονεῖν τῶν τὰ ἑαυτῶν ζητούντων, καὶ τοῦ τὰ σά. τοῦτο γὰρ μείζονος ὀργῆς ἄξιον, ὅταν μηδὲ αἰτεῖν μέλλων τὰ σοὶ συμφέροντα, νήφῃς. τίς δέ ἐστιν, ὃς οὐκ ὑβρισε τὴν ἀδελφὴν εἰκῆ; μὴ γάρ μοι εἴπῃς, ὅτι οἰκέτιν ὕβρισεν. ἐν γὰρ Χριστῷ, Οὐκ ἄρσεν, ὃ θῆλυ, ὃ δοῦλος, οὐκ ἐλεύθερός ἐστι. τίς ὃς ὃ κατηγόρησεν, οὐδὲ ἐμίσησατο; ὃς οὐκ εἶδεν ἀχαλάστοις ὀφθαλμοῖς γυναῖκα; ὃς οὐκ ἐβάσκηνεν; ὃς οὐκ ἐνεοδόξησεν; ὃς οὐκ ἐφθέγξατο ῥῆμα ἀργόν; πρώτα δὲ ταῦτα ἐκτὸς κόλασιν κείται. καὶ εἰ μὴ πᾶσι τὰ βιωτικὰ μὴ ὄντες ἀσκληροί, μηδὲ ἐν τοῖς πνευματικοῖς ἥμεν, συγγνώμης ἂν ἦμεν ἄξιοι· νῦν δὲ καὶ ταύτης ἀπεστερήμεθα τῆς ἀπολογίας. καὶ γὰρ ἐν ἐκείνοις μὲν ἐμπεσόντες ἐσμέν, ἐν τούτοις δὲ ἀναπεπταμένοις. ὥστε δὲ μὴ ἀκούοντας, ὅτι μακροθυμοῦμεν, ῥᾳθυμοτέρους ἡμέας ἡγεῖσθαι, ἐπήγαγε· Γλυκ. γ. πα.

13 Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ σιλεώσει. Ἕτερος δέ φησι, Τὴν μάχαιραν αὐτοῦ ἀκονήσει. Τὸ ἑξῆς αὐτοῦ ἐκτείνει, καὶ ἡτοίμασεν αὐτό. Ἄλλος φησὶν, Ἐκλενεῖ. 14 Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἠργάσατο. Ἄλλος φησὶν, Εἰς τὸ καίειν. τί ἐν τούτοις ἐρεῖ τις Ⓐ ἀὐθεφπόμορφον Ⓦ Θεὸν λέγοντες, ἐκ τοῦ λέγεσθαι χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς ἔχειν; ἆρα ἕξα ἀὐτῶ, καὶ βέλη, καὶ ἀκόνη, καὶ μάχαιρα, καὶ φαρέτρα; ἐμοὶ μὲν ἄλλος φησὶν, Ἐν τῇ σκιᾷ τῶν πτερύγων σου, ταραχθήσονται ἀπὸ σοῦ ὄρη. καὶ αὖτος ὕστος, Ὁ ἐμβλέπων τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. εἰ δὲ ὁρῶν μόνον τὴν γῆν καὶ λίθων τάξει φύσιν, πολλῷ μᾶλλον ἐπ' ἀὐθεφπων τοῦτο δυνήσεται. τίνος οὖν ἕνεκεν ἀπὸ τοῦ μόνον ἰδεῖν, καταστρέψαι δυνάμενος τὴν οἰκουμένην, μᾶλλον δὲ ἀπὸ τοῦ ἐθελῆσαι μόνον (ὁ γὰρ θελήματι μόνον ποιήσας αὐτὴν, δῆλον ὅτι καὶ θελήματι μόνῳ ἀνελεῖν δυνατὸν) λέγει ῥομφαίαν ἔχειν καὶ τόξον; Εἰ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, Καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ὡς ἀκρίδες· καὶ πρώτα ταῦτα ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ λογισθήσεται· Καὶ ὁ ἄγγελος δὲ αὐτοῦ ὀξέλθων, ἐν βραχείᾳ καιρῷ ῥοπῇ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλε (τί λέγω ἄγγελος;) μιᾷ καὶ κάμπαι δὲ σκώληκες ὅ τῶν Αἰγυπτίων στρατόπεδον ἀπώλεσαν· πῶ τόξα αὐτοῦ χρεία; ποῦ δὲ μαχαίρας; τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται; ἀλλὰ τὴν τῶν ἀκουόντων παχύτητα· ἐπὶ ὥστε τοῖς ὀνόμασι τοῖς ξιφοειδέσι τῶν ὅπλων κατασεῖσαι αὐτῶν τὴν ἀμαθίαν. ὃ γὰρ ἐν τῇ χειρὶ ἡ πυρὴ πρώτων ἡμῶν, Καὶ ὃ κατὰ πρόσωπον φεύγοις αὐὸ ὐδαμῶς τις ἐκστοχήσεται, πῶς ὅπλων δεῖ τούτῳ; ἀλλ' (ὅπερ ἔφθην εἰπών) ἀλλὰ τὴν παχύτητα καὶ τὴν δυναμένην τῶν ἀκουόντων ὕπνον ἀναστεῖλαι. τί δέ ἐστι, καὶ σιλεώσει; ἀκονήσει. ἆρα οὖν καὶ ἀκόνης χρεία; καὶ ἵνα πρὸς τί μάχαιραν; ἐπὶ τίς δὲ ταῦτα νοῶν ἔχων δύνεξε ὕστος σκληρεῖν ὡς εἴρηται; ἀλλ' (ὅπερ ἔφθην εἰπών) τὴν τιμωρίαν ἀλλὰ πρώτων σημαίνει. καὶ ὅτι ταῖ παχύτερα πρόσεισιν, ὥστε καὶ σὺ σφόδρα δύοητος ζωιδεῖν, ὅτι ὃ δεῖ ταῖς λέξεσι πρόσκα θῆναι, ἀλλὰ θεωρεπῆς ἐννοίας ἐκ τούτων λαμβάνειν. ὥστε εἴ τις ἀπορῇ τίνος ἕνεκεν θυμὸς εἴρηται πρὸς Θεοῦ καὶ ὀργή, πολλῷ μᾶλλον τούτων ἕνεκεν ἀπορήσει. Εἰ δὲ ταῦτα ὐχ ὡς εἴρηται ἐκληπτέον, ἀλλὰ θεωρεπῶς, δῆλον ὅτι καὶ τὰ πρὸς θυμοῦ καὶ ὀργῆς· ἢ δὲ παχύτης τῶν λέξεων, ὥστε καθικέσθαι τῆς τῶν ἀκροατῶν παχύτητος. ἀλλά τοι τοῦτο οὐδὲ τοῖς εἰρημένοις ἠρκέσθη, ἀλλ' ἔτι πρόσεισιν ὅτι ὃ ἀὐθεφπινώτερον, Ⓦ φόβον αὔξων. ὃ γὰρ ῥομφαί-

Ψαλμ. ζξθ. α'. Ησ. μ. κβ. χ. ιβ.

Εξοδ. ι. καὶ ιδ.

Ψαλμ. ρμζ. ιθ.

δν αὐτὸν ἔχοντα εἰσάγῃ μόνον, ἀλλὰ ὁπλιζόμενον. ὅπως γὰρ οὐχ ὁμοίως τὶς φοβεῖται ἀκονιτον, ὅτι ἀκονιτός ἐστιν ἡ μάχαιρα, καὶ ὅτι ὁ τόξον μὴ χίεται, ἀπὸ τῶν ἀνθρωπίνων ῥημάτων καὶ τασείει τὴν διάνοιαν τῶν ἀκουόντων, λέγων, ὁ τόξον αὐτοῦ σύντεινε, καὶ ἡτοίμασεν αὐτό· φοβοῦ Ⓦ ἀκούοντα, ὁμοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν ἐνδεικνύμενος. ὃ γὰρ εἶπεν ἀφῆκεν, οὐδὲ ἔβαλεν, ἀλλ' ἐντέτεινε καὶ ἡτοίμασε· τουτέστιν, ἕτοιμός ἐστι τοὺς τὴν ἄφεσιν. ⟨ τί θαυμάζεις, εἰ ἐν τῇ παλαιᾷ οὕτως εἴρηται, ὅπουγε καὶ ἐν τῇ καινῇ Ἰσ-
Ανκ. γ. 8. δαίοις βλασφημούμενος ὁ Ἰωάννης τοιοῦτόν τι λέγει; Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. τί οὖν; δρυτόμον ὁ Θεὸς μιμεῖται ἀξίνην κόπτοντα ξύλα; καὶ ἀξίνη ἐκλη- Ισ. ιξ΄ιιι
Ματθ. γ. ιβ. πτέον ⟨ ξύλα; ἄπαγε· ὥσπερ οὐδὲ ἄχυρα καὶ σῖτον, ὅταν λέγῃ· Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ Ⓦ μὴ σῖτοι συναχθεὶς εἰς τὴν ἀποθήκην, ὁ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. τίς οὖν ἐστιν ἡ ἀξίνη; ἡ ὑμωρία καὶ ἡ κόλασις. τίνα δὲ τὰ δένδρα; ⓘ ἀνθρωποι. τίνα δὲ τὰ ἄχυρα; ⓘ φαῦλοι. τίς ὁ σῖτος; ⓘ χρηστοί. τί τὸ πτύον; ἡ διάκρισις. ὅτω ⟨ ἐνταῦθα ῥομφαία καὶ τόξον καὶ βέλη, ἡ κόλασις καὶ ἡ τιμωρία ἐστίν. εἶτα τὴν μέλλησιν, καὶ τὸ ἀφεστηκέναι μὲ τὴν τιμωρίαν, μὴ πολὺ δὲ ἀφεστηκέναι, ἀλλ' ὅτι φύσεως ἐστί, τὸ τείναι καὶ ἑτοιμάσαι πρὸς ἐσκυάσε. σκύλη δὲ θανάτου, τὰ βέ- 15 Ιε. ν΄
λη φησίν. ὥσπερ σκύλη γεωργίας, τὰ γεωργίαν ποιοῦντα· καὶ ναυτιλίας, τὰ πλεῖν ἡμᾶς ποιοῦντα σκυβάζοντα· καὶ ὑφαντικῆς, τὰ ὑφαίνειν ποιοῦντα· ὅτω ⟨ θανάτου σκύλη, τὰ θάνατον ἐργαζόμενα. εἶτα ἑρμηνεύων τίνα ἐστὶ τὰ σκύλη τοῦ θανάτου, ἐπάγει τὰ βέλη αὐτοῦ, δεικνὺς ὁ πάχος τῆς τιμωρίας, ὅταν βληθῇ. τί δέ ἐστι, τοῖς κεκμηκόσιν; τοῖς τιμωρουμένοις, τοῖς κολαζομένοις. ὁρᾷς ὅτι πανταχοῦ μεταφορικῶς εἴρηται καὶ ἐμ- 20
φατικῶς, καὶ ὥστε δεῖξαι πάντων αὐξηθῆναι Ⓦ φόβον. ὁ γὰρ λέγει τοιοῦτόν ἐστιν. ἡτοίμασε τὰς τιμωρίας τοῖς μέλλουσι τιμωρεῖσθαι. ἀλλ' εἰ μὴ ὅτως εἶπεν, οὐκ ἂν ὅτως ἔπληξε· νῦν δὲ βελῶν καὶ ῥομφαίας, καὶ τόξων, καὶ ἀφέσεως, καὶ τάσεως, καὶ σκυλῶν θανάτου καὶ ἐμπαρησμοῦ μνημονεύσας, τῇ ποικιλίᾳ τῶν ὀνομάτων ἐπέτεινε τὴν ἀγωνίαν. εἶτα πάλιν διαμυθολόγησε Ⓦ φόβον, ἐπήγαγε, τοῖς κεκμηκόσιν, 25
ἵνα γὰρ μὴ νομίσῃ τις τῶν αἰσθητῶν, ὅτι πολλὰς αὐτὸν ἄγει τὴν χεῖρα, καὶ κατὰ πολλὰ ὡπλίαται, ἐπήγαγε, τοῖς κεκμηκόσιν. ὅθεν καὶ ὁ Παῦλος αἰνίττεται πολλαχοῦ ἄρχοντος λέγων·
Ρωμ. γ. δ. Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. εἰ δὲ ὅτι τῶν ἀρχόντων ἡ μάχαιρα τοῦτο ποιεῖ ⟨ φοβεῖ, πολλῷ μᾶλλον ὅτι τοῦ Θεοῦ. καὶ τοῦτο δὲ καὶ τῆς τυχούσης φιλανθρωπίας, ὃ διὰ τῶν ῥημάτων φοβεῖν καὶ ὀξυγλωττῶ τὴν ὑμῶν ἀμέλειαν, ὥστε μὴ ῥᾳθύμως ἐν πείρᾳ τῶν γραμμά- 30
των. διὰ γὰρ τοῦτο ἐντέτεινε, διὰ τοῦτο ἡτοίμασε, διὰ τοῦτο ἐνέθηκε καὶ βέλη, διὰ τοῦτο πρὸς τὴν ὑμῶν ἀμέλειαν βιαιοπαθεῖται, ἵνα μὴ ἔλθῃ πρὸς τὴν ὑμῶν οἰκίαν. καὶ ὀξυγλωττεῖ τὴν λόγον, τὸν μὲν σιλβώσει, τὴν σφοδρότητα ⟨ τὴν ὀξύτητα τῆς ὑμῶν ἐμφαίνων· τὸν δὲ ἐντέτεινε, τὴν ἐγκυρότητα· τὸν δὲ ἡτοίμασε, ὃ πρώτως ἐσήμανον, εἰ μὴ μεταβάλοι- 35
⟨ ὃ δὲ τοῖς κεκμηκόσιν, τοῖς ὑπὸ θυμῶν ἐνδεικνύμενος· ἵνα διὰ πρώτων παιδοθέντες, διναστείλωσι τὴν πονηρίαν. εἰ δὲ θυμῶ ταῦτα καὶ ὀργῆς, οὐκ ἀνθρώποις ἔμελλεν ὅτι ἀνθρώποις, προεῖπεν. ὁ γὰρ θυμὸς οὐκ ἀνέχεται τοῦτο· ἀλλὰ καὶ τυράννου ποιεῖ, καὶ μάλιστα ὅταν ἐν αὐτῇ λοιπὸν ᾖ τῇ ἀκμῇ, καὶ τῇ κολάσει, καὶ τῇ κατασκευῇ τῆς ὑμωρίας. ⓘ γοῦν πολέμιοι καὶ βουλόμενοι τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐ μόνον οὐ λέγουσιν, ἀλλὰ καὶ κρυπτόμενοι ὑπισχνοῦνται, ὥστε μὴ μαθόντας τοὺς κολάζεσθαι μέλλοντας, φυλάξασθαι. ἀλλ' οὐχ 40
ὁ Θεὸς οὕτως, ἀλλὰ τυράννου ἄπαν· καὶ προλέγει, καὶ ἀναβάλλεται, καὶ φοβεῖ διὰ ῥημάτων, ⟨ πάντα ποιῇ, ὥστε μὴ ἐπαγαγεῖν ἄκων ἀπειλάς. τοῦτο καὶ ὅτι Νινευίτῶν ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖ τόξον ἐντέτεινε, ⟨ τὴν ῥομφαίαν ὅτι λέλυσε, καὶ τὰ βέλη ἡτοίμασε, ⟨ τὴν

τὴν

τὴν πληγὴν σὺν ἐπάγαγε. ἢ ὑ δοκεῖ σοι τὰ ῥήματα τῦ προφήτυ τόξον εἶ) καὶ βέλος
καὶ ῥομφαίαν ἠκονημένον, ὅταν λέγῃ· Ἐπὶ τῆς ἡμέρας, καὶ Νινευὴ καταστραφήσεται; Ιων.γ.δ.
ἀλλ' ὑκ ἀφῆκε τὸ βέλος. σὺ δὲ γε ἀφῆκε τῦτο νῦν ἐπίσω ἵνα ἀφεθῇ, ἀλλ' ἵνα σκαπτεθῇ.
Ⓓ μὴ γὰρ γράπτωσιν ἀφῆκε τῦτο ὁπλίζονται, ἵνα κολάσωσιν· ὁ γὰ Θεὸς ὑχ ὕτως· ἀλλ' ἵνα
τῶ φόβῳ σωφρονεστέρους ποιήσας, ἀνάσχῃ τῆς τιμωρίας τὴν χεῖρα. μὴ τοίνυν δει-
ρυδώμεθα. φιλανθρωπίας γὰ πολλῆς ὁ τῶν ῥημάτων φόβος. καὶ ὅσῳ ἂν ἀφορητότε-
ρα λέγῃ, τοσούτῳ ἀπὸ πολλῆς ἡμερότητος ταῦτα φθέγγεται. ἐπεὶ καὶ πατέρες, ὅταν μὴ
βάλωνται κολάζειν τοὺς παῖδας, ἀφ' ὧν ῥημάτων τὴν ὀργὴν ἀφιᾶσιν. ὕτω καὶ αὐτὸς,
ἐπεὶ μὴ βάλεται κολάζειν, ἀναγκαῖ ἀφ' ὧν ῥημάτων Ⓜ φόβον. λέγει καὶ γέενναν ἑτοιμά-
σαι, ἵνα μὴ βάλῃ εἰς γέενναν. ἀφ' ὧν τε τῦτο καὶ πολλοὶ λόγοι * τιμωρίας τοῖς θυαγγελί-
οις ἐναπόκεινται, καὶ πλείους, ἢ Ⓓ περὶ βασιλείας. ὅπερ γὰ ὅτι τῶν δυναθητοτέρων ὑκ
ὕτως ἢ τῶν ἀγαθῶν ἐπαγγελία, ὡς ὁ τῶν λυπηρῶν φόβος ἐφέλκεται πρὸς ἀρετὴν, καὶ ἀ-
πάγει τῆς κακίας, ἀφ' ἧ τῦτο τύτοις πλέον ἐμφιλοχωρεῖ, καὶ ζωηρῶς αὐτὰ πλήσσει. μὴ
τοίνυν ἀλγῶμεν ἀκούοντες φορτικῶν ῥημάτων (πολὺ γὰ κέρδος ἔχουσιν) ἀλλ' ἐννοοῦν-
τες αὐτὰ καὶ τὴν μακροθυμίαν καὶ τὴν δικαιοκρισίαν, μήτε ἀπογινώσκωμεν τῆς σωτηρίας
(μακρόθυμος γὰρ ὁ θεός) μήτε ῥᾳθυμῶμεν (δίκαιος γάρ ὁ θεός) ἐνταῦθα μὲ πολλὴν τὴν
μακροθυμίαν ἐνδεικνύμενος, ἐκεῖ δὲ σὺν μὴ κερδάναντας ἐντεῦθεν τῇ πείρᾳ τῆς κολά-
σεως προσλιδοῦς. ὅπερ ἵνα μὴ γένηται, ἀποκρυσώμεθα ἐντεῦθεν ἤδη τὴν τιμωρίαν.

15 Ἰδοὺ ὠδίνησεν ἀδικίαν. ὁ γὰ Ἑβραῖος, ἀντὶ τῦ ὠδίνησεν, ἐκύησε.

Σπείραντες πόνον· Ἄλλος, Καὶ κυήσας.

Καὶ ἔτεκεν ἀνομίαν· Ἄλλος, Ψευδος. 16 Λάκκυν ὤρυξε, καὶ
ἐξέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἄλλος, Εἰς
ἀμαθοφορὰν ἑαυτῷ εἰργάσατο. Εἶπεν ὅτι προεκλύσαι ποιεῖς τιμωρίαν ὁ Θεός· εἶπεν ἵνα
ἐπαφίπι τὰς κολάσεις. ἐσωφρόνισε τύτῳ Ⓜ ἀκρατεῖ, τῷ ἄνωθεν ὀργὴν ὑπακρε-
μάσας. παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν, δείκνις ὅτι ἐκ τῆς τιμω- Ρω.α.κζ.
ρίας αὐτὴ ἡ κακία κόλασις. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· Καὶ τὴν ἀν-
θυμιαθίαν, ἣν ἔδει, τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· καὶ ἀῦτι εἰς μέσον σὺν τὰ
ἕλκατα παιδόντας ἐκ τῆς κακίας. ἐπειδὴ γὰ εἰώθασιν Ⓓ πολλοὶ τῶν παχυτέρων
τότε μάλιστα σωφρονίζεσθαι, ὅταν σὺν πεπονθότας ἴδωσι· διὰ τῦτο καὶ αὐ σὺν εἰς μέ-
σον ἄγει. ὕτω καὶ ὁ Χριστὸς ποιῶ. πολλὰ περὶ γεέννης διαλεχθείς, καὶ σὺν ἐκεῖ βαλλομέ-
νους εἰς μέσον ἄγει· οἷον, Ⓜ πλούσιον Ⓜ ὅτι Λαζάρου· τὰς πέντε· τὸν τὸ τάλαντον Λκκ.15.18.
τὸ ἓν καπακρύψαντα· καὶ ἐν ᾧ παρόντι βίῳ, τοὺς ἐν τῷ πύργῳ καταχωθέντας, καὶ ὧν ὃ Ματθ.κε.α.
αἷμα Πιλάτος ἀνέμιξε ταῖς θυσίαις. ὕτω καὶ Πέτρος πολλὰ περὶ γεέννης διαλεχθείς, τό- κδ.
τε μάλιστα αὐτοὺς ἔπληξεν, ὅτε τοὺς κολασθέντας εἰς μέσον ἤγαγε, καὶ περὶ τῶν ὀφθαλ- Λκκ.ιγ.α.δ.
μῶν τὴν ἰμωρίαν ἔδειξεν. ὅπερ οὖν καὶ Παῦλος ἐποίει ὅτι τὸ μάγυ· καὶ ἑτέρῳ δὲ τρό- Ε.Πετρ.δ.γ.δ.
πῳ καταισχύνει τὸ ζιοῦτον, ὅτε τῶν ἐν τῇ ἐρήμῳ μεμψηται, λέγων ὕτως· Οὐ θέλω ὑ- καὶ Πραξ.ιγ.ιδ.
μᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι Ⓓ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάν- α.Κορ.ι.α.
τες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πόμα πνευματικὸν
ἔπιον. ἀλλ' ἐν τοῖς πλείοσιν αὐτῶν ὑκ ηὐδόκησεν ὁ Θεός, ἀλλ' ἀπώλοντο καὶ κατέπεσον.
ὅπερ γὰ περὶ μελλόντων διελέγετο, γεέννης λέγω, καὶ κολάσεως, καὶ ἰμωρίας, ἀπὸ τῶν
παρελθόντων καὶ τὴν περὶ ἐκείνων ἀπόδειξιν φέρει, αὐτοὺς τοὺς κολασθέντας εἰς μέσον
ἄγων, τοὺς ἀπὸ τῶν ὄφεων, τοὺς ἀπὸ τῆς ὀλοθρευτοῦ. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Δαβὶδ, εἴ-
τε περὶ τοῦ Ἀχιτόφελ, εἴτε περὶ τοῦ Ἀβεσαλὼμ λέγων. πινὲς μὲ οὖν περὶ τῦ Ἀχι-

Β.Βασ.ιβ.ελγ τὸφελ φασὶν εἰρῆσθαι. ὁ γὰρ ἰῶ τῷ αὐτῷ λέγειν, φείσασθέ μου τῶ παιδαρίου Ἀβεσσαλώμ· ἢ μὴ ὃ πάθος, Τίς δώσει μοι θάνατον ἀντὶ σοῦ; καὶ ζῶντα νεῶ λέγειν. ἀλλ' ἐκείνα μὲν ἀπὸ τῆς φύσεως κατεχόμενος ἔλεγε, νεῶ δὲ ἀπὸ τοῦ πάθους εἴκοσιν ἡμέρας ὀλοφυρόμενος. πλὴν εἴτε περὶ τοῦ Ἀβεσσαλώμ, εἴτε περὶ τοῦ Ἀχιτόφελ εἴρηται, σκεπτέον καὶ εἰρηκότα. ὁ γὰρ πολλές μοι δοκεῖ τῶν προσώπων ὁ λόγος. τί οὖν ἀντεῦθεν μανθάνομεν; δείκνυσιν, ὅτι ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ καθάπερ αἱ ὠδίνουσαι γυναῖκες ἀπὸ τῶν ὠδίνων ἀπαλλάττονται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος, πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς ἀπαλλάττεται καὶ ὀδυνᾶται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς δριμύτητος. διὰ καὶ ὁ πικρὸν τῆς ὀδυνῆς προσαψάμενος βυθόμενος, ὠδίνα ὁ προφήτης καλέσειν. ὅπου γὰρ ἐάν βάλητε ἡ γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδυνῶν Ἐξοδ.ιε.δ. ἐνδείξασθαι, ὡς ὀνόματι τῆς ὠδῖνος αὐτοὺς ἐπονομάζει. διὰ καὶ ἀλλαχοῦ φησιν, Ὠδῖνες ἔλαβόν με καὶ οἰκτιρμοὶ ὡς Φυλιστιείμ· τουτέστι, φόβος καὶ δεῖμος, πόνος, ὀδυνη. καὶ πάλιν· ια.Θεσ.ε.γ. Ὅταν γὰρ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αὐτοῖς ἀφνίδιος ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐνταῦθα δύο αἰνίττεται, καὶ τὸ ἀφόρητον, καὶ τὸ ἀπροσδόκητον. καὶ ὁ Ἐζεκίας, Ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει * τεκεῖν, τὸ ἀφόρητον αὐτοῦ φόβον ἐνδεικνύμενος. ὅτω δὴ καὶ ἐνταῦθα ὁ προφήτης. κἂν γὰρ μυριάκις ποινὴν δῷς ἢ, τὸ κεφάλαιον τοῦ ζημιοῦντος ὁ διαφθείρεται (φυσικὸν γάρ ἐστι, καὶ παρὰ τοῦ Θεοῦ τὴν ἀρχὴν ἐντεῦθεν) κἂν μυρία φιλονεικήσωμεν, ἐφέσηκεν ἐκεῖνο καταβοᾶν, κολάζον, καταδικάζον. καὶ οὐκ ἀδεές ἐστι τὸ ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδυνᾶν ἐπομβρεῖ, γ.Βασ.κα.δ. καὶ βυθιόμενος καὶ κακά, καὶ εἰς ἔργον ἐκφέρων τὴν βυθόν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον; ἀλλ' ὅμως ἐκεῖνος ὑπομνήσας τὸν Ἀμπελῶνος, ἐνόησεν πόσην ὀδύνην ἔσχε. βασιλεὺς γὰρ ὢν καὶ πάντων κρατῶν, καὶ οὐδὲν ἔχων αἰτιλέγηται, ὅμως τοῦ Ναβουθαὶ τὸ ῥῆμα οὐκ ἤνεγκεν, εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συσχεθυμούμενος, πολλὴν ἀχλὺν ὑπὸ τὸ ὄμμα φέρων, τῆς ἀπὸ τοῦ Ναβουθαὶ καταδίκης τὸν ἔλεγχον ὑπὸ τὸ πρόσωπον κρύπτων, καὶ ὁ δυωδυνώμενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγενομένην αὐτῷ ὀδυνῶν. ὅτω γοῦν καὶ ἀπὸ Πρεβ.α.ιη.κ Ματθ.κζ.α. τοῦ γυναικὸς ἐγένετο καταφανὲς. ὁ μὲν τοιοῦτος ὁ προδότης ὁ προδοὺς τοσαύτην ἐξοχείλας πονηρίαν, ὅμως τὴν ὀδυνῶν οὐκ ἤνεγκε τὴν ἀπὸ τῆς κριτηρίου, καὶ βρόχον ἀνῆψε, καὶ ὅτω Ⓦ βίον κατέλυσεν. ὥσπερ οὖν ὁ ἐν πονηρίᾳ τοσαῦτα πάσχει, ὅτως ὁ ἐν ἀρετῇ γαλήνης ἀπολαύει καὶ ἀταραξίας ἀγαθοῖς. σκόπει δὲ ἠδυπάθησέ τις ἵνα ἀμύναθαι, ἢ ἄρξαι χειρῶν ἀδίκων; ὅρα πόσα πάσχει δεινά. πλησθῆναι θυμοῦ, δριμύτητα ὁ ὀργῆς, μυρία κύματα κενῆς λογισμῶν, ὀδυνῶν ἔρχεται μυρίας, φόβος ἔπεισι καὶ ἀγωνία καὶ δεῖμος, τοῦ θυμοῦ πλησθέντος, τὸν φόβον κατασείοντος, πῶς ἐπιτύχῃ, πῶς ἐπεξέλθῃ· καὶ τοὺς μέλλοντας ἀδικεῖσθαι, ἑαυτὸν ἀπόλλυσιν. ὁ δὲ σκληρὸν τῇ ὀργῇ, ἀπρόπτων ἀπήλλαχε τούτων· καὶ μάλα εἰκότως. τοῦτο γὰρ αὐτὸς κύριός ἐστι, καὶ τὸ πρῶ ἀπήρτισεν· σκεύη δὲ οὐκ ἔστι, ἀλλὰ καὶ χαλκοῦ χρεία, καὶ τόπου, καὶ δόλου, καὶ κακουργίας, καὶ ὅπλων, καὶ μηχανημάτων, καὶ προσκρουσμῶν, καὶ κολακείας, καὶ δουλείας, καὶ ὑποκρίσεως. ὁρᾷς πῶς οὐχὶ ἡ ἀρετὴ, δύσκολον δὲ ἡ κακία, πᾶσι τὸ μὲν ἀπαραίτητον, τὸ δὲ θορύβων γέμον; τοιοῦτον γοῦν ὁ προφήτης ἔλεγεν· ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. ἐντεῦθεν δείκνυσιν ὅτι οὐ τῇ φύσιν ἡμῖν ἡ ἀδικία, ἀλλὰ καὶ ἀλλοτρίου ἐστί. διὰ βαρύνει, καὶ ἕως ἂν ἀπαλλαγῶμεν, ὠδῖσι προσβάλλει. ἐπεὶ καὶ ὁ ἔμβρυον ἕως ἂν ἀπορρίζηται τῆς φύσιν, ἔγκειται τῇ φύσει (διὰ τοῦτο καὶ μένει, καὶ πόνον οὐκ ἔχει) μετὰ τὸ τελεσθῆναι, ἐὰν ἔνδον μείνῃ, παρὰ φύσιν ὄντα ἡ ἀπαγωγὴ, ὅθεν καὶ ὠδῖνες. διόπερ ἡ φύσις ἐνοχλουμένη βιάζεται ἐξωσθῆσαθαι, ἅτε ἐργασαμένη τὸ πρῶ

πθῦ καὶ ἀπορρίπτασα, καὶ οὐκ ἔτι δυναμένη φέρειν. ἀλλ' ἐκεῖ μὲν, τοσοῦτον συλλήψεως γέγονε, καὶ τότε ὠδῖνες· ἐνταῦθα δὲ τοσοῦτον ὠδῖνος, καὶ τότε οὐκ ἐλάβε. Τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐκεῖ μὲν, ἐν καιρῷ τῆς τόκου ἡ ὠδίς· * * ὁμοῦ τε γὰρ ἐβουλεύσατό τις ποτε ἐν, καὶ πρὶν ἢ πεῖσαι τὴν Δαναΐδα, πόρρωθεν, τοσαῦτα τὴν ἐγένοιαν. ὅτι μὲν γὰρ τῆς γυναικὸς ὁ καταβληθεὶς ἄπαις ἄσπερμα, αὐτὸ καὶ Δαναΐδα τέλε). ὅτι δὲ τῶν δόλως ῥαστώνων σπέρμα ὅτος κατεβλήθη ὁ λογισμός, οὐ πάλιν αὖθις ἕτερος· καὶ μυρίας καταβολὰς τῶν πονηρῶν τούτων ἀσπερμάτων, καὶ καθ' ἑκάστην ἡμέραν συλλήψεις καὶ ὠδῖνες διαφθείρουσαν τὸν τοῦτα τίκτουσαν διηνοιδῆ. ὃ γὰρ ζιοῦτος ὁ τόκος, οἷος ὅτι τῆς γυναικός. ἀλλ' ὥσπερ ὅτι τῶν ἐλπίδων τὸν μήτραν διαπῶσι, καὶ τὰ πλευρὰ διαπίπτοντα τὰ παιδία τοσοῦτον· οὕτω καὶ ὅτι τῶν δόλων καὶ ὅτι τῆς ἀδικίας. ἀλλὰ κἂν μυρία φιλονεικήσωμεν, ὃ δυνησόμεθα τοσοῦτον τῇ λόγῳ τὸν ἀληθείαν, ἕως ἂν τοσοῦτον ϖ κακοί. διὰ καὶ τίς φησιν· Ὁ δὲ κακὸς μόνος ἀτιμήσει τὰ κακά. τί γὰρ χαλεπώτερον καὶ ἀλγεινότερον τῶ βασκάνοντος, τῶ ὅτι βουλεύοντος, τῶ τῶν ἀλλοτρίων ἐφιεμένου; δημίου πάντος χαλεπώτερον τὰ πάθη τούτων τὸν ψυχὴν καταξαίνει. ὥστε εἰκότως ὠδῖνας αὐτοὺς καλεῖ τοὺς πονηροὺς λογισμούς. ἀλλ' ὥσπερ αἱ γυναῖκες ἀπὸ σωσίας τίκτουσι, κἂν μὴ ὑγιεινὰ τὰ σώματα ᾖ, τοιαῦτα καὶ τὰ ψυχίδια, αἳ δὴ διεφθαρμένα, μιμεῖται τῶν γονέων τὴν φύσιν· οὕτω καὶ ὅτι τῶν λογισμῶν. κἂν μὲν ἀγαθοῖς συνῇσιν, τοιαῦτα ἔσται καὶ τὰ ἐκγονα, ἃ δὴ ποτε ἂν ᾖς, καὶ μὴ τοσοῦτον σχῇς, πολλοὺς ἐκεῖθεν λήψῃ τὸν λύμην. ἀκούσον γοῦν ὁ προφήτης τί φησιν· Ἀπὸ τοῦ φόβου σου ἐν σοὶ ἐλάβομεν, καὶ ὠδίνησαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. ὅτι Ησ. κς. ιζ. ιη.
ἢ τὸ ἐκ τοῦ διαβόλου. Ὡς ἀσπίδων ἐρράγησαν, καὶ ἰσὸν ἀράχνης ὑφάνωσι. Φύγωμεν τοίνυν τὰς Ησ. νθ. ε.
ά. C' Ἄλλος, Τὴν προθεσιν τῆς καρδίας αὐτῶν ἠκροάσατο τὸ οὖς σου. Ἄλλος, Ἑτοιμασεις καρδίας αὐτῶν προσέχειν οὖς σου. 42 Κεῖναι ὀρφανῷ ἐν παπεινῷ, ἵνα μὴ προσθῇ ἐπὶ τὸ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. Ἄλλος, Κεῖναι ὀρφανῷ καὶ πεθλασμένῳ. Ὁρᾷς ὡς προφήτην τὸ πλείονα λόγον ἔσχε τῶν πονηρῶν ἐπιμελείας ποιούμενον; τούτων γὰρ μάλιστα τὸ κακῶς πάσχειν. Ὧν μὲν γὰρ ἀδικουμένων, χρημάτων ἡ ζημία· ὧν δέ, καὶ τὰ ἑκάτερον ὁ κίνδυνος. Τί γὰρ εἰ μὴ μαθάνοντας τὰ ἀρρωστίας ἔνδια εἶσιν; ἐπίπασις τοῦτο μάλιστα αὐτοῦ χρὴ ἐλέγειν· τοῦτο ἀπειλοῖς ἀμαυρούσας. ἐπεὶ τὰ παιδία τὸν μὲν φοβερὸν οὐδένα ποιοῦνται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφιᾶσι τὰς χεῖρας· προσωπεῖα δὲ πλάσαντα δεδίπονται τὸ πρόσωπον ὁρῶντα. τούτοις ἔοικασι καὶ πλεονέκται, πενίαν μὲν δεδοίκοτες, ὅταν οὐκ ἔσῃ φοβερόν, ἀλλὰ καὶ ἀσφαλείας ὑπόθεσις· πλοῦτον δὲ ἄδικον καὶ πλεονεξίαν πρὸ πολλοῦ ποιούμενοι, ὃ πυρός ἐστι πάντος φοβερώτερον. πάντα γὰρ ἡ πλεονεξία κακόν. Οὕτω τοίνυν δεῖ πάντος ἐκκόπτειν τὸν προφήτην, ἀπειλῶν, φόβων, τοῦ Θεοῦ πάντα καλῶν ὅτι τὴν κόλασιν ἀνάξιαν τῆς τοιαύτης ἀνδρήσιας. δεῖ δὲ ἐπάγειν λέγων· ἀπολοῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ, πάντως ἔρημοι αὐλῆς ἀπειλῶν, καὶ ἀξιῶν γενέσθαι βοηθοὺς καὶ ἔκδικον τῶν ἀδικουμένων, ὥστε καὶ τούτους ἀναπαῦσαι, καὶ ἐκείνους σωφρονίσθηναι. μηδεὶς τοίνυν διωκέτω χρημάτων πρόνοιαν. πολλὰ ἐντεῦθεν τοῖς μὴ προσέχουσι κακά· ἀπόνοια, ῥᾳθυμία, φθόνος, κενοδοξία, καὶ ἕτερα πολλῷ πλείονα τούτων. Ἀλλ' ἵνα ἀπαλλαγῆτε, τὴν ῥίζαν ἐκκόψατε. μὴ μιμήσησθε γὰρ αὐτῆς, ἃ βλαστάνει καὶ πονηρὰ βλαστήματα. διὰ τοῦτο καὶ ταῦτα εἴρηται· οὐκ ἵνα ἀκούσωμεν μόνον, ἀλλ' ἵνα καὶ διορθώμεθα, καὶ πολλὴν τὴν πρὸς τὸν Χριστὸν ἐν Χριστῷ Ἰησοῦ ἐπιδειξώμεθα· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ό. θ'. ς C' Ψαλμ. ι. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΔΑΒΙΔ. ΑΛΛΟΣ, ΕΠΙΝΙΚΙΟΣ τῷ Δαβίδ. Ἄλλος, Τῷ νικοποιῷ.

ά' έ' ΕΠὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύσατε εἰς τὰ ὄρη ὡς στρουθίον; Ἄλλος, Ἀναστατοῦ εἰς τὰ ὄρη ὡς στρουθίον. Ἄλλος, Μεταπτηνοῦ. 2 Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτεινάν τόξον· ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ καταπατεῖν ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἄλλος, Ὡς ἐν ζόφῳ. Ὅτι ἃ σὺ κατήρτισω, οὗτοι καθεῖλον.

Ἄλλος, Ὅτι οἱ θεσμοὶ κατελύθησαν. Ἄλλος, Ὅτι αἱ διδασκαλίαι συνετρίβησαν. Μεγάλη τῆς ὅτι τὸν Κύριον ἐλπίδος ἡ δυνάμις, φρούριον ἀχείρωτον, τεῖχος ἄμαχον, συμμαχία ἀκαταγώνιστος, λιμὴν εὔδιος, πύργος ἀκαταμάχητος, δυνάμις ἄμαχος καὶ ὃν τὰ ἀπόρων εὐρίσκουσα πόρον. διὰ ταύτης ἄοπλοι τὰ ὡπλισμένων, καὶ γυναῖκες ἀνδρῶν περιεγένοντο, καὶ παῖδες τῶν τὰ πολεμικὰ μεμελετηκότων ἰσχυρότεροι μυρίας τὴν εὐκολίας ἀνεφάνησαν. καὶ τί θαυμαστόν; εἰ πολεμίων ἐκράτησαν, ὅπου καὶ αὐτοῦ τοῦ κόσμου περιεγένοντο; τὰ γὰρ στοιχεῖα τὸν οἰκείου ἀγνοήσαντα φύσιν, πρὸς τὸ χρήσιμον ἐκείνοις μετεβάλλοντο· καὶ τὰ θηρία οὐκ ἔτι θηρία ἦν, οὐδὲ ἡ κάμινος κάμινος. ἡ γὰρ εἰς τὸν Θεὸν ἐλπὶς πάντα μεταῤῥυθμίζει. ὀδόντες τε θηγόμενοι, καὶ δεσμωτή-

Δαυ. γ. κα. ριον

ειον γενὸν, φύσεως ἀγελότης, ⁊ λιμὸς ὁπλίζων τὴν φύσιν, ἀλλ' ὄφελγμα ὠδαμοῦ, ⁊ Δευτ. κγ.
ῥώματα τ̃ σώματος πλησίον ὤν προφήτω· ἀλλ' ἡ εἰς τ̃ Θεὸν ἐλπὶς χαλινοῦ πάντος ἰσχυροτέρα, εἰς ⁊ σώματα ἐμπεσοῦσα, εἰς τὰ πίσω ταῦτα ἀνείλκε. ταῦτα δὴ ⁊ ὅσοι φιλοσοφῶν, ἔλεγε πρὸς σὲ κελεύοντας αὐτῷ φεύγειν ⁊ ἁρπαγὴν εὐειν, ⁊ ἀπὸ τῆς τ̃ ὅπλων ἀσφαλείας τὴν σωτηρίαν ἑαυτῷ ποιεῖσθαι· ὅτι δ̃ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου; τί λέγεις; Ⓦ τῆς οἰκουμένης δεσπότην ἔχω σύμμαχον τὸν πάντα κόσμον ῥᾳδίως ἐργαζόμενον πάντα, ὁπλον στρατηγοῦντα ἔχω ⁊ παντοκράτορα· ⁊ πρὸς τὴν ἀοράτων με πέμπεις, ⁊ ἀπὸ τῆς ἐρημίας μοι βοηθείας τὴν ἀσφάλειαν; μὴ γὰρ μείζων ἡ τῆς ἐρημίας βοήθεια τ̃ πάντα δυναμένου μετ' εὐκολίας; τί με Ⓦ ὡπλισμένον ἰσχυρῶς, καθάπερ γυμνὸν ⁊ ὅπλων ἁρπαγὴν προσκαλεῖς, ⁊ μετανάστην τὴν εἰ κελεύεις; εἶτα Ⓦ μὴ στρατόπεδον ἔχοντα, ⁊ τείχεσι περιφραττόμενον ⁊ ὅπλοις, οὐκ ἂν ἐκέλευσας καταφυτεῖν ὅπου τ̃ ἔρημον, ἀλλὰ καταγέλαστος ἂν ἐφάνης ταῦτα συμβουλεύων· Ⓦ ὃ ἔλεγντα τ̃ τῆς οἰκουμένης δεσπότου μεθ' ἑαυτ̃ ὁδοποιεῖς ⁊ φυγαδεύεις, ⁊ μετανάστην ποιεῖς, ὅπου τὸν πρὸς τὸν ἀμύρτωλὸν πόλεμον; μὴ γὰρ τῶν εἰρηνεύοντων, ⁊ τοῦτο ἕτερον δικαίωμα τ̃ μὴ φεύγειν. ὅταν γὰρ ⁊ ὁ Θεὸς βοηθῇ, ⁊ ἀμύρτωλοὶ Ⓓ πολεμῶσιν, πῶς ἂν τὴν ἐκάστου ὀφλισκάνει αἰσχύνην ὁ συμβουλεύων τῶν ὁρίζων μιμεῖσθαι ὃ φοβοδεές; οὐκ ἐννοεῖς ὃ αὐτὸς πρὸς σὲ παρομοιούμενόν μοι στρατόπεδον, πῶς ἀφίχνης ἐντελέστερον; εἰ γὰρ ὁ τ̃ βασιλέως ἐλθὼν τ̃ ὁπτείαν, ὅπερ δὴ παρεγένηται, ὁπισφαλῶς ζῇ, ⁊ δέδοικε, ⁊ τρέμει· πολλῷ μᾶλλον ὁ τ̃ τῶν ὅλων Θεοῦ. ὅπου γὰρ δὴ ἀφίκηται, πάντας ἔχει πολεμίους, ⁊ αὐτὸν τ̃ κτίσιν. καθάπερ γὰρ σὺν φίλοις αὐτὸν ⁊ συστοιχεῖα ⁊ τὰ σημεῖα δέδοικε, ⁊ πᾶσα ἡ κτίσις αἰδεῖται· ὕπνον τὸν ἐχθρὸν ⁊ πολέμιον, ⁊ τὰ δυσάλωτα πολεμεῖ ⁊ ἀγωνιᾷ. ἀγὰ τοι τοῦτο σὺν μὲ, πρὶν ἢ τὸ ἐδάφους ἅλασαι, διεργάσαντο ὅτε Ⓓ θῆρες· σὺν ⁊ ὃ πῦρ κατανάλωσεν. ἀλλὰ ταῦτα ⁊ φαρέτρης μου ἔχουσι, ⁊ προσκυνασμένα αὐτῆς ἀπόντα. Ἡτοίμασαν γὰρ αὐτὰ, φησιν, εἰς φαρέτρην μου. Ἀλλ' οὐδεμία τούτων ἰσχύς, οὐδὲ συντεῖνον δεδιτόμβα. οὐδὲ γὰρ εἴ τινα ἐκλελυμένον εἶδον τόξον ἔχοντα, ἔδεισα μὴν. τί γὰρ ὄφελος ὅπλων, ἰσχύος οὐκ οὔσης; ⁊ τοίνυν οὐδὲ συντεῖνα, τῆς παρὰ Θεοῦ εὐνοίας ἀπούσης. ἀλλὰ δόλους ῥάπτουσι, ⁊ οὐκ ἐξ εὐθείας προσέρχονται. ἀφ' ὅτου μάλιστα αὐτῶν κατεγέλασ, ὅτι ἐν σχοτομήνῃ βάλλουσιν. οὐδὲν γὰρ ἀδυνατώτερον ἀνδρὸς ὑπουλεύοντος. ⁊ δεῖται τοῖς ἑτέρων ὅπλοις ἁλῶναι, ἀλλ' ἐκ τῆς οἰκείας πίπτει χειρὸς, ⁊ τῷ ἑαυτ̃ προσιτέπεται δόλῳ. πῶ οὖν γνώσετ' ἂν ἀδυνατώτερον, ὅταν ἐκ τῶν οἰκείων μηχανημάτων αἱρῆται; μὴ γὰρ τοῦτον ὅτι ⁊ ἕτερον εἰπεῖν· ὅτι ⁊ κ ἁμάρτωλοὶ μόνον σὺν ἐκ Θεοῦ βοηθουμένους ⁊ μὴ δόλῳ πολεμοῦσιν· ἀλλ' ὅτι κ ⁊ πρὸς τοὺς ἀνυπούδητους, ⁊ οὐδὲν αὐτοὺς ἠδικηκότας. ὁ χ ὡς ἔτυχε γὰρ ⁊ τ̃ αὐτοὺς ἀδυνατεῖς ἐργάζεται. καθάπερ γὰρ Ⓓ πρὸς κέντρα λακτίζοντες, σκῶμα μὲ οὐδὲν ἔλαβαν, ταῖς γὰρ ἑαυτῶν πόδας ἤμαξαν· ὕπνον δὴ ⁊ ὕπνοι. μὴ γὰρ τούτων, ⁊ ἑτέρα τις αἰτία καταλύσασα αὐτ̃ τὴν ἰσχὺν τ̃ πολέμου ὅτι. ποία δὴ αὕτη;

3 Ὅτι ἃ σὺ κατηρτίσω, φησὶ, καθεῖλον.

Οὐ γὰρ λέγει, ὅτι ἔστι. σοὶ πολεμοῦσι ⁊ μάχονται, τ̃ νόμον σου ⁊ τὰ προστάγματά σου καταλυομένων. ⁊ γὰρ τὰ προστάγματα καθελὼν ὑπτιάζουσι, ⁊ ταῦτα κατηρτισμένα. ἢ τὸ φησιν, ἢ ὅτι ⁊ παρέβαται τὸν νόμον εἰσί. ⁊ αὕτη δὲ μικρὰ ἀδυνείας κατόρθωσις, ὃ τὰ μὴ φυλάξαντας, ὅπως εἰς πόλεμον ἐναι. ἀφ' ὧν γὰρ τοῦτο καὶ εὐθέως πολεμοῦσι, καὶ δόλοις ῥάπτουσι, ὅτι τ̃ σῶν οὐκ ἀκούουσι προσταγμάτων. δικαιοσύμβους τοίνυν τῆς ἀδυνείας τ̃ πολεμίων, οὐκ ἀπὸ τούτων, ἀφ' ὧν ἕτεροι, δὴ ἀφ' ὧν

αὐτῷ πρέπον ἰδεῖν (ὁ γὰρ εἶπε, χρήματα οὐκ ἔχουσιν, οὐδὲ φρούρια, οὐδὲ συμμάχους, οὐδὲ πόλεις, ὧν ὅτι πολέμων εἰσὶν ἄπειροι, δηλα πάντα τοῦτα πεδάσφαλεῖ καὶ δίκαιοι ὄντα, καὶ ἑαυτῶν ὅτι πεδάνομοί εἰσιν, ὅτι πολεμοῦσι τοῖς οὐδὲν ἠδικηκόσιν, ὅτι τὰ τοῦ Θεοῦ καθαιροῦσι) λέγει λοιπὸν καὶ τὴν τῶν δικαίων πεδαταξιν, καὶ ντεῦθεν δείκνυσι τὸ ἐκείνων εὐχείρωτον. ὅτω καὶ ἡμεῖς τὸν ἰσχυρὸν καὶ τὸν ἀδεῆ δοκιμάζωμεν· δηλα μὴ ἀφ' ὧν Ⓦ καταγέλασοι τῶν δυθεόντων φοβοῦνται, ἐκ τούτων μᾶλλον φοβώμεθα. Τί γὰρ φασι; δεινός ἐστι, πονηρός ἐστι, χρημάτων ὄγκον πεπερίβληται καὶ δυναστείαν. δεῖ οὖν ὅτο μάλιστα αὐτὸ καταγέλαστον. Ταῦτα γὰρ εἴδη ἀδενείας ἐστίν. δηλ οἶδεν ὑπερβαλεύειν, φησί· πάλιν ἕτερον εἶδός μοι λέγεις ἀδενείας. Τί οὖν ὅτι πολλοὶ πεγένοντο τοιοῦτοι ὄντες; ὅπῃ σὺ καλῶς πιστεύειν οὐκ οἶδας· ὅπῃ καὶ σὺ ὑπὸ τῶν αὐτῶν παγκρατιάζεις, ἀφ' ὧν ἐκεῖνοι γέγονται ἀδενέστεροι, πεδὲ δόξης καὶ δυναστείας. φθόγε τὸ ἀγῶνος τοῦτο ὑποθέσει, ἐκ ἑτέρωθεν βάλλε σὸν ὑπόνοιαν, ὑπεικεία Ⓦ ἀλαζόνα, πενία Ⓦ πλεονέκτην, ἐγκρατεία Ⓦ ἀκόλαστον, φιλοφροσύνῃ Ⓦ φθονερόν· καὶ ὕτως αὐτῶν πεκπεσῇ ῥᾳδίως. ἀλλ', ὅπερ ἔφθην εἰπών, διηνεκάμβυος τοῦ ἀδένειαν τῶν ἀντιδίκων, ὅρα πῶς καὶ τὸ δίκαιον λέγει τοῦ πανοπλίαν. ἐπάγει γάρ·

Ὁ ὢν δίκαιος τί ἐποίησε; Τουτέστιν· ἐκείνων ὅτω πεδαταπονούντων, ζητεῖς πόθεν ὡπλίσατο ὁ δίκαιος; ἄκουε· **4** Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. Εἶδες πῶς Χριστόμως τοῦ συμμαχίαν αὐτῷ δικτήσατο; τί ἐποίησεν ἐρωτᾷς; ὅτι Ⓦ Θεὸν κατέφυγε Ⓦ ἐν τῷ οὐρανῷ, Ⓦ πάντα τοῦ πτίστα. οὐ τόξα ἔτεινεν, οὐδὲ φαρέτραν ἡτοίμαζε, καθάπερ ἐκεῖνος, οὐδὲ ἐν σκοτομιᾷ πτερεπάξατο· ἀλλὰ πάντα ταῦτα ἀφεὶς, τοῦ Εἰς Ⓦ Θεὸν ἐλπίδα πᾶσιν ἐπετείχισε, Ⓦ οὐδενὸς τούτων δεόμενον, οὐ χαρῶν, οὐ τόπων, οὐκ ὅπλων, οὐ χρημάτων, ἀλλὰ νεύματι πάντα δύνατα. Εἶδες συμμαχίαν ἀμαχέν τε, καὶ βύκολον, καὶ ῥᾳδίαν;

**5** Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. **6** Κύριος ἐξετάζει Ⓦ δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν τὰ ἀδικίαν, μισεῖ τοῦ ἑαυτῷ ψυχήν. Ἄλλος, Τὰ βλέφαρα αὐτοῦ δοκιμάζει.

ἀ
ἀ. C'

Ἄλλος, Κύριος δίκαιος ἐξετασής. Ἄλλος, Δίκαιον δοκιμάζει καὶ ἀσεβῆ, καὶ ἀγαπῶντα ἀδικα ἐμίσησεν ἡ ψυχὴ αὐτοῦ. Ἄλλος, Ὁ ἀγαπῶν ἀδικίαν, μισεῖ τοῦ ἑαυτῷ ψυχήν. Εἶδες σύμμαχον πρεσκευασμένον, βοηθὸν ὑπερεπισμένον, πάντα χρὴ πτίσαι, πάντα ὁρᾶσθαι, πάντα βλέποντα, τοῦτο ἔργον ἔχοντα μάλιστα, καὶ μηδεὶς ὁ πεδαναλῶσῃ, πεφυσῷ, κηδεσθαι, κωλύειν ἀδικοῦντας, βοηθεῖν ἀδικουμένοις, τοῖς μὲν ἀποδιδόναι τὰς ἀμοιβὰς τῶν κατορθωμάτων, τοῖς δὲ πιθέναι τὰς τιμωρίας τῶν ἁμαρτημάτων; οὐδὲν οὕτω ἀγαθόν. Ⓦ γὰρ ὀφθαλμοὶ αὐτοῦ ὑπιβλέπουσι τοῦ οἰκουμένου. οὐκ ὑπίσατο δὲ μόνον, ἀλλὰ Ⓒ βούλεται αὐτὰ διορθοῦν. διὸ καὶ ἕτερος τοῦτο αὖθις δηλῶν εἶπε, δίκαιος. Εἰ γὰρ δίκαιος, οὐκ ἀνέξεται ταῦτα ἁπλῶς πεφορᾶν γινόμενα. ἀποστρέφεται σὸν πονηρούς, ἐπαινῶ σὸν δικαίους. Εἶπα ὅπερ ἐν τῷ πεσπέρῳ ψαλμῷ ἔλεγε, δεικνὺς ὅτι Ⓒ αὐτὴ ἡ κακία ἰσχυὴ" αὐσὸν ἀνάγωσαν, ὅτο Ⓒ ἐν τοῦτα δηλῶν ἐπήγαγε· ὁ δὲ ἀγαπῶν τοῦ ἀδικίαν μισεῖ τοῦ ἑαυτῷ ψυχήν. πολέμιον γὰρ τῇ ψυχῇ πονηρία, ἐχθρὸν καὶ ὀλέθριον· ὥστε καὶ πρὸ τῆς κολάσεως, δίκην δίδωσιν ὁ πονηρός. Εἶδες πῶς βούλεται πάντοθεν δείκνυσι σὸν ἀνάντιρρήτους, ὅταν καὶ τοιοῦτον ἔχῃ σύμμαχον, Ⓒ ἐκφύγοι τὰ τῶν οἰκείων ὅπλων ἁλίσκωνται, δι' ὧν φέρεσθονται, ἀφ' τούτων δαπανώμενοι, καὶ ἑαυτοὺς βλάπτοντες. Εἶδες τῆς συμμαχίας τοῦ βύκολίαν. οὐ γὰρ δεῖ βαδίσαι που, Ⓒ δραμεῖν, οὐδὲ χρήματα δύνασθαι, τοῦ Θεοῦ πάντα χρὴ ὄντος, καὶ πάντα ὁρῶντος.

7 Ἐπι-

7 Ἐπιῤῥέξει ὅπου ἁμαρτωλοὺς παγίδας. πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ με-
μέρις τὸ ποτηρίου αὐτῶν. 8 Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύ-
τητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Ἄλλος, Ὑστερεῖ ὅπου τοὺς νομοθέτας αὐθάδεις. Ἄλλος, Εὐθύτητας ὄψεται τὸ πρόσωπον
αὐτοῦ, τουτέστι, τὴν δικαίων, ἢ αὐτόν, τὸν Θεόν. Εἰπὼν τοίνυν ἀπὸ τῆς κακίας δίκαιον,
ὅπως ταύτης πολλοὶ καταφρονοῦσι, λοιπὸν κατασείει τοῦ τῶν πονηρῶν διάνοιαν ἀπὸ
τῆς ἀνέσεως φερομένης πλησῆς, ἐμφαντικῶς τὴν λύσσαν χαλινούμενος, καὶ δεινὰ φοβερῶν ὀνο-
μάτων προσιών. πῦρ γὰρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, καὶ αὐθάδεις ἀνθρακας ἀνθ' ὧν ἀνέσεως
λέγει ὕβρεως· τὴν μεταφορὰν τῶν λέξεων, ὃ ἀφυκτον τῆς τιμωρίας, ὃ δαμαλὲς τῆς κο-
λάσεως, θεὶς ὑπόχαλκον τὸ πλησῆς, ὃ δαπανητικὸν προσῆκεν βουλόμενος. τί ὄφελος; φησὶ,
τοῦτο ἀνθ' ὧν κλησεῖς, φησι, ὅτι κίνημα, τούτῳ συνδιατείνουσιν, ἐν τούτοις δαπανηθή-
σονται, εἶτα καὶ ἡ αἰτία· ὅτι ὁ πόνος ἐφορᾶν, οὐκ ἀνέξε) ταῦτα ἀπιμωρητὶ προσδράμειν. ὅπερ δὲ ἕτερος προφήτης φησί· Καθαρὸς ὁ ὀφθαλμός σου μὴ ὁρᾶν πονηρά, καὶ Abac. a. 13
ὑπολέπτειν ὅπου πόνους ὑ δυνήσῃ· ὅτου δὲ οὗτος πρίσῃσι λέγων· ὅτι δίκαιος Κύριος, καὶ
δικαιοσύνας ἠγάπησε. τοῦτο τοῦ Θεοῦ μάλιστα ἐξαίρετον, ἀποδέξασθαι τὰ δίκαια, τὴν
ὀρθότητα· καὶ οὐκ ἀν ἀνάχοιτο εἰς τέλος τῶν ἑτέρως γινομένων. διὰ δὴ τοῦτο ἀσχολού-
μενος τῷ ψαλμῷ ἔλεγον· ὅπως τοῦ Κυρίου πέποιθα, πῶς ἐρᾷ τε τῆς ψυχῆς μου, μεταμαιεύε
ὅπως τὰ ὄρη ὡς τρυγίον; ⓐ μὴ γὰρ ἐν τοῖς βιωτικοῖς πεποιθότες, οὐδὲν ἀμεινον τοῦ τρυ-
γίου διάκεινται, ὃ τῇ ἐρημίᾳ θαῤῥοῦν, ὑχείρωτον ἅπασι γίνεται. τοιοῦτος ὁ χρή-
μασιν ἐλπίζων. καθάπερ ὁ τρυγὸς καὶ ὑπὸ παιδίων ἁλίσκεται, καὶ ἰξοῦ, καὶ πα-
γίδος, καὶ μυρίοις ἑτέροις· ὕπω καὶ ὁ πλουτῶν, καὶ ὑπὸ οἰκείων δὲ καὶ ὑπὸ πολεμίων· καὶ ἐ-
κείνῳ μᾶλλον ὀπισφαλέστερον ζῆν, πολλοὺς ἔχων τοὺς ἰξεύοντας, καὶ τοὺς ἐκείνων, ποτοῦ
ὅπου ἐπιθυμίας· καὶ μεταμαίσης ὄντι, ἀεὶ μὴ τῶν καιρῶν ἰσάμενος, καὶ δημίων ὀργὰς δεδοικώς,
καὶ βασιλέως θυμὸν, καὶ χαλάκων ὑπόβουλος, καὶ φίλων δόλους. καὶ πολεμίων ὑπισάντων,
μᾶλλον πρόσεισι, καὶ εἰρωνίης ὕσης, ὑφορᾶται τοὺς ὑπόβουλους. ὑ γὰρ ἔχει πλοῦ-
τον μόνιμον καὶ ἀναφαίρετον. ὅθεν τοῦτο ἀεὶ πέτεται καὶ μετοικίζεται), ταῖς ἐρήμοις διώκων καὶ
τοῖς ὄρη, ἐν σκοτομήνῃ ὄντα, καὶ παχὺ σκότος ἐν μεσημβρίᾳ μέσῃ ἔχων, καὶ δόλους
ῥάπτων. ἀλλ' ὑχ ὁ δίκαιος τοιοῦτος. Αἱ γὰρ τῶν δικαίων ὁδοὶ, ὁμοίως φωτὶ λαμπρύνουσιν. ὕτε Παροιμ. δ. 18
γὰρ ὑπόβουλοι αἰσθάνεται, ὕτε ἀδικεῖν, ἀλλ' ἀνεμπλήκτως ψυχὴν ἔχουσιν. ὕτοι γε ἀεὶ
δόλους ῥάπτοντες, ἀεὶ ἐν σκότῳ καὶ φόβῳ εἰσὶ, καθάπερ ⓐ λῃσταὶ καὶ ⓐ τοιχωρύχοι καὶ
ⓐ μοιχοί· ἐν ἡμέρᾳ σκότος ὁρῶσι, τῆς ψυχῆς αὐτῶν ὑπὸ δέους βαλλομένης. πῶς
οὖν ἀν ἀσφαλὴς εἴη ὁ σκότος τοῦτο; εἰ πρὸ τῶν ἐαυτῶν Ⓜ ἁμαρτήσας, ἀκχρεμα-
θείης τῆς ἐλπίδος τῷ Θεοῦ, καὶ μυριάκις ἀμαρτωλὸς ἦς. Ἐμβλέψατε γὰρ, φησιν, Ζαχ. β. 8
εἰς δεξιὰς γλωττὰς, καὶ ἴδετε, ὡς ἤλπισεν ὅπου Κύριον, καὶ κατεσχύθη; οὐκ εἶπε, δί-
καιος· ἀλλὰ, τίς; καὶ ἁμαρτωλός, φησι. ὃ γὰρ θαυμαστὸν τοῦτο ἐστὶν, ὅτι καὶ ἁμαρτωλοὶ
ταύτης ἐλπίδος τῆς ἀγκύρας, πᾶσιν εἰσὶν ἀχείρωτοι. τοῦτο γὰρ μάλιστα διαθέσεως
τῆς πρὸς Ⓜ Θεὸν, ὅταν τοσούτοις κακοῖς βεβαρημένος, θαῤῥήσῃς αὐτῷ τῇ φιλανθρω-
πίᾳ. ὥσπερ γὰρ ὁ πτωχὸς ἕτοιμος ὁ ἐλπίζων ὅπου δώσοντος, ὕτω μακάριος ὁ ἐλπίζων
ὅπου Θεόν. πόσων οἴνυν ἀπορήσας σαυτὸν, ταύτης ἔχου τῆς ἀγκύρας. ὃ γὰρ ἐφο-
ρᾷ πόσα ὁ Θεὸς, καὶ κρίνει τὰ δίκαια, ὃ ὑ κρίνει μόνον, ἀλλὰ καὶ εἰς ἔργον ἐξάγει. διὰ
τοῦτο εἰπὼν αὐτοῦ περὶ τῆς δικαιοσύνης, ἔδειξε καὶ τοῦ ἡμερεύειν, διὰ τῶν πυρὸς, διὰ
τῆς καταιγίδος· καὶ τοῦτο ὃ ποιᾷ, κηδόμενος ἐκείνων, καὶ διὰ τῆς κολάσεως σωφρονεστέρους
ποιῶν. πόσων οὖν ἕνεκεν προσίωμεν αὐτῷ, ὃ διὰνεκῶς μᾶλλον ὁρῶντες.

ὅτω γὰρ καὶ πάντων ἀπιστευξόμεθα τὰ ἀγαθὰ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ϑ. θ'. ς'. Ψαλμ. ια. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΗΣ ΟΓΔΟΗΣ. Ἄλλος, Τῷ νικοποιῷ ὑπὲρ τῆς ὀγδόης. Οἰκουμενίου, Ἀσεμαίθ, φησί. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Ἄλλος, Ὅτι ἐστερεώθησαν πιστοὶ ἀπὸ υἱῶν ἀνθρώπων.

Ἀγωνίαν μὲν ἀρετὴ καὶ δυσκατόρθωτον καὶ καθ' ἑαυτὸ μάλιστα ἴσ', ὅταν δὲ ἀπαίνει τῶν ἀγαθῶν ἀνδρῶν ὁ ἐργαζόμενος ἦ. καθάπερ γὰρ φέρει μὲν ὁδοιπορία πόνον, πολλῷ δ' πλέον ὅταν μόνος ὁ ὁδοιπόρος ἦ, καὶ μηδένα τὴν κοινωνοῦντα τῆς ὁδοιπορίας ἔχῃ· ὅπερ δὴ καὶ ἐνταῦθα. Οὐδὲ γὰρ μικρὸν ἀδελφῶν κοινωνία καὶ παράκλησις. διὸ καὶ Παῦλός φησι· Κατανοοῦντες ἑαυτοὺς εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. διὰ δὴ τοῦτο, μάλιστα τοὺς παλαιοὺς μακαρίζειν ἄξιον, οὐχ ὅτι κατώρθωσαν ἀρετήν, ἀλλ' ὅτι καὶ μυρίων πολλοὺς τῆς ἀρετῆς ὄντας, καὶ τὴν κατορθουμένην ὑπ' αὐτῶν φαινομένων. τοῦτο γοῦν καὶ ἡ γραφὴ αἰνιττομένη ἔλεγε· Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. διὰ τοῦτο τὴν Αἴγυπτον θαυμάζομεν, διὰ τοῦτο τὴν τῶν Λωτ, διὰ τοῦτο τὴν Μωϋσέα, ὅτι καθάπερ ἐν βαθείᾳ νυκτὶ ἀστέρες ἐφαίνοντο, καὶ μεταξὺ τῶν ἀκανθῶν ῥόδα, καὶ ἐν μυρίοις λύκοις πρόβατα, τὴν σαπρίδα πᾶσιν ὀδεύοντες ὁδόν, καὶ μὴ διαφθειρόμενοι. Εἰ γὰρ ὅτι πλήθους αὐτὸ τοῦτο δυσκολίαν φέρει, καὶ πολλῶν τὴν σαπρίδα ποιούντων, ὁ μόνος ἀπενδυτίας τὸ πλῆθος βαδίζων, πολλὰ ἐπορθοῦτο τραύματα· καὶ εἰ ἐν ναυτιλίᾳ ἡ χαλεπὸν, τὸ ῥοθιάζειν τὴν σαπρίαν διεφθαρμένου, πρὸς τὴν σαπρίδα ὁ πλοῖος ἰδιώτου· πολλῷ μᾶλλον ὅτι τῆς ἀρετῆς. διὰ δὴ τοῦτο καὶ ὁ δίκαιος ὅτος, ἅτε δὴ μόνος αὐτῆς ἐπιλημμένος, πάντων τὴν σαπρίαν βαδιζόντων, ὅτι τὴν τοῦ Θεοῦ πρόνοιαν καταφεύγει, λέγων· σῶσόν με, Κύριε. Οὐδὲν οὖν ἄλλο, ἢ τοῦτο σύνεσθαι δηλοῖ· τῆς ἀνωθέν μοι χειρὸς χειρός, τῆς ῥοπῆς τῆς σὴς τῶν ὑφειμένων, τῆς συμμαχίας σχεῖν. τὸ γὰρ σαπρίδι πᾶσιν ὁδοῦσιν ὁδὸν, πολλῆς δέομαι τῆς προνοίας. καὶ σὺ εἶπε, σῶσόν με ὅτι ὑ λέγουσιν ὅσιος, ἀλλ' ὅτι ἐκλέλοιπεν ὅσιος· δείκνυσι ὅτι καὶ οἱ ὄντες ἀπώλοντο, ὅπου ἐπεκράτησεν ἡ κακία, καὶ πρόδηλος ἡ νόσος. Τοῦτο καὶ Παῦλος φοβούμενος λέγων· Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; καὶ πάλιν· Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. Τί ἐστιν, ὠλιγώθησαν αἱ ἀλήθειαι; [πολλαὶ γὰρ αἱ ἀλήθειαι.] καθάπερ ὅτι τῶν χρωμάτων, καὶ τῶν ἄλλων εἰδῶν, τὰ μὲν ἐστιν ἀληθῆ, τὰ δ' ψευδῆ, ὡς ἔστι πορφύρα ἀληθὴς, καὶ πορφύρα ψευδὴς, καὶ ὅτι χρόνου, καὶ ὅτι τῶν λίθων, καὶ ὅτι σωμάτων, καὶ ἐπὶ ἑτέρων τοιούτων· ὅτω δὴ καὶ ὅτι τῶν ἀρετῶν. ἀλήθεια γὰρ τὸ ὄντως ὄν, ψεῦδος δὲ τὸ μὴ ὄν. ἐπεὶ οὖν τοῦτα διέγραπτο καὶ ἠμύρωτο, ὑπὸ τῶν ἀνοήσεων ἀπολέσαντα ἐξ ἑαυτῶν, ἀλλ' ὑπὸ τῶν ἀνθρώπων φυλαττόμενα· διὰ τοῦτο οὐκ εἶπε μόνον, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλ', ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων, προσέθηκε, τοῦτο αὐτὸ δηλοῦσαι βουλόμενος. σκέπτει δὲ· ἔστι κόσμος ἀληθὴς, ἔστι καὶ ψευδής. Τίς οὖν ὁ ἀληθὴς κόσμος; ὁ τοῦ ψυχοῦ· τίς δὲ ψευδής; ὁ τοῦ σῶμα. ἔστι πλοῦτος ἀληθὴς, ἔστι δὲ ψευδής. ψευδὴς ὁ τῶν χρημάτων· ἀληθὴς ὁ τῶν κατορθωμάτων. ἔστιν δόξα ψευδής, ἡ μὴ ἀληθής· ἔστιν καλλη, δυνάμεις, καὶ δόξαι. διὰ δὴ πλείονες τῶν ἀνθρώπων τὴν ἀληθειαν τοῦ-

τῶν

των ἀφέντες, τὰ ψευδῆ διώκουσιν. ὥσπερ γάρ ὅστιν ὁ θεὸς ἀληθὴς καὶ ψευδὴς· ἀληθὴς μὲν ὁ ζῶν καὶ ἐνεργῶν, ψευδὴς δὲ ὁ γεγραμμένος· οὕτω δὴ καὶ ὅτι τῶν ἀρετῶν ἐστιν ἰδεῖν.

2 Ματαια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. χείλη δόλια, ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Ἄλλος, Ἐν καρδίᾳ ἄλλη καὶ ἄλλη λαλεῖ. Δύο κακίας λέγει συνεζευγμένας καὶ ὅτι ματαια ἐλάλησαν, καὶ ὅτι πρὸς ϖ πλησίον· ἢ τὰ ψευδῆ ματαιά φησι. * * καὶ δὲ δὴ χαλεπώτερον, ὅτι πρότερον ἦσαν διεφθαρμένοι. διὸ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' ἕκαστος. οὐδὲ γὰρ ἰῶ ἁπλοῦς ὑπῆρχεν ὁ καχίας, ἀλλὰ καὶ πανοῦργος, καὶ ἀπὸ καρδίας. ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ· ὥσπερ ἕτερος ἑρμηνευτὴς, ἐν καρδίᾳ ἄλλῃ δὲ ἄλλῃ, εἶπε, διδάσκων ὅτι πολλὴ διπλόη [αὐτῷ] ἐν καρδίᾳ. οὗτος πολεμίων πρότερον. ⓖ μὲν γάρ εἰσι [φοβεροὶ καὶ] δῆλοι, ὅθεν δὲ εὐφύλακτοι γίνονται· οἱ δὲ ἕτεροι ϖροσωπεῖον ϖεριβαλλόμενοι, καὶ ἕτερον ὄντες, δυσφώρατοι τοῖς ὀπτῶσι λελυμένοις καθίστανται, τῶν τὰ ξίφη κρυπτόντων ὄντες πολλῷ χαλεπώτεροι.

3 Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα.

4 Τοῖς εἰπόντας τῇ γλώσσῃ ἡμῶν μεγαλυνοῦμεν. Ἄλλος, Δυναστεύσομεν. Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ὅστιν. Ἄλλος, Σὺν ἡμῖν πάρεστι.

Τίς ἡμῶν Κύριός ὅστιν; Ἄλλος, Τίς κυριεύσει ἡμῶν; Εἶδες κακοδαιμονίαν ϖροφήτου, πῶς ὑπὸ αὐτῶν ἔλκεται; ὃ γὰρ δὴ κατ' αὐτῶν ὅστι τὸ εἰρημένον, ἀλλ' ὑπὸ αὐτῶν. ὃ γὰρ" εἶπεν αὐτοῦ ἀπολέσθαι, ἀλλὰ τῇ καχίᾳ ἀφυιαθῆναι. ὃ γάρ, φησιν, ἐξολοθρεύσει Κύριος αὐτοῦ, ἀλλὰ τὰ χείλη τὰ δόλια. καὶ πάλιν, ὑπὲρ τῆς ὑσίας, ἀλλὰ τῆς γλώττης, τῆς ἀπονοίας, τὸν δόλον ἀναιρεθῆναι ἀξιοῖ, ἵνα ὑπερφανείσης ἐκκοπῇ. κωμῳδῶν δὲ αὐτῶν τὴν μανίαν φησί, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ὅστι. Τίς ἡμῶν κύριός ὅστι; μαινομένων καὶ ϖαραφρόνων τὰ ῥήματα. διὰ δὴ τοῦτο ὁ Παῦλος ἀπενδυτέας αὐτοῖς φθεγξόμενος ϖαραινῶ· Οὐκ ἐξ ἑαυτῶν, τιμῆς ἠνεῳγμένης· καὶ κενδύει μηδὲ ἑαυτοῖς ζῆν. Οὐ σαφῶς ὅστι τὰ χείλη, φησί, ἀλλὰ τοῦ δεσπότου. αὐτὸς γὰρ ἐποίησεν αὐτά, αὐτὸς καὶ τεσκεύασεν, αὐτὸς ζωὴν ἐνέπνευσεν. ἀλλὰ σὺ ἔχεις; δῆλον· πάντως ἔχομεν ταῦτα ἡμέτερα ἐπεὶ καὶ τὰ χρήματα ἔχομεν, ἕτερον ϖαρακαταθεμένων· καὶ γῆν μισθούμεθα, ἑτέρων ἡμῖν δεδωκότων. οὕτω δὴ καὶ σοι ταῦτα ἐμίσθωσεν ὁ Θεός, οὐχ ἵνα ἀκάθαρτα φέρῃς, ἀλλ' ἵνα σπέρματα εἰς τὸ χρήσιμον μεταβάλῃς· οὐχ ἵνα ἀπόλωμαι, οὐχ ἵνα δόλον, δῆλον ἵνα ταπεινοφρονῶμεν, δῆλον ἵνα εὐφημῶμεν, δῆλον ἵνα ἀγάπην ποιῶμεν δι' αὐτῶν βλασφήμων. ὀφθαλμοὺς ἔδωκεν ἵνα ἀκόλαστα βλέπῃς, δῆλον ἵνα σωφρονῇς καὶ καλλωπίζῃ· χεῖρας, ἵνα ἐλεῇς. πῶς δὲ λέγεις, ὅτι τὰ χείλη ἡμῶν παρ' ἡμῖν ὅστιν, ὅτε δουλεύομεν τοῖς δούλοις, ὅτε τῆς πορνείας, ὅτε τῆς ἀκαθαρσίας; τίς ἡμῶν κύριος ἀκοῦ ῥήματος, ἢ ψυχὰς δαιμονώδους. ὁρᾷς, ἀγαθὲ, τὸν κύριον ἀναγκαζόμενον δεσπότου τοῦ ἰσχυροῦ, τοῦ σοφίαν, τοῦ κακοδαιμονίαν, τοῦ σῶμα σὸν, τοῦ ψυχήν, τὸν ζωὴν, τὰ ὁρώμενα, τὰ ἀόρατα, * * κύριος, τίς ἡμῶν κύριός ὅστι; τὸν μοιχὸν, τοῦτο πλεῖξαι, τοῦτο διεφθαρμένης ψυχῆς. ἀλλ' ὅτι τὰ μέλη καὶ ἀναγκαῖα ἐστιν, οἱ μὲν λέγουσι, τίς ἡμῶν κύριός ὅστιν; ἄλλοι δὲ δεσπότην ὁμολογοῦσι τὸν τῆς κρίσεως ἀναγεῦσι λόγον καὶ τῆς κολάσεως, βασάνους μεγάλας ὀνόματι κόλασιν καὶ βαλόμενοι τὰ μὴ μεμνῆσθαι γεέννης ϖαραμυθίαν ἑαυτοῖς, λαμβάνουσι δὲ τῆς ἀφοβίας ταύτης εἰς τὸ βαθέως ἑαυτοὺς τῆς ἀπωλείας ἐμβάλλοντες· διὸ ϖαρακαλῶ καὶ μεμνῆσθαι γεέννης, καὶ φοβεῖσθαι τὴν γεέννης. πολὺ γὰρ τὸ χρήσιμον τῶν λόγων τούτων. ὅτω δὲ πλατὺ τῷ ψυχῷ. * * οὐδὲ γὰρ ἁπλοῦς ἐπέλησεν αὐτῷ ὁ Θεὸς

a Kor. 5. 18. 21. Rom. 18. 7. & 8. Kor. 2. 9.

καὶ σύντεθθεν ἤδη δήλω ἐποίησεν, ἀλλ' ἵνα τῷ φόβῳ ποιήσῃ βελτίους. ἔχει δὲ τοῦτο καὶ ὁ διάβολος πολλὰ ποιῶν καὶ στρατηγῶν), ἐξαίρειν αὐτῆς τὸν μνήμιον βουλόμενος. μὴ τοίνυν ἔκβαλλε τὸν μνήμιον, μηδὲ λέγε· τί λυπῶ ἐμαυτὸν πολλὰ κλαίων; πολλὰ κλαίειν λυπῇ; ἐκεῖνό ἐστι πολλὰ κλαίειν ἀλγεῖν, ὅταν σὺ τὴν γέενναν ἀλγῇς. τὸ λυπεῖσθαι κλαιόντος οὗτος, οὐκ ἐκεῖνος. καὶ τοῦτο δείκνυσιν ὁ πλούσιος ὁ ὀπίσω Λαζάρου, ὃς μυρία λυπηθεὶς οὐδὲν ὠφέλησεν. εἰ γὰρ εὐκαίρως ἤλγησεν, οὐκ ἂν ἔπαθεν, ἀλλ' ἔπαθεν. Luk. 16. 24.

5 Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος. 6 Θήσομαι ἐν σωτηρίᾳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

Ἄλλος, Τάξω σωτήριον ἐκφανές. Μάθε πόση τῆς ἀπειροφεσσώης ἡ ἰσχύς. τῶν πενήτων ἡ δυνάμις (πενήτων λέγω, τῶν τὴν ὀλίγοιθεν σωτηρεμμένων) τὸ κακῶς πάσχειν ἐστὶν ἡ αὐξησις. οὐδὲ γὰρ βίοι ἐνταῦθά φησιν, οὐδὲ χρημάτων, ἀλλὰ τὸ πάσχειν κακῶς, φησί, τοῦτο αὐξήσει ⓦ Θεός, καὶ ἐκκαλεῖται πρὸς ἡμωείαν καὶ ἄμυναν. τοσοῦτόν ἐστι τὸ ἀδικούμενον φέρειν γενναίως· τοσαύτη τῶν ἐπηρεαζομένων πρὸς τὸ Θεοῦ ἡ εὐνοια. αὐτὴ μεγίστης σωτηρίας καὶ συμφορᾶς καὶ τὸ πάσχειν κακῶς γινομένη. μεγάλη τοῦ στεναγμοῦ ἡ ἰσχύς, τὴν ἄνωθεν καλοῦσα ῥοπήν. φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε. ἔχετε δυνάμιν ὑμεῖς, καὶ πλοῦτον, καὶ χρήματα, καὶ δικαστῶν ἔνοιδε; ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμοὺς καὶ τοὺς δακρύους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ἅπερ τὴν ἐκ τῶν ὅπλων ὑπεραίρεται συμμαχίαν. τοῦτο τὸ ὅπλον οἰκίας ἀνορύττει, τοῦτο θεμελίους κατέσκαψε, τοῦτο πόλεις ἀνεῖλε, τοῦτο ὁλόκληρα ἔθνη κατεπόντισε· στεναγμοὶ ἀδικουμένων ἀνθρώπων λέγω. αἰδεῖται τὴν βύθιον μοῖραν ἀνθρώπων ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον, καὶ ἀποδύρωνται τὰ οἰκεῖα κακά. τί δέ ἐστι, θήσομαι ἐν σωτηρίᾳ, παῤῥησιάσομαι ἐν αὐτῷ; μετὰ παῤῥησίας, φησὶν, αὐτῶν στερήσομαι φανερῶς καὶ δήλως, ὥστε πρώτους μαθεῖν. καὶ πότε δὲ φανερῶς σώζει; ἔστιν ὅτε δὲ φανερῶς, ἀλλὰ λάθρα. οὐδὲ γὰρ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης. νυνὶ δὲ ὅπως εἰκὸς ἰδεῖν τοὺς ἐχθροὺς τοὺς αὐτῶν ἐπεμβαίνειν, σιάλλεσθαι, οἰονεὶ δίζειν αὐλοῖς, ὡς οὐκ ἔχουσι Θεόν· ὥστε καὶ κείνους σωφρονισθῆναι, καὶ ἡμᾶς βελτίους, τῇ πείρᾳ μαθόντας τὸ δεσπότου τὴν συμμαχίαν, φανερῶς ποιήσομαι τὴν ὑπὲρ αὐτῶν σωτηρίαν, φησί. 7 Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. Καὶ ποία αὕτη ἀκηλουθία τοῦ τὰ εἰρημένα; πολλή, καὶ συνεχής. μὴ γὰρ δὴ νομίσητε ταῦτα, φησὶν, ἁπλῶς εἰρῆσθαι, μηδὲ ἀπειλὴν εἶναι τὴν ἀπειλήν· καθαρὰ αὐτά ἐστι τὰ ῥήματα, ἀπηλλαγμένα ψευδείας. ὥσπερ γὰρ ὁ ἄργυρος ὁ πεπυρωμένος, οὐδὲν ἀλλότριον ἔχει καὶ νόθον ἅπαξ τοῦ Θεοῦ τὰ ῥήματα, ἅπερ αὖ εἶπεν, πάντως ἐκβιῶναι δεῖ. διὸ φησὶν· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. Ἄλλος, Πεπυρωμένον, χωνευτὸν τῇ γῇ. Ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, χωνευτὸν τῇ γῇ, Βααλὶν λαάρς εἶπε, τουτέστι, τὸ χωνευόμενον, τὸ ῥέον ἐπὶ τῆς γῆς. Κεκαθαρισμένον ἑπτάκλασιον. Εἶδες πῶς δείκνυσι τὸ ἀψευδές, τὸ ἀληθινὸν, τῇ εἰκόνι τῆς ὕλης. ὥσπερ γὰρ ἐκεῖνο τὸ χωνευτὸν, τὸ πυρωθὲν, τὸ πολλάκις τοῦτο παθόν, ἀλλότριόν ἐστιν ἀλλοτρίας ὕλης, ἐκκεκαθαρισμένον μετ' ἀκριβείας· οὕτως ἡ ἀποφασις τοῦ Θεοῦ.

8 Σὺ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς ⓦ αἰῶνα. Ἄλλος, Φυλάξεις αὐτούς. Ἄλλος, Φυλάξεις αὐτὰ, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Ἄλλος, Ἅμα τῇ γενεᾷ τῇ αἰωνίᾳ.

9 Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν. Ἄλλος, Περιπατήσουσιν. Ἄλλος, Κύκλῳ ἀσεβῶν ἐμπεριπατήσουσι. Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώ-

πων

πων. Ἄλλος, Ὅτδμ ὑψωθῶσιν ⓘ δὺ τελεῖς τῶ ἰῶν τ ἀνθρώπων. Ἕτερος, Κατὰ τὸ ὕψος βὺωνιμένοι τοῖς ἰοῖς τῶ ἀνθρώπων. Ὁ δ Εὐσεβίος, Χάρμ" ζολλώ, φησι, λεσνὴ ἀδάμ. Σὺ Κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς. Ὅσα συνεχῶς, μᾶλλον δ διὰ συνεχῶς ὅτι ϟ Θεὸν καταφύγοντα, κἀκεῖθεν ζητοῦντα τὴν συμαχίαν. καὶ γὰρ πᾶσα ἀλκὴ καὶ βοήθεια, οὐδενὶ ἀλλαχοῦ πάρεστιν ἢ παρὰ θεοῦ. οὐδενὸς τῶν ἀνθρωπίνων δεόμεθα, φησὶ· σὺ γὰρ ὁ φυλάττων εἶ διὰ συνεχῶς. τί δέ ἐστι, κύκλῳ ⓐ ἀσεβεῖς περιπατοῦσι; κατὰ μὲν τὰς ἑβδομήκοντα, ὅπερ λεκτέον· Ὅτι καὶ κυκλώσουσιν ⓐ ἀσεβεῖς, οὐδὲν πεισόμεθα. καὶ γὰρ φυλάττεις ἡμᾶς, καὶ μετεωρίζεις, καὶ ἐνδόξους ποιεῖς. κατὰ δὲ ϟ ἕτερον ἑρμηνευτὴν τοῦτο ῥητέον, Ὅτι ⓐ ἀσεβεῖς ἐζωθήσονται, ὅταν οὐ τελεῖς οὐδὲ ὑὸς τῶ ἀνθρώπων ὑψώσῃς. τουτέστιν, ὅταν ἡμᾶς οὐ νομιζομένους εἶναι δικαιοφανήτους, οὐ τεταπεινωμένους δοξάσῃς, ἀποστήσεις αὐτοὺς καὶ μακρύνεις. Τί δέ ἐστι, κατὰ τὸ ὕψος σου; αὐτὸ τοῦ, ὁμοίους σε ἐποίησας, ὡς ἂν ἀνθρώπῳ δυνατὸν εἶ ὅμοιον. Ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα, φησὶν, ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. ὅσον γάρ ἐστιν αὐτὸς ἐν ὑφαντῷ, τοῦτο ἡμεῖς ἐπὶ τῆς γῆς· καὶ ὥσπερ οὐδεὶς αὐτὸν δυνάτερος ἄνω, ὅτως οὐδεὶς ἐπὶ τῆς γῆς τῶν ζώων τούτων κατὰ δύναμιν ὅμοιος. Γίνεσθε, φησὶν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. καὶ τὸ ὀνόματος ϟ ἡμῖν μετέδωκεν· Ἐγὼ εἶπα, θεοί ἐστε, φησὶ, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ πάλιν· Τέθεικά σε θεὸν Φαραώ. καὶ δημιουργὸν εἶ ἐποίησε, καὶ σωμάτων καὶ ἀσωμάτων. καὶ νεῶ μὲν τὴν κλίσιν ὁ Μωϋσῆς μεταβάλλει· νεὼ δ ἕτερος ἕτερα· ἡμῖν δ ἐπέταξε ναὸν αὐτῷ κτίζειν ἡμᾶς αὐτοὺς. καὶ δοίνιν οὐ δημιουργὸς οὐρανὸν, ἀλλὰ δημιουργεῖς ναὸν Θεοῦ. ἐπεὶ καὶ οὐρανὸς ἁγίων τόπος λαμπρὸς, ὅπου Θεὸν ἔχει κατοικοῦντα ἐν αὐτῷ· μᾶλλον δ ἁγίων Χριστοῦ καὶ ἡμεῖς. Σωτήριος γάρ, φησὶ, καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἐν τοῖς οὐρανοῖς· καὶ μείζονα ἔδωκε ποιεῖν ὧν αὐτὸς ἐποίησε. Τὰ δὲ σημεῖα, φησὶν, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. καὶ ὅτι τῆς παλαιᾶς, ὁ μὲν τὴν θάλασσαν μετέβαλεν· ὁ δ ϟ ἥλιον ἐχάλινε· ὁ δ τῷ σελήνῃ μῆνιν ἐκέλευσεν· ὁ δ πάλιν εἰς ἑαυτὸν ἀνεκτήσατο ἀπειλάς· ⓐ δ παῖδες ἐν τῇ καμίνῳ τὸ στοιχεῖον τὸ ἐνεργείαν ἐπέδησαν, καὶ μαινομένη ἡ φλὸξ ἐσίγα, καὶ δεδεμένη ἐσύριζεν. οἵδε καὶ θεῖα ἀρετᾶς θεοῦ φίλοις· κἂν λιμὸς ἀναγκάζῃ, φιλοσοφώτερα γίνεται. αἰδείσθωσαν ⓐ γαστρίμαργοι τῷ ἐγκρατείᾳ τῶν θείων· λέοντες εἶδον ϟ Δανιὴλ, καὶ ἐφιλοσόφησαν· ἡμεῖς ϟ υἱοὶ τοῦ Θεοῦ βλέποντες ἐρχόμενον πρὸς ἡμᾶς, ἵ φιλοσοφῶμεν. Εἵλοντο σκῆπτρα δράφθαρτα λιμῷ, καὶ μὴ ἅψασθαι τοῦ σώματος τοῦ ἁγίου· ἡμεῖς ὁρῶντες γυμνὸν ϟ Χριστὸν περιερχόμενον καὶ λιμῷ τηκόμενον, οὐδὲ τὰ περιττὰ περιείμεθα, ἀλλ' ἐν περισσείᾳ ζῶντες, περιορῶμεν τοὺς ἁγίους. ἡ γῆ πάλιν ἑτέρῳ Θεῷ φίλῳ ὄντα οὕτω προσπεγχε δῶρα ἐκ τῶν οἰκείων κόλπων, τοσαύτῳ φορείᾳ, ὅσην οὐδεπώποτε ἔμπροσθεν. καὶ πῶς μαίζεις, εἰ αὐτοὶ αἰδέσιμοι ἦσαν, ὅπουγε καὶ τὰ ἱμάτια αὐτῶν, καὶ αἱ σκιαὶ δαίμοσιν ἦσαν φόβερὰ, καὶ θανάτῳ, καὶ νοσήματι; καὶ ἀγέλοι ἠδέσθησαν ἀνθρώπους, καὶ ἐτίμησαν μὴ ὑπερφολῆς. πῶς γὰρ οὐκ ἔμελλον, ὃς ὁ δεσπότης αὐτῶν ἐτίμα· καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ τοῦτο ἔστιν ἰδεῖν. Διὰ τοῦτο λέγει· Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. συνοπαντεῖ οὖν τὸ μέγεθος τῆς ὑμῆς, ἀξίαν τοῦ ἁρμοῦ τὸ ὑπερβαλλούσης ἀμοιβὴν, ἵνα μὴ τῆς ὑμῆς ὑπερβολὴν, ἐφόδιον ἡμῶν ὑμφείας γένηται.

Γεν. α. κζ. Ματθ. α. με. Ψλμ. πα. ε. Εξοδ. ζ. α. α. Κορ. ε. ιθ. Ισ. ι. ιβ. δ. Βασ. κ. ιε. Δαν. γ. κς. Δαν. ε. κβ. Ματθ. κε. λε. Ιαϲ. β. κ. Περϲ. ιθ. ια. καὶ ε. ιβ. Γεν. ιη. ε. καὶ ιθ. γ. καὶ κβ. ια. Εξοδ. ιδ. ιθ. Κεφ. β. α. Μαρκ. ιε. ε. Περϲ. π. κε. καὶ ι. γ. καὶ ιβ. ζ.

Ψλμ.

Ψαλμ. ιβ. ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ. ΑΛΛΟΣ, Ἐπινίκιος ᾠδὴ τῷ Δαβίδ. 1 Ἕως πότε, Κύριε, ἐκλείψεις με εἰς τέλος; Ἄλλος, Ἐκλαθάνῃ με τέλεον. Ἄλλος, Εἰς νῖκος. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἄλλος, Κρύπτεις. 2 Ἕως ἂν θήσομαι βουλὰς ἐν ψυχῇ μου; Ἄλλος, Τάξω γνώμας. Ὀδυνὰς ἐν καρδίᾳ μου ἡμέρας [καὶ νυκτός]. Ἄλλος, Μέριμναν ἐν τῇ διανοίᾳ μου καθ' ἡμέραν.

ΟΥ μικρὸν καὶ τοῦτο ἀγαθόν, τὸ λαμβάνειν αἴσθησιν τῆς τοῦ Θεοῦ λήθης. λήθην δὲ μὴ πάθος εἶναι νόμιζε, ἀλλὰ τὴν ἐγκατάλειψιν. πολλοὶ γοῦν τοῦτο παθόντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, οὐδὲ ὀδύρονται· ἔστι δὲ ὁ μακάριος, οὐ μόνον αὐτὸ ἤδει, ἀλλὰ καὶ (W) χρόνον διελογίζετο. Τὸ γάρ, ἕως πότε, δεικνῦντός ἐστι μακρὸν ὄντα (W) χρόνον. δηλοῖ τοῦτο καὶ ὀδύρεται, καὶ θρηνεῖ. σὺ δέ μοι σκόπει πῶς ἁδαμοῦ βιωτικοῦ πάθους ἔνεκεν ἀλγεῖ, οὐκ οὖν χρημάτων, οὐκ οὖν δόξης, ἀλλ' οὖν τῆς θυσίας * πάντα γοῦν. καὶ πόθεν, φησίν, ἔγνω ὅτι ἐπελάθετο αὐτοῦ ὁ Θεός; ὅτι ἤδει ἐκ πολλοῦ ἐμέμνητο, ἐκ σαφοῦς ἠπίστατο· εἰ μὴ λήθη, εἰ μὴ μνήμη. οὐκ ἀθάπερ (4) πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσι παρὰ τοῖς ἀνθρώποις, ὅταν αὐτοῖς χεὶρ ῥᾳδίως ἀπόντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε νομίζουσι μεμνῆσθαι αὐτῶν τὸν Θεόν· διὰ τοῦτο οὐ τότε, πότε αὐτῶν ἐπιλελάθετο, ἰάσασιν. (4) γὰρ τῆς μνήμης τὸ σημεῖον οὐκ εἰδότες, οὐδὲ τὸ τῆς λήξεως ἐπίστανται. εἰ γὰρ τὰ τῆς φιλίας σύμβολα οὐκ ἐπίστανται, οὐδὲ τὰ τῆς ἔχθρας γινώσκουσι. πολλῶν γὰρ τῶν ταῦτα ἐχόντων ἐπιλελάθηται ὁ Θεός, καὶ μάλιστα τούτων· τῶν γὰρ ἐν τοῖς εὐδοκιμοῦσιν ὄντων μέμνηται πολλάκις. μνήμην γὰρ οὐδεὶς οὕτω ποιεῖ θεῷ, ὡς ὁ ἀγαθόν τι ποιῶν, ὁ νήφειν, ὁ ἐγρηγορέναι, ὁ ἀρετῆς ἐπιμέλεσθαι· ὥσπερ οὖν καὶ λήθην οὐδεὶς ἕτερον, ὡς ὁ ἐν ἁμαρτίαις εἶναι καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς. καὶ σύ μοι νόησον, ἀγαπητέ, ὅταν σφαλῇς, μὴ λέγε, ὅτι ἐπελάθετό μου ὁ Θεός· ἀλλ' ὅταν ἐν ἁμαρτίαις ἦς, καὶ πόνοι σοι καὶ ῥᾳθυμία φέρηται. ἂν γὰρ τοῦτο ἦς εἰδώς, ταχέως ἀποσήσῃ τῶν πονηρῶν πραγμάτων. ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; τοῦτο ἐπιτεταμένης λήθης. ἀπὸ γὰρ τῶν ἀνθρωπίνων πραγμάτων τοῦ Θεοῦ τὰς ἐνεργείας δείκνυσι, καὶ τὴν ὀργὴν αὐτοῦ καὶ τοῖς κόλασιν χαλεπεύζει. ἀποστρέφει δὲ πάλιν ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ὅταν αἰσχύνας προφάσεως τῶν ἐπιταγμάτων τῶν αὐτοῦ. Ὅταν γὰρ ἐκτείνητε, φησί, τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Εἶτα καὶ ἡ αἰτία· αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις. ἀλλὰ καὶ τοῦτο πάλιν κηδεμονίας πολλῆς, καὶ ἡ ἐγκατάλειψις, καὶ ἡ ἀποστροφὴ τοῦ προσώπου. ποιεῖ δὲ τοῦτο, ἵνα σφοδρότερον ἡμᾶς ἐπισπάσηται. ἐπεὶ καὶ ἐρασὴς μανικὸς (W) ἐρώμενον ἀφορῶντα ἀφίησι καὶ ἐγκαλημάτων, οὐκ ἐκβάλλων αὐτὸν τῆς διανοίας, ἀλλὰ ἐπιστρέψαι αὐτὸν βουλόμενος, καὶ ἑαυτῷ ζωώσαι. Εἰπὼν δὲ τὸν ἀποστροφὴν, λέγει καὶ τὴν λήθην, καὶ ταύτην ἐξ αὐτῆς αὐτῷ προσγλυφομένην. τίνα δὴ ταῦτά ἐστιν; ἃ ἐπάγει, λέγων· ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; ὥσπερ γὰρ ὁ * τῶν λιμένων ἐξελθὼν πάντα τὸν πλοῦτον ἀπορρήτοις πολλοῖς προσπλάσει· οὕτω δὴ καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ Θεοῦ, φροντίσι, καὶ μερίμναις, καὶ ὀδύναις ἐκδίδοται διὰ παντός. ὁ μακρὸς δὲ τοῦτο εἰς τὸν τοῦ Θεοῦ ἐπιστρέψαι πρὸς ἑαυτόν, τὸ μεριμνᾶν, τὸ φροντίζειν, τὸ πικραθῆναι, τὸ ὀδυνᾶσθαι, τὸ λόγον ποιῆσθαι

Ps 12.
χαλεπωτέρα

ποιῆσθαι αὐτὸ τῆς ἀποστροφῆς. ὁ δὲ Παῦλος Κορινθίοις γράφων, φησὶ ἑαυτὸν φησι· Καὶ τίς ἐστιν ὁ βυφαίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; ὑ μακρὸν γὰρ τὸν, ἀγαπητὲ, κέρδος, τὸ ἀπαθανέσθαι τῆς ἀποστροφῆς τοῦ Θεοῦ, τὸ ἀλγεῖν, τὸ ὀδυνᾶσθαι. ὕπω γὰρ αὐτὸν ταχέως ποιῆς ἡμᾶς ὑποστρέφομεν. β Κορ. ϛ. ϐ.

3 Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ὑπόβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. 4 Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. Ὥσπερ γὰρ τεθνηκότος τοῦ Θεοῦ ὑμῖν ὄντος, τὰ λυποῦντα ἐκποδὼν ἀπῆλθε· οὕτως ἀποστάντος ὑποληφθέντος, ἡ ψυχὴ διακόπτεται, ὑ καρδία ὀδυνᾶται, ὑ ⓐ λυποῦντες ἐπερεθίζουσι, ὑ πόνοι χρημασὶ ὑ σκέπεσι. συγχωρεῖται γὰ τοῦτο συμφερόντως, ὥστε διὰ πόνων δακνομένους τοὺς ῥᾳθυμοτέρους ἀσυδαιμότερον ἐπιμελεῖσθαι, ὅθεν ἐξέπεσον. Παιδεύσει γάρ σε, φησὶν, ἡ ἀποστασία σου, ὑ ἡ κακία σου ἐλέγξει σε. ὥστε ὑ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. ὅταν γὰρ προνοῶν ὑ κηδόμενος καταφρονῆται, ἀφίησι μακρὸν ὑ ἐγκαταλιμπάνει, ἵνα τότε τῆς ῥᾳθυμίας ἐκβληθείσης, ἀσυδαιμότεροι ⓐ ὀλίγοι γένωνται. ** λείπει πολλά. ** Ιερεμ. β. ιϐ.

Ψδμ. μα. ΟΝ ΤΡΟΠΟΝ ΕΠΙΠΟΘΕΙ Η ΕΛΑΦΟΣ ΕΠΙ ΤΑΣ ΠΗΓΑΣ ΤΩΝ ὑΔΑΤΩΝ· ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΠΟΣΟΥ ΧΑΡΕΝ Ο ΨΑΛΜΟΣ ΕΙΣ ϖ ΒΙΟΝ ΕΙΣΕΝΕΧΘΕΙΣ ΜΕΤ' ὠΔΗΣ ΨΑΛΛΕΤΑΙ, ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΘΕΟΥ ΜΑΚΡΟΘΥΜΙΑΣ.

Μεῖς μὲ ἡμᾶς ἐθαυμάζετε πρώην, ὅτι ϖ περὶ ὃ Μελχισεδὲκ ἐκίνησα μῦθον λόγον, ὅτι τοῖς μήκει τῶν εἰρημένων· ἐγὼ ὑμᾶς ἐθαύμαζον ὅτι τῇ τῆς ἀκροάσεως προθυμίᾳ τε καὶ ζωπυρεῖτε, καὶ ὅτι μακροτέρου τοῦ λόγου προελθόντος, μᾶλλον τέλους παρηκολουθήσατε ἡμῖν· καί τοι γε οὐ μακρὸς ἦν ὁ λόγος μόνον, ἀλλὰ ὑ δυσχερείαν εἶχε πολλήν. ἀλλ' οὔτε ὁ μῆκος, οὔτε ἡ δυσχολία τὴν ὑμετέραν ἠλέγξατε προθυμίαν. φέρε οὖν, ὑμῖν ἀμοιβὴν ἀποδῶμεν· ἐκείνου τοῦ πόνου, σαφεστέραν τοῖς ὑμᾶς τὴν μέρον ποιησάμενος τὴν διάλεξιν. οὐδὲ γὰρ ὑπερτείνειν ἀεὶ δεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν (διαῤῥήγνυται γὰρ ταχέως) ὅτε χαλᾶν ἀεὶ ὑ ἀνιέναι. ὑ γὰρ ἐντεῦθεν ἀρχαιοτέρα τῆς πάλιν. διὰ ποικίλλειν χρὴ τὸ τῆς διδασκαλίας εἶδος, ὑ νῦν μὲν πρωιαιτέρων, νῦν δ' ὀψιαιτέρων ἀκούεσθαι λόγων. ὥσπερ οὖν ὅτε ἔλεγον, ὅτι τῶν λύκων ὑπόντων τὴν ποίμνην, τὴν σύριγγα ἀφέντες, τὴν σφενδόνην μεταχειρίζεσθε χρή· ὅτω νῦν δὴ παρελθουσῶν τῶν ἑορτῶν τῶν Ἰουδαϊκῶν, ⓐ λύκων ἀπόντων ἐσμὲν χαλεπώτεροι, τὴν σφενδόνην πάλιν ἀφέντες, ὅτι τὴν σύριγγα ἐπρεμίσωμεν· ὑ δὴ ἀγωνιστικωτέρους ἀναπαύσαντες λόγους, ἑτέρων λογῶν σαφεστέρων ἁψώμεθα, τὴν κιθάραν αὐτὴν τοῦ Δαβὶδ μεταχειριζόμενοι, ὑ τὴν ὑπακοὴν εἰς μέσον ἄγοντες, ἵν' ἅπαντες ὑπερθάλπωμεν τὴν μέρον. Τίς οὖν ἐστιν ἡ ὑπακοή;

1 Οὐ ἕνεκεν ὑπέπτηξεν ἡ ἔλαφος ὅτι ἐπὶ πηγὰς τῶν ὑδάτων, ὕπως ὑπέπτηξεν ἡ ψυχή μου πρὸς σέ ὁ Θεός. Μᾶλλον δὲ ἀναγκαῖον εἰπεῖν πρῶτον, τίνος ἕνεκεν ὁ ψαλμὸς εἰς ϖ βίον εἰσενήνεκται ἡ ἡμέτερον, ὑ μετ' ὠδῆς μάλιστα αὕτη ἡ προφητεία λέγεται. τίνος οὖν ἕνεκεν λέγεται μετ' ὠδῆς, ἄκουσον. πολλοὺς τῶν ἀθρόων καπηλῶν ὁ Θεὸς ῥᾳθυμοτέρους ὄντας, ὑ πρὸς τὴν τῶν πνευματικῶν ἀνάγνωσιν δυσχερῶς ἔχοντας, ὑ ϖ ἐκεῖθεν ὡς ἡδέως ὑποκρουομένους κάματον· πολεμώτερον ποιῆσαι τὸν πόνον βουλόμενος, ὑ τῷ κάματι τὴν αἴσθησιν ὑποτεμέσθαι, μελῳδίαν ἀνέμιξε τῇ προφητείᾳ, ἵνα

ἵνα τῷ ῥυθμῷ τῶν μέλων ψυχαγωγούμενοι πρώτης, μὴ πολλῆς τῆς περιουσίας τοῦ ἱερεῖ διαπέμπωσιν αὐτοῖς ὕμνους. Οὐδὲν γάρ, οὐδὲν ὕπνος ἀνίσκει ψυχῆ, καὶ πλεῖστοι, καὶ τῆς γῆς ἀπαλλάττει, καὶ τῶν τοῦ σώματος ἀπολύει δεσμῶν, καὶ φιλοσοφίαν ποιεῖ, καὶ πρώτων καταπαύει τὸ βιωτικόν, ὡς μέλος συμφωνίας, καὶ ῥυθμῷ συγκείμενον θεῖον ἆσμα. Ὅταν γοῦν ἡμῶν ἡ φύσις πρὸς τὰ ἄσματα καὶ τὰ μέλη ἡδέως ἔχει καὶ οἰκείως, ὡς καὶ τὰ ἀτρεμαίζοντα παιδία κλαυθμυριζόμενα καὶ δυσχεραίνοντα, ὅταν καταχειμάζεσθαι, ἀγκάλαις αὐτὰ βαστάζουσαν, πολλάκις ἀποδύσαί τε καὶ ἐπάδουσαν, καὶ ὅλα αὐλοῖς κατεπάδουσα ἄσματα παιδικά, ὅταν αὐτῶν τὰ βλέφαρα καταχειμάζῃ. διὰ τοῦτο καὶ ὁδοιπόροι πολλάκις τὴν μεσημβρίαν ἐλαύνοντες ἀνατρέχουσι, ἄδοντες τοῦτο ποιοῦσι, τὴν ἐκ τῆς ὁδοιπορίας τὰ λαμπρείαν ταῖς ᾠδαῖς ἐκείναις παραμυθούμενοι. Οὐκ ὁδοιπόροι μόνον, ἀλλὰ καὶ γεωπόνοι λινοβατοῦντες, καὶ τηγανῶντες, καὶ ἀμπέλους θεραπεύοντες, καὶ ἄλλο ὁτιοῦν ἐργαζόμενοι, πολλάκις ᾄδουσι· καὶ ναῦται κωπηλατοῦντες, τοῦτο ποιοῦσιν. ἤδη γοῦν καὶ γυναῖκες ἱστουργοῦσαι, καὶ τὴν κερκίδα τοῦ ξήμονας συγκεχυμένως ἀκριβοῦσαι, πολλάκις μὲν καθ' ἑαυτὴν ἑκάστη, πολλάκις δὲ συμφώνως ἅπασαι, μίαν τινὰ μελῳδίαν ᾄδουσι. ποιοῦσι δὲ τοῦτο καὶ γυναῖκες, καὶ ὁδοιπόροι, καὶ γεωπόνοι, καὶ ναῦται, τὸ ἆσμα ὡς ἐκ τῶν ἔργων πόνον παραμυθούμενοι ἀναβύδητοι, ὡς τῆς ψυχῆς, ἐν μέλεσιν ἀκούουσι καὶ ᾠδῆς, ῥᾴον ἅπαντα ἐνεγκεῖν δυναμένης τὰ ὀχληρὰ καὶ ὀδυνηρά. ἐπεὶ οὖν οἰκείως ἡμῖν πρὸς τοῦτο ἔχει ἡ ἰδέα τῆς τέρψεως ἡ ψυχή· ἵνα μὴ πορνικὰ ἄσματα οἱ δαίμονες εἰσαγόντες ἅπαντα ἀνατρέπωσι, τοὺς ψαλμοὺς ἐπετείχισεν ὁ Θεός, ὥστε ὁμοῦ τὸ πρᾶγμα καὶ ὠφέλειαν ἔχειν. ἀπὸ μὲν γὰρ τῶν ἔξωθεν ἀσμάτων, βλάβη, καὶ ὄλεθρος, καὶ πολλὰ ἂν εἰσαχθείη δεινά· (τὰ γὰρ ἀσελγέστερα καὶ πονηρότερα τῶν ἀσμάτων τούτων τοῖς τῆς ψυχῆς μέρεσιν ἐγκόμενα, ἀθενεστέραν αὐτὴν καὶ μαλακωτέραν ποιοῦσιν) ἀπὸ δὲ τῶν ψαλμῶν τῶν πνευματικῶν, πολὺ μὲν τὸ κέρδος, πολλὴ δὲ ἡ ὠφέλεια, πολὺς δὲ ὁ ἁγιασμός, καὶ πάσης φιλοσοφίας ἐπίθεσις γίνοιτ' ἄν, τῶν τε ῥημάτων τὴν ψυχὴν ἐκκαθαιρόντων, τοῦ τε ἄλλου πνεύματος τῇ καταιθούσῃ καὶ ἐκλαμπούσῃ ψυχῇ. ὅπερ γὰρ μὴ συνέσεως ἅλλοντες τὴν τοῦ πνεύματος καλοῦσι χάριν, ἀκουσόντων τί φησιν ὁ Παῦλος· Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστὶν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι. ἐπήγαγε δὲ καὶ τοῦτον τὸν τρόπον τῆς πληρώσεως. ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. Οὐκ ἐστὶν, ἐν ταῖς καρδίαις ὑμῶν; μὴ συνέσεως, φησίν· ἵνα μὴ τὸ στόμα μὲν λαλῇ τὰ ῥήματα, ἡ δὲ διάνοια ᾖ ἔξω διατεῖνον πάντα χρόνον πλανωμένη, ἀλλ' ἵνα ἀκούῃ ἡ ψυχὴ τῆς γλώττης· καθάπερ ἔνδα μὲν βόρβορος, ἰχθῦσι πέφυκεν· ἔνδα δὲ ἀρώματα καὶ θυμιάματα, μέλιτται κατασκηνοῦσιν· ὅτως ἔνδα μὲν ἆσματα πορνικὰ, δαίμονες ὑπισχνοῦνται· ἔνδα δὲ μὴ πνευματικὰ, ἡ δὲ πνεύματος ἐφίσταται χάρις, καὶ τὸ στόμα καὶ τὴν ψυχὴν ἀγιάζει. Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε μόνον, ἀλλ' ἵνα καὶ παῖδας καὶ γυναῖκας τὰ τοιαῦτα διδάσκητε ἄσματα ᾄδειν, οὐκ ἐν ἰδίοις μόνον, οὐδὲ ἐν τοῖς ἄλλοις ἔργοις, ἀλλὰ μάλιστα ἐν τραπέζῃ. ὅπου γὰρ ὡς τὰ πολλὰ ἐν συμποσίοις ὁ ἀκόλαστος ἐφέδρευει, μέθην, καὶ ἀδηφαγίαν ἔχων αὐτῷ συμμαχοῦσαν, καὶ γέλωτα ἄτακτον, καὶ ψυχὴν ἀνευθύνως, μάλιστα τότε δεῖ καὶ τοῦ τραπέζης, καὶ μὴ τραπέζαν ὑπεστηρίζειν αὐτῷ τινὰ ἀπὸ τῶν ψαλμῶν ἀσφάλειαν, καὶ χαίνῃ μὴ τῆς γυναικὸς καὶ τῶν παίδων ἀναπαύσας ἀπὸ τοῦ συμποσίου, τοῦ ἱερέως ᾄδειν ὕμνους τῷ Θεῷ. Εἰ γὰρ ὁ Παῦλος μάστιγας ἔχων ἀφορήτους ὑπεστηρίζετο, καὶ ξύλῳ προσδεδεμένος, καὶ δεσμωτηρίου οἴκῳ, ἐν μέσῃ νυκτὶ (ὅτε μάλιστα γλυκὺς ὁ ὕπνος ἐφίσταται πᾶσι) μὴ τοῦ Σίλα διετέλει τὸν Θεὸν ὑμνῶν, καὶ ὅτε ἀπὸ τοῦ τόπου, ὅτε ἀπὸ τοῦ χειροῦ,

Ἐφ. ε. ιζ.

Ματθ. ιε. κα.

ὅτε

ὅτε ἀπὸ τῆς Φεγγίδος, ὅτε ἀπὸ τῆς τυφλίδος τοῦ ὕπνου, ὅτε ἀπὸ τῆς ἀληδόνος τῶν πόνων σκείων, ὅτε ἄλλοθεν ὁδαμόθεν ἰωὰ καὶ ἀδὴ καὶ ὑφὴ καὶ μελῳδίας· πολλῷ μᾶλλον ἡμᾶς ὑφεκνοιμῶσας, καὶ τῶν ἀγαθῶν ἀπολαύοντας τοῦ Θεοῦ, ὑμνους ἀναπέμπειν αὐτῷ χρὴ, ἵνα καὶ τι γλύπται ⟨W⟩δὰ τῆς μέθης καὶ τῆς ἀδηφαγίας ἄτοπον εἰς τὸ ψυχικὸ τὸ ἡμέτερον, τῆς ψαλμῳδίας ἐπεισελθούσης, ἀποπνιγῶσι πάντα σκεῦνα τὰ ἄτοπα καὶ πονηρὰ βουλεύματα· καθάπερ πολλοὶ τῶν πλουσίων τὸ ἀσυγχίδιον βαλσάμου πλήσαντες ὅταν ταῖς τραπέζαις ἀπομάσσουσιν, ἵνα εἴ τις ἀπὸ τῶν ἐδεσμάτων γλύπται κνίς, ⟨W⟩δασυρθῇ καθαρὰν δείξῃ τὴν τράπεζαν· οὕτω καὶ ἡμεῖς ποιῶμεν, αντὶ βαλσάμου τὸ στόμα ἐμπλήσαντες μελῳδίας πνευματικῆς, ἵνα εἴ τις ἐγλύφετο κνίς ἀπὸ τῆς ἀδηφαγίας ἐν τῇ ψυχῇ, διὰ τῆς μελῳδίας ἀποσμήχωμεν ἐκείνης, καὶ λέγωμεν καινῆ ⟨W⟩άντες· Εὐφρανας ἡμᾶς, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιασόμεθα. καὶ διὰ μὴ τὴν ψαλμῳδίαν ⟨W⟩θσκεύωμεν, ἵνα μὴ τὴν ψυχῆς καὶ τὴν οἰκίαν αὐτὴν ἀγιάζωμεν. ὥσπερ γὰρ ⟨W⟩ μίμους, ἢ ὀρχηστὰς, καὶ πόρνας γυναῖκας εἰς τὰ συμπόσια εἰσάγοντες, δαίμονας καὶ ⟨W⟩ δχέβολον ἐκεῖ καλοῦσι, καὶ μυρίων πολέμων ταῖς αὐτῶν ἐμπιπλῶσιν οἰκίας (ἐντεῦθεν γεγόνασι ζηλοτυπίαι καὶ μοιχεῖαι καὶ πορνεῖαι καὶ τὰ μυρία δεινά) ὅτως ⟨W⟩ Δαβὶδ καλοῦντες μὴ τὴν κιθάραν, ἔνδον ⟨W⟩ Χριστὸν δι' αὐτῆς καλοῦσιν. ὅπερ ἦν ὁ Χριστὸς, δαίμων μὲν οὐδεὶς ἐπεισελθεῖν, μᾶλλον ἢ ⟨W⟩θρασύνασθαι τολμήσειέ ποτε· εἰρήνη ἦν καὶ ἀγάπη καὶ πάντα ὥσπερ ἐκ πηγῶν ἥξει τὰ ἀγαθά. ἐκεῖνοι ποιοῦσι θεάτρου τὸν οἶκον αὐτῶν· σὺ ποίησον ἐκκλησίαν τὸ δωμάτιόν σου. ἔνθα γὰρ ψαλμὸς, καὶ ᾠδὴ, καὶ ⟨W⟩θφητῶν χορεία, καὶ δχέβολος τῶν ἀδόντων θεοφιλὴς, οὐκ ἂν τις ἁμάρτοι τὸν ζωοδοτὴν ταύτην ⟨W⟩θστεπτὸν ἐκκλησίαν. καὶ μὴ εἰδῆς τὴν δυνάμιν τῶν ῥημάτων, αὐτὸ τοῦτό σοι παίδευσον τὰ ῥήματα λέγειν. ἀγιάζει γὰρ ἡ δχὰ ῥημάτων ἡ γλῶττα, ὅταν μὴ ⟨W⟩θυμίας ταῦτα λέγηται. ἐὰν εἰς ταύτην ἑαυτὸν καταχήσωμεν τὴν συνήθειαν, οὐδὲ ἐκόντες, οὐδὲ ῥαθυμοῦντες ποτε ⟨W⟩θησόμεθα τὴν καλὴν ταύτην λειτουργίαν, τὸ ἔθος καὶ ἀνάγκην ἡμᾶς ἀναγκάζοντος καθ' ἑκάστην ἡμέραν τὴν καλὴν ταύτην ὑπουργῆσαι. ὑπὲρ τῆς μελῳδίας ταύτης, κἂν γεγεσκὼς ὦς ἦς, κἂν νέος, κἂν δασύφωνος, κἂν ῥυθμοῦ πάντος ἄπειρος, οὐδὲν ἔγκλημα ἔχεις. ὁ γὰρ ζητούμενον ἐν ταῦτα, ψυχὴ νήφουσα, διεγηγερμένη δχέβολος, καρδία κατανενυγμένη, λογισμὸς ἐρρωμένος, ζωηδὴς ἐκκεκαθαρμένον. ἐὰν οὖν ταύτην ἔχων εἰσέλθῃς εἰς ⟨W⟩ ἅγιον τοῦ Θεοῦ χορὸν, πρὸ αὐτὸν δυνήσῃ εἰπεῖν ⟨W⟩ Δαβίδ. σπαθᾶ γὰρ ἡ χεὶρ κιθάρας, οὐδὲ νεύρων τεταμένων, ὅτε πλήκτρου καὶ τέχνης, οὐδὲ ὀργάνων ἰωὰν· ἀλλ' ἐὰν θέλῃς, σὺ σαυτὸν ἐργάσῃ κιθάραν, νεκρώσας τὰ μέλη τῆς σαρκὸς, καὶ πολλῷ τῷ σώματι ⟨W⟩θὲς τὸν ψυχικὸν ποιήσας τὸν συμφωνίαν. ὅταν γὰρ μὴ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος ἡ σὰρξ, ἀλλ' εἶχη τοῖς ἐπιτάγμασι τοῖς ἐκείνου, καὶ εἰς πέρας ἀγῇ ταύτην ἐπὶ τὴν ἀρίστην καὶ θαυμασὴν ὁδὸν, ὅτως ἐργάσῃ μελῳδίαν πνευματικήν. ὁ χεὶρ τέχνης ἐν ταῦτα χρόνῳ μακρῷ κατορθουμένης, ἀλλὰ ⟨W⟩θαιρέσεως δεῖ ψυχικῆς μόνον, καὶ ⟨W⟩ δεξώμεθα τὴν ἐμπειρίαν ἐν βεβαιοῖ καὶ εὐθεῖ ῥοπῇ. ὁ χεὶρ τόπου, ὁ χεὶρ χρόνου, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ, καὶ ἐν παντὶ καιρῷ θαλλεῖν ἔχεις τὴν δχέβολον. καὶ γὰρ ἐν ἀγορᾷ βαδίζῃς, καὶ ἐν ὁδοῖς ἦς, καὶ φίλοις συνεδρεύῃς, ἔχεις διείραν τὴν ψυχὴν, ἔχεις σιγῶντα βοᾶν. ὅτω καὶ ὁ Μωϋσῆς ἐβόα, καὶ ὁ Θεὸς ἤκουσε. καὶ ἐν χειροτέχνης ἦς, ἐν ἐργασηρίῳ καθήμενος καὶ ἐργαζόμενος, δυνῇ θαλλεῖν. καὶ στρατιώτης ἦς, ἐν διχασηρίῳ ⟨W⟩θεσεδρεύων, δυνήσῃ τὸ αὐτὸ τοῦτο ποιῆν. ἔχεις καὶ χωρὶς φωνῆς θαλλεῖν, τῆς διανοίας ἔνδον ἠχούσης. ὁ γὰρ ἀνθρώποις θαλλόμεν, ἀλλὰ Θεῷ τῷ δυναμένῳ

Ψδ. ιζ. δ.

Γδ. ε. ιζ.

Ψδ. λγ. α. Μθ. κ. α. ιδ.

Ἐξοδ. ιδ. ιδ.

δυναμιν ὡς καρδίας ἀκηδίας, καὶ εἰς τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν εἰσελθεῖν. ὃ
Ρωμ. κε. ταῦτα Παῦλος ἐνδεικνύμενος βοᾷ, λέγων· Αὐτὸ τὸ πνεῦμα συνυμνεῖ τῷ πνεύματι ἡμῶν γεναγμοῖς ἀλαλήτοις. ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν συντυγχάνει ὑπὲρ ἁγίων. τοῦτο δὲ ἔλεγεν, ὅτι οὐκ ὀφθῆναι τὸ πνεῦμα ἐκπαιδεύει, ἀλλ' ὀφθῆναι τοὺς πνευματικοὺς ἄνδρας, τοὺς τὰ χείσματα τοῦ πνεύματος ἔχοντας, ὑπὲρ τῶν πλησίον εὐχομένους, καὶ τὰς ἱκετηρίας ἀναφέροντας, μετὰ κατανύξεως καὶ γεναγμοῦ τοῦτο ἐποίουν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ καθ' ἑκάστην ἡμέραν συντυγχάνωμεν τῷ Θεῷ ὑπέρ τε φαλμοῦ καὶ εὐχῶν. ἵνα δὲ μὴ τὰ ῥήματα μόνον προσφέρωμεν, ἀλλὰ καὶ δυνάμει αὐτῶν εἰδῶμεν τῶν ῥήσεων, φέρε, τὸ προοίμιον αὐτὸ τοῦ φαλμοῦ εἰς μέσον ἀγάγωμεν. οἶδα οὖν ὅτι τὸ προοίμιον; οὐ βάπον ὀπτοποιεῖ ἡ ἔλαφος ὀπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ὀπτοποιεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. τοιοῦτον τῶν ἐρώντων τὸ ἔθος, μὴ κατέχειν σιγῇ τὸ ἔρωτα, ἀλλ' εἰς τὸν πλησίον ἐκφέρειν, καὶ λέγειν ὅτι φιλοῦσι. θερμὸν γὰρ τὸ πρᾶγμα τῆς ἀγάπης ἡ φύσις, καὶ σιγῇ τέγειν αὐτὸ οὐκ ἀνέχεται ἡ ψυχή. διὰ τοῦτο καὶ Παῦ-
Α Κορ. ε ια. λος ἔλεγε Κορινθίοις φιλῶν· Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι· τουτέστι, τέγειν καὶ σιγῇ κατέχειν τὸ ἀγάπην οὐ δυνάμεθα, ἀλλὰ διὰ πάντος ὑμᾶς, καὶ πάντα-
χοῦ, καὶ ὅτι τῆς διανοίας, καὶ ὅτι τῆς γλώττης πρεσφέρω. οὕτω καὶ ὁ μακάριος τοῦτ' ἐφιλῶν Ⓦ Θεόν, καὶ καμόμενος ἐν τῷ φιλεῖν, οὐκ ἀνέχεται σιγᾶν, ἀλλά ποτε μὲν φησιν· οὖν βάπον ὀπτοποιεῖ ἡ ἔλαφος ὀπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ὀπτοποιεῖ ἡ ψυχή μου πρός
Ψαλμ. ξβ. α. σέ, ὁ Θεός· ποτὲ δὲ, Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυχή μου, ὡς γῆ ἄβατος καὶ ἄυδρος καὶ ἔρημος. οὕτω γὰρ ἕτερος τῶν ἐρωτώντων εἶπεν. ὀπτὸν γὰρ λέγω πα-
ρεσχῆσαι Ⓦ ἔρωτα οὐκ ἰσχύει, πρὸς ἔρχεται ζητῶν ὑπόδειγμα, ἵνα καὶ οὕτω τὸ φιλεῖν ἡμῖν ἐνδείξηται, καὶ χαυνωνοὺς ποιήσῃ τοῦ ἔρωτος. πειθώμεθα τοίνυν αὐτῷ, καὶ μαθώμεν πῶς ἐρᾷν. καὶ μή μοι λεγέτω τις· καὶ πῶς δυνάμεθα φιλεῖν τὸν Θεόν, ὃν οὐ βλέπω; καὶ γὰρ πολλοὶ οὐχ ὁρῶντες φιλοῦσιν, οἷον τοὺς ἐν ἀποδημίᾳ φίλους ὄντας ἡμῶν, ἢ παῖδας καὶ πατέρας, ἢ συγγενεῖς καὶ οἰκείους· καὶ τοίνυν γίνεται κώλυμα οὐ τοῦ μὴ ὁρᾶν, ἀλλ' αὐτὸ δὴ τοῦτο μᾶλιστα σκήπτει τὸ φιλεῖν, αὔξει Ⓦ πόθον. διὰ τοῦτο καὶ πρὸς Μωϋσέως λέγει
Εβρ. ια. κε. κς. ὁ Παῦλος, ὅτι καταλιπὼν θησαυρούς, καὶ πλοῦτον, καὶ βασιλείας προεφείσθη τῶν ἀλλων ἁπασῶν λαμπρότητα τῷ ἐν Αἰγύπτῳ, εἵλετο μετὰ τῶν Ἰουδαίων κακουχεῖσθαι. εἶτα τὸν αἰτίαν ἡμᾶς διδάσκων, ὅτι δὴ ταῦτα πάντα ἐποίει διὰ Ⓦ Θεόν, προσέθηκε· Ⓦ γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει. οὐχ ὁρᾷς Ⓦ Θεόν, ἀλλ' ὁρᾷς τὰ δημιουργήματα, ὁρᾷς αὐτοῦ τὰ ἔργα, οὐρανόν, καὶ γῆν, καὶ θάλατταν. ὁ δὲ φιλῶν, κἂν ἔργων ἴδῃ τῶν φιλουμένου, κἂν ὑπόδημα, κἂν ἱμάτιον, κἂν ὁποιονοῦν ἕτερον, διὰ θερμαίνεται. οὐχ ὁρᾷς Ⓦ Θεόν, ἀλλ' ὁρᾷς αὐτοῦ τοὺς οἰκέτας, τοὺς φίλους, τοὺς ἁγίους ἄνδρας λέγω δὲ προφήτας ἔχοντας. θεράπευσον ἐκείνους μόνον, καὶ ἕξεις τὸ πόθου θαμβίαν καὶ τὴν τυχοῦσαν. καὶ γὰρ ἐπ' ἀνθρώπων, οὐχὶ τοὺς φίλους ἡμῶν μόνον, ἀλλὰ καὶ τοὺς τῶν ἐκείνων φιλουμένους φιλῶ εἰώθαμεν. κἂν εἴπῃ τις τῶν ἐρωμένων τῶν ἡμετέρων, ὅτι Ⓦ δεῖπνα φιλῶ, κἂν ἐκφύσῃ μὲ πάθη χρηστὸν, ἐγὼ τῆς εὐεργεσίας ἀπολαύειν νομίζω· πάντα ποιοῦμεν καὶ προσματευόμεθα, ὥσπερ αὐτὸν Ⓦ ἐρώμενον ὁρῶντες, ὅτω πᾶσαν πρὸ ἐκφύγον ὑπιδείξασθαι σπουδήν. ἔξεστι τοῦτο καὶ ὀπὶ τὸν Χριστὸν κατορθῶσαι νῦν. εἶπεν, ὅτι
Ματθ. ιθ. κα. καὶ κφ. κε. λε. τοὺν πένητας φιλῶ· κἂν ὅτοί τι πάθωσιν ἀγαθὸν, ὡς αὐτὸς ἀπολελαυκὼς, οὕτως ἀπο-
δίδωμί τὴν ἀμοιβήν. πάντα ποιήσωμεν ὑπὲρ τῆς εἰς αὐτοὺς θεραπείας· μᾶλλον δὲ πάντα τὰ ὄντα κενώσωμεν εἰς αὐτούς, πιστεύοντες ὡς τούτων Ⓦ Θεὸν πρέφειν. ὅτι γὰρ
Ματθ. κε. λε. αὐτὸς πρέφεται τούτων πρεφομένων, ἄκουσον τοῦ Χριστοῦ φησι. Πεινῶντά μὲ γὰρ εἴδε-

τε,

τέ, φησι, καὶ ἐφέλκεσθε· διηγῶνται, καὶ ἐποπίσατε· γυμνόν, καὶ περιβάλετε· καὶ πολλὰς ἔδωκεν ἡμῖν ἀφορμὰς τοῦ θαυμαζεῖσθαι ϖ̅ν πόθον τοῦ ἡμετέρου. ἄλλως τε, ϖ̅ν ἔρωτα τοῦ ἡμῖν τοιαῦτα ποιῆσαι ἐνόησεν· ἡ εὐμορφία σώματος, ἡ εὐεργεσίας μέγεθος, ἢ ὁ φιλεῖσθαι τοῦτο. τούτων γὰρ ἕκαστον, αὐτὸ καθ' ἑαυτὸ δυνάμεις ἐμποιῆσαι φίλων ἡμῖν. καὶν γὰρ μηδὲν ὠφελῶμεν οὗτοι παθόντες τοῦτό τινος, ἀκούωμεν γε μόνον ὅτι φιλοῦσιν ἡμᾶς τελείως, ἐπαινοῦμεν ἡμᾶς καὶ θαυμάζομεν, οὕτως αὐτοῖς συνηγωνίμεθα, καὶ συνεργοῦμεν ὡς εὐεργέταις. ὅτι δὲ Θεοῦ γε καὶ τοῦτο μόνον, ἀλλὰ τοιαῦτά ἐστιν ἰδεῖν μοι ὑπερβολὴν ἔχοντα, ὅσα οὐδὲ λόγος τοῦ θαρρῆσαι δυνήσεται. τοῦ γὰρ τὸν, τὸ κάλλος τῆς μακαρίας ἐκείνης καὶ ἀκηράτου φύσεως, ὅτι ἀμήχανόν πως ἐστὶ καὶ ἀμάχητον, πολλαχοῦ λόγου, καὶ πᾶσαν ἐκφεύγον διάνοιαν. κάλλος γὰρ ὅταν ἀκούσῃς, μηδὲν σωματικὸν ὑποπτεύσῃς, ἀλλ' ἀσώματόν τινα δόξαν, καὶ μεγαλοπρεπεστάτην ἀφεῶσαν. ταύτῃ γοῦν ἐκφαίνων ὁ προφήτης ἔλεγε· Καὶ τὰ στεφάνια ἐκείνην κύκλῳ αὐτοῦ, καὶ τὰς μὲν δυσὶ πέρυξι κατεκάλυπτον τὸ πρόσωπον, τοῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέτοντο, καὶ ἐκέκραγον· ἅγιος, ἅγιος, ἅγιος· ἀπὸ τοῦ ἐκπλήξεως, ἀπὸ τοῦ θαύματος, ἀπὸ τῆς ὑπερβολῆς ἐκείνης, ἀπὸ τῆς μεγαλοπρεπείας, ἀπὸ τῆς δόξης. καὶ πάλιν ὁ Δαβὶδ κατιδὼν αὐτὸ τὸ κάλλος τῆς μακαρίας ἐκείνης φύσεως, ἔλεγε· Πρόσχωσαν τὴν ῥομφαίαν σου ὅτι ϖ̅ μετὰ σοῦ, δυνατέ· τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. Ψαλμ. μδ'. δ'. β'. Ἐξοδ. λγ. γ'. Διὰ τοῦτο καὶ ὁ Μωϋσῆς ἐπεθύμει πολλάκις ἰδεῖν αὐτὸν, τοῦ φίλτρου πτωθεὶς τούτου, καὶ τῆς δόξης ἐρῶν ἐκείνης. Διὰ τοῦτο καὶ Φίλιππος ἔλεγε· Δεῖξον ἡμῖν ϖ̅ τὸν πατέρα, καὶ ἀρκεῖ Ἰω. ιδ'. α'. ἡμῖν. μᾶλλον δὲ ὅσα δεῖ εἰπεῖν, οὐδὲ μακρὸν, μᾶλλον δὲ οὐδὲ ἀμυδρόν τι ἴχνος τῆς ὑπερβολῆς ἐκείνης δυνησόμεθα. ἀλλὰ τὰς εὐεργεσίας βούλει καταλέξωμεν; ἀλλ' οὐδὲ ταύτας λόγος δυνήσεται. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· Χάρις τῷ Κυρίῳ, ὅτι τὴν ἀνεκδιήγητον αὐτοῦ δωρεάν. καὶ πάλιν· Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ πάλιν· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ἀλλὰ τὸ φίλτρον, ὃ πρὸς ἡμᾶς ἐπεδείξατο, ποῖος λόγος δυνήσεται; ἆρα γοῦν ἐκπλήττομαι ὁ Ἰωάννης ἔλεγεν· Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς ϖ̅ κόσμον, ὥστε ϖ̅ τὸν μονογενῆ ἔδωκεν. Εἰ δὲ βούλει καὶ ἀκοῦσαι αὐτοῦ τῶν ῥημάτων, καὶ τὸν πόθον μαθεῖν, ἄκουσον τί φησι διὰ τοῦ προφήτου· Μὴ ἐπλήσθη γῆ καὶ θάλασσα τῶν ἐλεημοσυνῶν τῆς χιλίας αὐτῆς; Εἰ δὲ καὶ ὑπελάβετο ταῦτα γεγενῆσθαι, ἀλλ' ἐγὼ οὐκ ὑπελήσομαί σοι. καὶ καθάπερ οὖν ἔλεγεν, οὐ βέβηκεν ὑπὸ ποδεῖ ἡ ἐλαφος ὅτι τὰς πηγὰς τοῦ ὑδάτων, οὕτως ὑπὸ ποδεῖ ἡ ψυχή μου πρός σε, ὁ Θεός· οὕτω καὶ ὁ Χριστὸς φησιν, Οὐ βέβηκεν ὑπισχνούμενος ὄρνις τὰ ἑαυτοῦ νοσσία ὑπὸ τὰς πέρυγας, οὕτως ἠθέλησα ὑπὸ συναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε. Καὶ πάλιν· Καθοὺς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· καὶ πάλιν· Ὅπου γὰρ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ὅτι τοὺς φοβουμένους αὐτόν. καὶ καθάπερ ὁ προφήτης ὑποδείγματα ζητεῖ, ἵνα ϖ̅ πόθον ὑπιδείξηται ϖ̅ ἑαυτοῦ· οὕτω καὶ ὁ Θεὸς ὑποδείγμασί τισι χέζεται, ἵνα ἡμῖν δηλώσῃ τὸν ἔρωτα, ὃν πρὸς τὴν ἡμετέραν σωτηρίαν ἔχει. καὶ ὁ μὲν προφήτης ἔλαφον εἶπε δηλῶσαι, καὶ γλαῦκα ἐκλεκαυμάνειν· ὁ δὲ Θεὸς, ὀρνίθων πρὸς νεοττοὺς φιλοτεκνίαν, καὶ πατέρων κηδεμονίαν, καὶ ὕψος οὐρανοῦ ἀπὸ τῆς γῆς, καὶ θυγατέρων μητέρων· οὐκ ὀλίγῳ τοσοῦτον φιλεῖ μόνον, ὅσον μήτηρ παῖδα, ἀλλ' ὀλίγῳ τούτων τῶν ὅρων τὰ ὑπερβάλλοντα καὶ τῶν ὑποδειγμάτων οὐκ ἔστι παρ' ἡμῖν ἕτερα μείζονα φιλίας τεκμήρια. ἐπεὶ οὐ τοσοῦτον φιλεῖ μόνον ἡμᾶς, ὅσον παιδία μήτηρ φιλοτεκνεῖ, ἀλλὰ πολλῷ πλέον,

Ετερος, Ὡς γῆ διψῶσα προσῆς σε ἀεί. τοῦτο γὰρ ὅτι ὁ διψῶν ὀφθαλμα. καὶ ἐν ταῖς συμφοραῖς δὲ ἐν ταῖς θυμηδίαις καὶ ἐν πάσῃ καιρῶν διαφορᾷ τὴν ἴσην ἐπιδεικνύμενον ἀσυνδίαν, φησι. Τί δέ ἐστιν, ὡς γῆ ἄνυδρός σοι; ὥσπερ γῆ διψῶσα τοῦ ὑετοῦ ἐφίεται, οὕτω κἀγὼ τῶν προσῆκόντων σοι ἐπιθυμῶ ἀκορέστως. μάλιστα δ' ταύτην αὐτοῦ ἐπέτεινε τὴν ὀρθυμίαν τῶν θλίψεων ὁ ὄγκος. διὸ καὶ ἀφῆκεν αὐτοῖς ὁ Θεὸς αὐξηθῆναι, τὴν πολλῶ προενοίαν ὀπτιδεικνύμενος. ὁ γὰρ ἐποίησε τὰ κλίσματα μόνον, ἀλλὰ δι' ἡμερῶν ὀπτιμελεῖται, καὶ ἀνύδρων, καὶ τῶν ἄλλων ἀπόρων. τοῦτο γοιῶν δὲ ὁ Παῦλος εἰδὼς ἔλεγεν· Εν αὐτῷ γὰρ ζῶμεν δὲ κινούμεθα καὶ ἐσμεν. καὶ πάλιν, Εν αὐτῷ τὰ πάντα συνέσηκε. δὲ ὁ Δαβὶδ, Πάντα προσῆς σε προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς καιρόν. δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δὲ σου τὸ πρόσωπον, ταραχθήσονται. καὶ πάλιν, Ο ὀπτιβλέπων ὀπτὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ ὁ Ησαΐας, Ο κατέχων ϖ γῆν τῆς γῆς. καὶ πρὸ πάντων δὲ ὁ Δεσπότης, Εαν μὴ Κύριος, φησιν, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν ϖ οἰκοδομοῦντες *. καὶ πάλιν, Ο κατοικίζων τρίσειν ἐν οἴκῳ μητέρα ὀπτὶ τέκνοις εὐφραινομένην. διὸ καὶ τοῦτο δὲ σείει τὴν γῆν, καὶ κραταιοῖ τὰ ὄρη ἀπόμοιος, τὴν διασωτείαν αὐτοῦ δηλῶν· σκοτοῖ δ' ϖ ἥλιον δὲ ἐκλείπειν ποιῶ, διὰ τοῦτο πάλιν τὴν δημιουργίαν αὐτοῦ ἀνακαινοῦντων. δὲ ἐν ταῖς γραφαῖς δ' ὡρᾶς ἥλιον δυναποδίζοντα, καὶ σελήνην μετ' αὐτοῦ πάλιν ἱσταμένην, καὶ πολλὰ ἕτερα θαύματα. ὅτε μὲν γὰρ αὐτοῦ ἡ γνῶσις ὅπως ἐκλέπτατο, τοιοῦτα ἐγίνετο· νυνὶ δ' οὐκ ἔτι χρεία τοιούτης τῆς διδασκαλίας, τῶν τοσούτων βοώντων καὶ δεικνύντων ϖ διαπαντὸς. Εἶδες ἐν Αἰγύπτῳ σκότος δὲ στοιχείων μεταβολάς; Εἰ δ' λέγοιεν τινες, ὅτι ἡ ἔκλειψις φυσικῶς, ἀλλ' ὑπὸ τοῦ Θεοῦ κελεύσαντος γίνεσθαι, εἰ πάτωσαν πῶς ἐν τῷ καιρῷ τοῦ σταυροῦ γέγονεν. ὁ γὰρ δὴ τῷ ὡρισμένῳ τότε καιρῷ, ἀλλ' ὅτε μάλιστα οὐκ ἦν ὧν ἀκόλουθον τῇ δρόμου φύσεως, ὅτε γίνεσθαι, παραφυσικαὶ δεκαπλασίας καὶ πλήρους ὄσης· αἱ δ' ἐκλείψεις ὑπὸ τοῦ γίνονται. ἀλλ' οὐκ αἰεὶ ἔγινεν. ὥστε δῆλον ὅτι καθάπερ τὰ ἄλλα τῇ τοῦ δημιουργοῦ προστάξει, οὕτω καὶ αἱ ἐκλείψεις ἅπασαι γίνονται. 7 Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Τί λέγεις; ἐπείγεις ϖ ἰαθῆναι τοῖς τὴν θεραπείαν; οὐδαμῶς. ἀλλ' ἔθος καὶ τοῦτο τοῖς θλιβομένοις ψυχαῖς, ὥσπερ καὶ τοῖς κάμνουσι τῶν ἀνθρώπων, προσκαλεῖν τοὺς ἰατροὺς, καὶ ὁ καιρὸς μὴ ἀπαιτῇ, καὶ ταχέως ἐπάγειν τὴν λύσιν. διὸ καὶ αὐτὸς τὴν αἴτησιν προσῆκεν, ἔλεγε, ἐξέλιπε τὸ πνεῦμά μου. καὶ τοι ὁ Θεὸς καὶ νεκρῶν ἐγείρειν δυνατὸς ὤν, πολλῶ μᾶλλον προσῆκε τελευτῆς. ἀλλ' ὅταν ἔφθιμοι εἰσὶν, ἡ ἀσθένεια τῆς φύ-

σεως

Πραξ. ιζ. κη. Κολ. α ιζ. Ψαλ. ρμδ. ιε.

Ησ. μ. κβ. Ψαλ. ρκε. α. Ψαλ ριβ. η.

στεως ἐντεῦθεν ἐλέγχεται. ἠδει μὲν γὰρ ὅτι αὐτῷ πάντα ῥᾴδια, ἀλλ' οὐ φέρει τὴν ἐπαγωγὴν τῶν δεινῶν.

8 Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἐπεσε, Μὴ κρύψῃς τὸ πρόσωπόν σου *. Καὶ πόθεν ἡ ἀποστροφὴ γίνεται; αὐτὸς ὁ Θεὸς ἔφη τῷ Ἡσαΐου λέγει· μὴ σὸν ἰσχύει ἡ χείρ μου; ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διίστων ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. ἔστιν οὖν τι πρόφασιν πονηρὰν, ἀποστρέφεται. καθαρὸς γάρ, φησιν, ὁ ὀφθαλμός σου, τοῦ μὴ ὁρᾶν πονηρά, καὶ ἐπιβλέπειν ἐπὶ πόνους δ' δυνήσῃ. Ησ.ξε.β. ἔφη τὸ ἀποστρέφεται καὶ σὺν ἀπονενοημένοις. ἔφη φησιν, Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πραῢν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; ταύτην τοίνυν διώκωμεν τὴν ἀρετὴν, ἵνα ἐπιστασώμεθα αὐτοῦ τὸ πρόσωπον· ἵνα μὴ καταπέσωμεν εἰς τὰ βάραθρα τῆς κακίας πολλοῦ τοῦ σκότους κατέχοντος. ἔστι καὶ πεσοῦσι ἀνελθεῖν. δεῖ τοίνυν τοῦτον καταπίπτοντας μὴ μένειν κάτω κειμένους. λάκκος δέ ἐστι βαλεπὰ θηρία ἔχων καὶ σκότους γέμων, τῆς ἁμαρτίας ἡ φύσις. τοῦτον οὖν βαλόντων τὴν γραφὴν τὰ ῥήματα, ἐκ τῆς αἱρέσεως ἐπιδῶμεν, καὶ τὰ χεῖρε ἀνάσπασώμεθα, καὶ καταπίσωμεν. πῶς δ' ἂν γένοιτο ὁδὸς ἀνοδος; ἂν καταπεσόντες μὴ καταφρονήσωμεν, μηδὲ ἀπογνῶμεν, ἀλλ' ἐπάδωμεν ἑαυτοῖς τὰ προφητικὰ ταῦτα· Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ πάλιν, Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· καὶ τούτοις τοῖς λογισμοῖς δήσαντες ἑαυτοὺς ἀνελκύσωμεν. Ιερεμ.κ.δ. ψαλ.ζ.δ.

9 Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Ἐπεσε, Ἀκουστὸν ποίησόν μοι ὀξὺ ὄρθρου τὸ ἔλεός σου· τουτέστι, ταχέως. εἶδες θλυβομένων ψυχὴν καὶ θορυβουμένην; πρὸ τῆς πείρας ἀκοῦσαι βούλεται, ὥστε παῦσαι ἐλπίσαι ὀργισθῆναι καὶ τῇ προσδοκίᾳ. ὃ δὴ λέγει, τοῦτο ἔστιν· ἀνάστησόν με ἀπὸ τῆς ἐπαγγελίας. εἶτα καὶ τὴν δικαιολογίαν τοῦ τυχεῖν προσίησι λέγων, ὅτι ἐπὶ σοὶ ἤλπισα. οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ἐπιζητεῖ, ὡς τὸ διηνεκῶς πρὸς αὐτὸν κεκτημένους.

10 Γνώρισόν μοι, Κύριε, ὁδὸν ἣν πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Τί λέγεις; καὶ τῆς φύσεως ἐχούσης τὸν νόμον ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ ἐντεθέντα, καὶ τῶν γραμμάτων αὐτὸν δυσωπούντων τὴν Μωσαϊκὴν, πῶς ἀξιοῖς λέγων πάλιν, γνώρισόν μοι, Κύριε, ὁδὸν ἣν πορεύσομαι; ἢ οὖν τοῦτο ἔστιν εἰπεῖν· ἐπεὶ ὑπὸ τῆς κακίας κατεχόμεθα μυρίοις ὁδοῖς, ἀξίωσον αὐτὸ δυσωπεῖσθαι· ἢ ὁδὸν ἐν ταύτῃ τὰ πολλὰ τῶν ἀγνοουμένων αὐτοῖς λέγει· ὥσπερ καὶ Παῦλος δείκνυσι λέγων· Τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν. εἰ γὰρ Παῦλος ἀγνοεῖ μὴ τοσαύτην γνῶσιν, τί θαυμάζεις εἰ σοῦ; ὅρα γὰρ αὐτὸν οὐδὲν ἀγαθὸν ἐν ταύτῃ ζητοῦντα, ἀλλὰ τὴν ὁδὸν τὴν πρὸς Θεὸν φέρουσαν, καὶ οἰκεῖον πρόσχημα τὰς ἕξεις. ὁ γὰρ ἁπλῶς εἶπε, γνώρισόν μοι, Κύριε, τὴν ὁδὸν τὴν φέρουσαν, ἀλλὰ τί; ὅπως πρὸς σὲ ἦρα τὴν ψυχήν μου· τουτέστι, πρὸς σὲ κέκτημαι, πρὸς σὲ βλέπω. τούτοις γὰρ μάλιστα ὁ Θεὸς γνωρίζει. διὸ πρὸς Ἰουδαίους ἔλεγεν, ἐρωτῶμενος ὅπως τὰ ἐν παραβολαῖς λαλῇ αὐτοῖς· ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι. ὃ δὴ ἦρα, μετέστησα ἢ μετέθηκα πρὸς σὲ τὴν ψυχήν μου δι' ὅτιν.

11 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σε κατέφυγον.

Ὅρα πάντα χρὴ τὰς αἰτίας καὶ τὰ δι' ἃ δεόμεθα προσφέρεσθαι. μὴ ἀποστρέψῃς, φησὶ, τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ὅτι ἤλπισα ὅτι σέ. γνώρισόν μοι ὁδὸν, ὅτι πρός σε ἦρα τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὅτι πρός σε κατέφυγον. κεφ.

Δίδαξόν

Δίδαξόν με τὸ ποιῆν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Οὐκ εἶπε, δίδαξόν με τὸ θέλημά σου ἁπλῶς, ἀλλὰ τὸ ποιῆν τὸ θέλημά σου· τοῦτ-έστιν, εἰς τὰ ἔργα αὐτὰ ἐμβίβασον. τῆς γὰρ ἄνωθεν ῥοπῆς χρεία καὶ τῆς ἐκεῖθεν διδασκαλίας, ὥστε βαδίζειν τὴν ὑπὸ τὴν ἀρετὴν φέρουσαν ὁδόν, οὐχ ἡμῶν ἀρχόντων, ἀλλὰ καὶ ἡμῶν τὰ παρ' ἑαυτῶν εἰσφερόντων. ὅτι σὺ εἶ ὁ Θεός μου. ὁρᾷς τὰς αἰτήσεις αὐτοῦ πνευματικάς; οὐ γὰρ τοιούτων χρημάτων καὶ δωματείας καὶ δόξης, ἀλλ' ὑπὲρ τοῦ τὸ θέλημα ποιῆσαι τὸ Θεοῦ παρεσκεύασε τὴν αἴτησιν, ὅπερ ὄντως ἦσαν τῶν ἀγαθῶν ἀπόντων, καὶ πλούτου ἀνελλιποῦς, καὶ εὐημερίας ἀρχὴ, καὶ ῥίζα, καὶ μέση, καὶ τέλος.

12 Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ὁρᾷς πῶς μανθάνομεν, πῶς διδασκόμεθα εὐθύνειν τὴν ὁδόν; διὰ τοῦ πνεύματος τοῦ ἁγίου. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· ἡμεῖς γὰρ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. ἐν γῇ εὐθείᾳ, καὶ μὴ τὴν ῥᾳστώνην, τὴν πατρίδα αὐτοῦ φησι· καὶ γὰρ ἀναγκαίαν, τὴν ὑπὸ τὴν ἀρετὴν φέρουσαν ὁδόν. ἄλλος δέ φησι, διὰ γῆς ὁμαλῆς. ὅθεν γὰρ λειότερον ἀρετῆς, θορύβων ἀπηλλαγμένης καὶ ταραχῆς.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ὁρᾷς πάλιν ὑπὸ ϖ Κύριον καταφεύγοντα, ὑπὲρ ῥητορείαν βίου θαρροῦντα. 13 Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Ἄλλος, Ἐν τῇ ἐλεημοσύνῃ σου. Ὁρᾷς πῶς ἀληθὲς ὄντως ἐμπεφάθεν ἔλεγεν, ὅτι πολλαχοῦ τὴν δικαιοσύνην φίλαν θεσπίαν καλεῖ; ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. οὐχεσθε γάρ, φησι, μὴ εἰσελθεῖν εἰς πειρασμόν.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου.

Οὐκ ἐπειδή, φησιν, ἐγὼ ἄξιος, ἀλλὰ διὰ τὴν σὴν φίλαν θεσπίδα ἀπάλλαξόν με τῶν πολεμούντων με, ἐλευθέρωσον τῶν ὑπεναντίων, δὸς ἀναπνεῦσαι μικρὸν ἀπὸ τῆς θλίψεως. 14 Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σῶ εἰμι.

Ὅρα πάλιν τὴν αἰτίαν εἰμήνιον. οὐ γάρ ὅτιν ἁπλῶς ἐπιτυγχάνειν τῶν αἰτήσεων, ἀλλὰ πάντα χοῦ παιδεύειν ἑαυτοὺς ἀξίους γενέσθαι τοῦ λαμβάνειν ἅπερ αἰτοῦμεν, καὶ τὰ πρὸς ἑαυτῶν συνεισφέρειν, καὶ οὕτω παρεσκευάσθαι. οὐ γὰρ ἀρκεῖ μόνον τῆς εὐχῆς ἡ φύσις. ἐπεὶ καὶ Ἰουδαῖοι ηὔχοντο, καὶ ἤκουον· Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. καὶ τί θαυμάζεις εἰ Ἰουδαῖοι οὐκ ἠκούοντο; ὅπου γε καὶ Ἱερεμίας ὑπὲρ αὐτῶν παρακαλῶν ἐπετιμᾶτο, καὶ ἀπαλλάττεται καὶ δὶς ἀκούει· μὴ παρεσύρῃ περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου. καὶ τί θαυμάζεις εἰ Ἱερεμίας οὐκ ἐπεισακούσετο; καὶ Νῶε, φησι, καὶ Ἰὼβ, καὶ Δανιὴλ τῶν, γόνυ αὐτῶν καὶ δυνατέρας ὄντας μὴ ἐξέλωνται. ταῦτα τοίνυν εἰδότες, μὴ μόνον εὐχώμεθα, ἀλλὰ μετὰ τῶν εὐχῶν, ἀξίους ἑαυτοὺς παιδεύωμεν τοῦ λαβεῖν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψδμ. ρμτ. 1 ΕΥΛΟΓΗΤΟΣ ΚΥΡΙΟΣ Ο ΘΕΟΣ ΜΟΥ, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, καὶ δακτύλους μου εἰς πόλεμον.

Τί λέγεις; πολέμων διδάσκαλος ὁ Θεὸς καὶ μάχης καὶ παρατάξεως; μάλιστα μὲν οὐκ ἀνθρώπου καὶ τινὸς ἐν τούτοις νικῶν αὐτὸς λογιζόμενος. τοῦτο γάρ ἐστιν, ὁ διδάσκων τὰς χεῖράς μου· τουτέστιν, ὁ ποιῶν εὐδοκιμεῖσθαι τῶν πολεμίων, κρατεῖν, ἔσπαιον ἐγείρειν. καὶ γὰρ νενίκηκε Γολιάθ καταβαλών, ἐκεῖνος ἰδοὺ ὁ τῆς νίκης αἴτιος· καὶ ἰδοὺ πολλοὺς πολέμους κατώρθωσε, καὶ ἔσπαια ἔστησε, καὶ αὐτόφορος εἵλε πολεμίας ἰσχυρὰς πόλεις, οὓς αὐτῶν κρατῆσαι ἐποίησε. διὸ καὶ ᾄδων ἔλεγε, Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. καὶ ὅπερ τῷ Μωϋσέως ἦν πολλὰ τοιαῦτα εἰργάσατο. πλὴν ἀλλ' ἔστι καὶ ἕτερος πόλεμος τούτου χαλεπώτερος, ἔνθα ἡμῖν μάλιστα τῆς ἄνωθεν ῥοπῆς δεῖ· ὅταν γὰρ τοῖς ἀντικειμένοις παρατάττωμεθα δυνάμεις. ὅπερ ἦν τοῖς τότε ἡμῖν ἐστὶ πόλεμος, ἄνωθεν Παύλου λέγοντος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. Διὰ τοῦτο καὶ χαλεπώτερος, ὅτι δὴ ἑτέρας φύσεως αἱ φάλαγγες, καὶ ταύτης ἀοράτου· καὶ ὅπου γε πρὸς μαρῶν ὁ ἀγών, ἀλλὰ πρὸς σωτηρίας καὶ ἀπωλείας. ἐνταῦθα οὐκ ἔστι τοὺς σφαττομένους ἰδεῖν, οὐδὲ τραύματα θεάσασθαι, οὐ τόπον, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ἐν γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ παίζόντων καὶ ῥᾳθυμούντων ὁπόθεν) αὗται αἱ φάλαγγες. ὥστε διὰ πάντος δεῖ πεφραγμένους εἶναι). οὐ γὰρ οἶδεν ἀνακωχὴν ὁ πόλεμος, οὐκ ἔχει κήρυκας, οὐδὲ πρέσβεις, οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ἀκήρυκτός ἐστιν ἡ μάχη. διὸ μάλιστα πάντοθεν φράττεσθαι καὶ τρέφεσθαι δυτόνως χρή. Ἔφη δὲ τὸ πολέμου τοῦτο καὶ ὅπλα τῶν τοιούτων γραπτῶν, τὰ θείων γραφῶν ἡ ἀκρόασις. Ταύτης ὁ μὴ ἀπολαύων, λιμῷ τήκεται. Δώσω γάρ αὐτοῖς, φησιν, ὃ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγου Κυρίου. καὶ ἐνταῦθα τοίνυν, ὥσπερ καὶ ἐν τοῖς ἀληθινοῖς πολέμοις, τῆς ἄνωθεν χρεία ῥοπῆς. Οὐ σώζει γάρ, φησι, βασιλεὺς διὰ πολλὴν δύναμιν, οὐ γίγας διὰ σώματος) ἀλλ' πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ διὰ σωθήσεται). διὰ τοῦτο γοῦν οἱ πολλοὶ τῶν πολεμίους ἐβούλοντο πρότερον, θύλῳ προπορευομένῳ καὶ τὰς πολεμίας φάλαγγας καταβάλλοντι.

Ψαλ. κγ. ιε. Ἐφ. ϛ. ιβ. Ἀμὼς. η. ια. Ψαλ. λβ. ιϛ.

2 Ἔλεός μου καὶ καταφυγή μου· ἀντιλήπτωρ μου καὶ ῥύστης μου.

Ὁρᾷς πάλιν ἀπὸ φιλανθρωπίας ἀξιοῦντα σώζεσθαι; μᾶλλον δὲ καὶ ἕτερόν τι ἐνταῦθα αἰνίττεται)*. δείκνυσι γὰρ διὰ τούτου καὶ λέγει, ὅτι οὐδὲ αὐτοῦ τοῦ ἐλέους ἄξιος ἦμεν, εἰ μὴ αὐτὸς ἐπένευσεν. αὐτὸς οὖν ἐστιν ὁ ἔλεός μου, φησιν. οὐκ ἐγὼ ἔσχον αὐτὸν ἐν τοῖς ἔργοις. Εἰ γὰρ καὶ ἔλεός ἐστιν, ἀλλ' οὐκ ἄκριτος ἅπασιν ἔπεισιν. ἐλεήσω γάρ, φησιν, οὓς θέλω ἐλεῶ, καὶ οἰκτειρήσω οὓς θέλω οἰκτείρω. δεῖ τοίνυν, εἰ μέλλομεν, πρέχειν τὰς ἀφορμὰς οἴκοθεν τῆς τοιαύτης φιλανθρωπίας. διὸ καὶ αὐτὸ τὸ ἐλεηθῆναι πρὸς αὐτοῦ ἔχειν λέγει. Εἶδες ζωντεπεμμένην ψυχήν; εἶδες γνώμην εὐγνώμονα, καὶ πῶς τὸ πνεῦμα ἀναπίπτει τῷ φιλανθρώπῳ Θεῷ; ἀντιλήπτωρ μου καὶ ῥύστης μου·

* πολλῆς φιλοσοφίας γέμει.

3 Ὑπεράσπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα.

Συνεχῶς εἰσφέρει τὴν ἐλπίδα τὴν εἰς αὐτόν, παιδεύων ἀπιστίας μὴ βαπτίζεσθαι τοῖς δεινοῖς, ἀλλὰ καὶ ἐν μέσαις ταῖς συμφοραῖς ἐκεῖ κεχηνέναι, μηδὲ ἀπαγορεύειν καὶ ἀναπεπτωκέναι. αὐτὸς γάρ ἐστιν ἀντιλήπτωρ καὶ ῥύστης· ὥστε κἂν μὴ πρὸς αὐτὰ τῶν δεινῶν τὰ προοίμια ἀντιλάβηται μηδὲ ῥύσηται), δεῖ θαρρεῖν. Εἰ τοίνυν αὐτός ἐστιν ἀντιλήπτωρ, πάντως ἀπαλλάξει τῶν δεινῶν. ἐλπὶς γὰρ μάλιστα τότε ἐστίν, ὅταν τῶν ὁρωμέ-

νων

νων εἰς ἀπάγνωσιν ἐμβαλλόντων αὐτὴ θαῤῥῆν καὶ τὸ μέλλοντος καθυβρίζῃ.

Ὁ καταπάσας λαὸν αὐτῷ καὶ ἐμέ. Καλῶς ὅπως εἶπε. καὶ γὰρ καὶ ἐνταῦθα τῆς δωρεᾶς βοηθείας, ὥστε εἶχεν τοὺς καταπόνους, καὶ μὴ σασαλεύειν μηδὲ καταξανίσασθαι. οὐκ ἄρα ἐν τῇ τῶν ἐχθρῶν καὶ πολεμίων καταγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων πολλῆς ἡμῖν τῆς ἀνωθεν δεῖ ῥοπῆς. Ἐν γὰρ καὶ τοῦτο μέγα, τὸ τοὺς οἰκείους θῦ θαρρεῖναι, καὶ οὐκ ἐλαττον τῶν τῶν ἐχθρῶν καθεῖλθέσθαι. πολλοὶ γοῦν πολλάκις ἐν πολέμοις μὴ ὅπλα ἔσησαν, ἐν εἰρήνῃ δὲ κατεκόπησαν, τῶν ἀρχομένων οὐκ εἰδότες φέρειν τὰς ἡνίας. οὐκ ἄρα ἐν τῇ δυνάμει τῆς βασιλείας δεῖ τὸ καταπατᾶσθαι τὰ στρατόπεδα, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ. ὥσπερ δὲ ἀπὸ ταύτης αἱ τῶν πολεμίων νίκαι, οὕτω δὲ αἱ τῶν οἰκείων καταπατήσεις. 4 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; Ετερος, Τί ἄνθρωπος, καὶ γνώσῃ αὐτόν; Ετερος, Οὐ γνωείζεις αὐτόν; Ἆρα μέγαν λαὸν ἐν χερὶ μέλλοντα Θεὸν γνωείζειν, μᾶλλον δὲ μέλλοντα γνωείζεσθαι πρὸς αὐτόν· ὃ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ σκῆνος, ᾧ μέλλει γνωρίζειν ἑαυτὸν ὁ Θεός. διὸ καὶ ἄνεισα εἰρήκασιν οἱ ἑβδομήκοντα τό, ἐγνώσθης αὐτῷ, δεικνύντες ὅτι οὐκ ἡμεῖς αὐτὸν εὕρομεν, ἀλλ' αὐτὸς ἡμῖν εὑρέθη. Ἃ γὰρ εἶπε, Τί ἐστιν ἄνθρωπος ὁ γνωείσας σε, ἀλλὰ τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; διὸ καὶ ὁ Παῦλος ἄνω καὶ κάτω συνεχῶς τοῦτο ἐπιστρέφει λέγων, Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπιγνώσθην. καὶ αὐτὸς δὲ ὁ Χριστός, Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. καὶ ἑτέρωθι δὲ πάλιν ὁ Παῦλος, Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. διὰ δὴ τοῦτο καὶ συνεχῶς ἑαυτὸν ἄνω καὶ κάτω κλητὸν λέγει, δεικνὺς ὅτι οὐκ αὐτὸς ἐπέδραμεν, ἀλλὰ προέτερον ἐκλήθη. ὅπου καὶ ἀλλαχοῦ φησι· Διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην. οὐκ εἶπε, κατέλαβον, ἀλλὰ κατελήφθην. πῶς δὲ λέγει οὗτος, Τί ἐστιν ἄνθρωπος; καὶ τοι ἄλλος φησί, μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων· καὶ ἄλλος, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. ἡ γὰρ τῶν κλίσεως ἀπάσης τιμὴ ὑπεραίρει ἔλαχε. Εἰσὶ δέ τινες ὧν οὗτος ὁ κόσμος ἀτάξιος. ἀλλ' οὐκ ἀνάγκη μὴ προσέρετης, ἡ ὅταν τινὲς αὐτῶν ὑπεδείξωνται· Τί δὲ ἐστιν ἄνθρωπος, προσὶ τῆς φύσεως εἰρήσθω). καὶ μὴ καὶ ἡ φύσις μεγάλη. μεγάλη μὲν, ἀλλ' ἐὰν τινὰ γνώσιν ἴδῃς, ἧς κατηξιώθη, πολὺ καταδεεστέρα ταύτης. ἀκουέτωσαν αἱρετικοὶ παῖδες, ὅτι τοσαύτην μανίαν μαίνονται καὶ μέτρα ὑπερβαίνοντες ἑαυτοὺς, καὶ ἀγνοίαν ἐκάστην νοσοῦσι καὶ ὑπὲρ αὐτοὺς εἰδέναι φάσκοντες. ἔστι γὰρ ἐν ἀγνοίᾳ γνῶσιν, καὶ ἐν γνώσει ἀγνοίαν εἰ). καὶ Εἰ βούλεσθε, ὅπως τῶν αἰσθητῶν αὐτὸ γυμνάσωμεν. εἰπὲ γάρ μοι, ἐάν τις λέγῃ τινὰ θαλάττης διῶσθαι σκοπεῖν καὶ εἰδέναι πόσους ἔχῃ κυάθους, ἆρα οὐχ οὗτος μᾶλλόν ἐστιν ὁ ἀγνοῶν τί ποτέ ἐστι θαλάττα; ὁ δὲ λέγων μὴ εἰδέναι, ἀλλ' ἀπειρον αὐτῆς τὸ ἀριθμοῦ διατεινόμενος, οὗτος μᾶλλόν ἐστιν ὁ εἰδὼς τί ποτέ ἐστι θαλάττα. τί δὲ ὅτι τοῦ Θεοῦ; ἐὰν εἴπῃ τις, εἶδον τὸν Θεὸν καὶ ἑλαβον τῇ ὄψει τῇ ἐμῇ, ἆρ' οὐχ οὗτος μᾶλλόν ἐστιν ὁ ἀγνοῶν τὸν Θεόν, ὁ τὸ ἄῤῥητον ὑῆτὸν εἰ) λέγων, ἢ ὁ τοσοῦτον ἀφαιρούμενος; ἐὰν δέ τις ἄῤῥητον αὐτὸν εἴπῃ καὶ μηδένα δυνάσθαι ὁρᾶν, οὐχ οὗτος μᾶλλόν ἐστιν ὁ εἰδὼς; τί δὲ πάλιν; ἐάν τις ἀκαταλήπτον αὐτὸν εἴπῃ, ἕτερος δὲ καταλήψοιτο, ἆρ' οὐχ οὗτος μὲ ἔσται ἀγνοῶν, σκῆνος δὲ εἰδώς; οὐχ ὁρᾷς καὶ Παῦλον τούτῳ ἐρχόμενον τῷ ὁδῷ καὶ λέγοντα, οὐ μέρος γινώσκομεν, καὶ οὐ μέρος προφητεύομεν; λέγωσαν πόσα γέγονεν, ἵνα μάθωμεν τὸν Θεόν, καὶ τίς ἐστι τῶν ὄντων, ἀλλ' ὅτι ἐστί. τοῦτο γοῦν καὶ ὁ Παῦλος λέγει πιστεύσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστίν. καὶ κλίσις ἁπασα αὐτὸν κηρύττει (οὐ γὰρ μεγέθους, φησὶ, καὶ μικρότητος κλίσις ἐστὶν, ἀναλόγως ὁ δημιουργὸς θεωρεῖται) τὸ δὲ θεσπεσίου αὐ-

γάρ

καὶ ἐν τῷ

τὴν ἡ καταισχύνη, αἱ ὑμεῖς αἱ περὶ αὐτὸ δεδομέναι, αἱ χαλάσεις, αἱ διέργεσίαι, αἱ οἰκονομίαι, ἃ δὲ ἀφ' ἑαυτῶν προσθήκην ἐποιήσατο. μετὰ ταῦτα ἤλθεν αὐτὸς ὁ μονογλώσσης, ἐπὶ τὴν οἰκονομίαν τὴν ἡμετέραν ἐπείνων καὶ φειδὼ ἐπλήρωσε· καὶ ὅμως εἰσί τινες οἳ μηδὲπω τὸ σαφὲς μαθόντες, καὶ σὺ λέγεις ἐξ οἰκείων λογισμῶν δύνασθαι καταλαμβάνειν τὸ τί τὴν ὑσίαν ἐστίν; ἄκουε ἀγνοῶν τί Θεόν, φησιν. ἅπαξ· ἀλλ' οἶδα μὲν ὅτι ἐστί, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι προνοᾷ, καὶ πάλιν ἅπαξ ὅσα εἶπον αἱ γραφαί· τὸ δὲ τί τὴν ὑσίαν, οὐκ οἶδα. ἐνόμισε καὶ ὁ Ἀδὰμ πλέον ἀνείσκειν τοῦ διαβόλου πειθεὶς, καὶ διὰ τῆς πλεονεξίας ταύτης, καὶ ὃ εἶχεν, ἀπώλεσεν· ὅταν καὶ ὅτοι παίζουσιν ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν ἀναγόμενοι, καὶ Παροιμ. 5. οὐκ ἀκούοντες, ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. οὐκ ἀκούουσι Παύλου λέγοντος· Διὰ τὸ πνεῦμα ἀπεκάλυψεν ἡμῖν· καὶ τοὺς λογισμοὺς ἐκβάλλοντος, Λογισμούς, φησι, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καὶ ἄλλος σοφός, Λογισμοὶ ἀνθρώπων δειλοί, καὶ ἐπισφαλὴς αἱ ἐπίνοιαι αὐτῶν. τί ὅστιν ἄνθρωπος, ὅτι ἐμεγαλύνθης αὐτῷ; σύνοισον τὸ ἄπειρον σκῆνος μέγεθος· μᾶλλον δὲ οὐδὲ τοῦτο λέγων ἀξίαν Θεοῦ λέγω. ἀλλ' οὐκ οἶδα πῶς λαλήσω. οὐδὲ γὰρ μέγεθος ὅτι Θεοῦ λέγοντες, κυρίως λέγομεν, ἀλλ' ὅτι οὐκ ἔστιν ἕτερος φθέγξεσθαι, τῆς ἐγχωρούσης χρησίμης ῥήμασιν· ἐπεὶ καὶ ὕψιστον καλοῦν, ἵνα τοῦτον περιορίζω, ἀλλὰ τὸ ὑψηλὸν καὶ μεγαλοπρεπὲς αὐτοῦ τῆς φύσεως δηλοῖ καὶ διεκτικὸς καὶ πρώτων ἀνακεχωρηκός. ἀφ' ὅτι τοῦτο ἔλεγε, τί ὅστιν ἄνθρωπος, ὅτι ἐμεγαλύνθης αὐτῷ; ἀφ' ὅτι τοσοῦτον ἐποίησε καὶ μεγάλα ἐχαρίσατο, ἵνα μὴ ἐπιδεὴς ἔχων μεγάλων ἀναγκαίων τοῦ μετεωρίζειν, τὸν ἀπὸ τῆς φύσεως ἐντέλειαν. ἢ ὁρᾷς ἄνθρωπον, ὅτι λογίζη αὐτόν; Εἶδες πόσον τὸ μεγαλοπρεπὲς τῆς φύσεως τοῦ Θεοῦ; 5 Ἄνθρωπος ματαιότητι ὡμοιώθη. Ετερος δὲ ἑρμηνευτὴς τὸ ματαιότητι, ἀτιμίᾳ εἶπεν. Οὐκ ἄλλο δὲ ματαιότης δηλοῖ, ἢ ὅτι ἐπίκηρος, προσκαιρος, βραχύς· ἐπὶ ταύτῃ τε καὶ τὸ σώματος γυμνάζει λόγον. ἀφ' ὧν Ἀβραὰμ ἔλεγεν, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ὁ δὲ Ησαίας· Ησ. μ. ζ. Πᾶσα σὰρξ, χόρτος· καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. τί δέ ὅστι, ματαιότητι ὡμοιώθη; τῷ μηδενί, φησιν· ὅπερ τῶν ἀνθρωπίνων οὐδὲν σάσιμον οὐδὲ βέβαιον, ἀλλὰ πρόσκαιρα καὶ πρόσκαιρα). Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παρέρχονται.

Τουτέστιν, οὐδὲ νίκας πάρεισιν, ἃς μοί τινα ἔχουσιν, ἀλλὰ ταχέως ἀφίπτανται. καὶ σκόπει τοῦτο ὅπου τῶν πραγμάτων αὐτῶν, οὐ τὰ ἀξιώματα λογιζόμενος, οὐ τὰ ὅπλα τῶν σχημάτων, οὐδὲ τὰς δυναστείας, οὐδὲ εἰς τὸ δεσμωτήριον ἐμβάλλοντας καὶ μαστίζοντας. τί γὰρ σκιᾶς ἀφαφέρουσιν ὅτοι οὐκ ἐν τῷ χωρίῳ τῆς τελευτῆς, ἀλλὰ καὶ πρὸ τῆς τελευτῆς; ὅταν γὰρ τῆς ἀρχῆς παραλυθῶσι, πάντα σκιὰ οἴχεται καὶ ἐκποδὼν γίνεται· τὰ δὲ ἄλλα τῆς σχήματα, μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. ὅτε καὶ βασιλεῖαι καὶ χαλάσεις ἀληθεῖς, καὶ ἃ ἀγαθὰ ὁμοίως, καὶ ὁ δικαιοκρὶς δύεξαπάτητος· τὰ δὲ ἐνταῦθα παισὶν ἔοικε παίζουσιν. ὁ σήμερον γὰρ δικάζων, ἔσπερον αὖριον δικαζόμενος· καὶ πυκναὶ αἱ μεταβολαὶ, καὶ δυσμαλεῖ αἱ μεταβάσεις. 6 Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. Ετερος, Κλίναντός σου οὐρανοὺς καὶ καταβάντος, καὶ ἁψαμένου τῶν ὀρέων, ἐκαπνίσθησαν. Καὶ ποία αὕτη ῥημεῖα ἀκολουθία; πολλὴ μὲν οὖν καὶ σφόδρα ἐναργὴς τῶν προτέρων. ὅπερ γὰρ περὶ τῆς εὐτελείας τῆς ἀνθρωπίνης διελέχθη, καὶ ὅτι ἀδαμάντου τῆς φύσεως πρέπει, καὶ ἐνταῦθα πάλιν κατασκέλλει τῶν φλεγμαινόντων τὴν ἀπόνοιαν, μονονοὺχὶ τοῦτο δι' ὧν ἐπήγαγε λέγων· ἔδει μὲν αὐτοὺς οἴκοθεν συνιδεῖν τῆς φύσεως τὸ εὐτελές, καὶ μὴ μέγα φρονεῖν· ὅπερ ὃ βούλον-

λον ται,

λοι), δεῖξον ἀπὸ τῶν ἔργων τοῦ ταπεινότητος εἶσιν ἀπῳκισμένοι. Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι. τοῦτο λέγει, οὐκ ὄγκῳ Θεὸς καταβαίνει· πῶς γὰρ ὁ πάντα χωροῦν παρών; ἀλλ' ἵνα δείξῃ τῶν ἀνθρωπίνων τούτων λέξεων σοῦ παχυτέρους σκηπτῆναι τῶν ἀκροατῶν, διὰ ἀνθρωπινώτερον περὶ αὐτοῦ διαλέγεται. ἐπεὶ καὶ ὁ τῆς ἀφῆς, εἰ καὶ δοκεῖ μέγα εἶναι, ἀλλὰ πολὺ τῆς τοῦ Θεοῦ ἀξίας καταδεέστερον. οὐδὲ γὰρ ἀφῆς ὁ Θεὸς χρείαν ἔχει, ἵνα καπνίσῃ τὰ ὄρη, μᾶλλον δὲ οὐδὲ νεύματος, ἀλλὰ βουλῆς καὶ θελήσεως. εἰπὼν τοίνυν περὶ τῆς τελειότητος τοῦ ἀνθρώπου, λέγει καὶ περὶ τῆς δυνάμεως τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν εἰπεῖν· ἐπεὶ καὶ τοῦτο πολὺ ἀπολεῖπον τῆς μεγαλωσύνης ἐκείνης.

7 Ἄστραψον ἀστραπήν, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ ταράξεις αὐτούς.

Ἀστραπὴν καὶ τοῦτο καὶ βέλη, διὰ τὴν ἀστραπὴν τούτων φησίν, οὐδὲ τοῦτο τὰ βέλη, ἀλλὰ τὰς ἁμαρτίας ὅπως κελεύει, ἀπὸ τῶν ἤδη γνωρίμων καὶ καταφρονητὴν πείθων καὶ ἀναπεπτωκότα τρέμειν καὶ δεδοικέναι καὶ ἐκπλήττειν. εἰ γὰρ ἀστραπὴν τις οὐκ ἂν ἐνέγκοι, κἂν τοῦτο ὅπως κολάσει πεμπομένην, εἰ βουληθείη κινῆσαι τὴν ἁμαρτητικὴν αὐτοῦ δυνάμει, τίς ἐκφεύξεται; βέλη ὁ Θεοῦ, λιμοὶ καὶ λοιμοί, καὶ σκῶληκες, καὶ αἱ πολυειδεῖς ἁμαρτίαι. 8 Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ῥῦσαί με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.

Οὐ γὰρ τοῦτο ὁ κολάζειν μόνον, ἀλλὰ καὶ τοῦτο ὁ σώζειν ἀπηρτισμένη ἡ δυνάμις τοῦ Θεοῦ. χεῖρα δὲ ἐνταῦθα, τὴν βοήθειαν, τὴν συμμαχίαν λέγει· διὰ τοῦτο οὐκ ἔκτεινον εἶπεν, ἀλλ' ἐξαπόστειλον, τοῦτο δηλῶν. εἰ δέ που καὶ ἔκλεινον λέγει, ὁ αὐτὸ πάλιν αἰνίττεται. καὶ ὕδατα δέ, τὴν ἀπαλλοτρίωσιν τῶν πολεμίων ἔφοδον καλεῖ, καὶ συγχεχυμένῃ καὶ πολλῇ τῇ ῥύμῃ φερομένην. ὅτι γὰρ οὐ περὶ ὑδάτων ὁ λόγος, δῆλον ἀφ' ὧν ἐπάγωγῆς. ἐκ χειρὸς γάρ, φησιν, υἱῶν ἀλλοτρίων. υἱοὺς δὲ ἀλλοτρίους ἐνταῦθά μοι δοκεῖ λέγειν, τοὺς τῆς ἀληθείας ἀπεξενωμένους. ὥσπερ γὰρ τοὺς πιστοὺς, οἰκείους ἡγούμεθα καὶ ἀδελφούς, οὕτω τοὺς ἀπίστους, ἀλλοτρίους· διὰ τοῦτο μάλιστα καὶ οἰκεῖον καὶ ἀλλότριον ὀνομαζόμενον. οἰκεῖος γάρ ἐστι, ὁ τὰ αὐτὰ μοι πατέρα ὀνομαζόμενος, καὶ τῆς αὐτῆς κοινωνῶν τραπέζης, μᾶλλον ἢ ὁ γνήσιος συνοικῶν. καὶ γὰρ ἀκριβέστερος ἐστὶ τῆς συγγενείας ὁ νόμος· ὥσπερ οὖν καὶ ἀλλοτριότης ἡ ἀπὸ τῶν ἐναντίων, τοιοῦτος καὶ ὁ γνήσιος. μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι τὰ αὐτὰ καὶ τοῦ αὐτὸν ἐσμεν ὄντες, καὶ τὴν αὐτὴν οἰκουμένην· ἀλλὰ γὰρ ἐγὼ κοινωνίαν ἐπιζητῶ, τὴν τῶν ὄντων. ἐκεῖ ἡμῶν τὸ πολίτευμα καὶ ἡ ζωή. Ἡ ζωὴ γὰρ ἡμῶν, φησι, κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. οὐδὲ γὰρ γῆν οἰκοῦμεν, ἀλλὰ μετέπειτα τοῦ τὴν ἄνω μὴ δύνασθαι· ἕτερον φῶς ἀληθινὸν ἔχομεν, ἑτέραν πατρίδα καὶ πολίτας ἄλλους καὶ συγγενεῖς. διὸ καὶ Παῦλος ἔλεγε· Ἄρα οὐκέτι ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων. πῶς οὖν, φησι, Σαμαρείτην πλησίον ἔφησεν εἶναι ὁ Χριστὸς, καίτοι πολὺ τοῦ μέσου ὄν; ἀλλ' ἀντὶ τῆς φύσεως λέγει. ὅταν οὖν δεῖ ποιᾷ δέῃ, πᾶς ἀνθρώπος σοι ἐγγὺς ἔστω· ὅταν δὲ ὁ τῆς ἀληθείας γυμνάζηται λόγος, ὀφείλωσκε τὸν οἰκεῖον καὶ ἀλλότριον. κἂν ἀδελφὸν ἔχῃς ὁμοπάτριον καὶ ὁμομήτριον, καὶ μὴ κοινωνῇ σοι τῆς ἀληθείας νόμου, ἔστω σοι τοῦ Σκύθου βαρβαρικώτερος. κἂν Σκύθης, κἂν Σαυρομάτης ᾖ, τῶν δογμάτων δὲ εἰδῇ τὴν ἀκρίβειαν, καὶ πιστεύῃ τοῦτο ὁ καὶ αὐτὸς σύ, αὐτοῦ τοῦ τὰς αὐτὰς ὠδῖνάς σοι λυσαντος οἰκειότερος ἔστω καὶ ἐγγύτερος· καὶ τὸν βάρβαρον, καὶ τὸν τοιοῦτον ἐνταῦθα ἀκρίνωμεν, μὴ ἀπὸ τῆς γλώττης, μηδὲ ἀπὸ τοῦ ἤθους, μὴ ἀπὸ τῆς γνώμης καὶ τῆς ψυχῆς. τοῦτο γὰρ μάλιστα δεῖ θεσπος, ὅταν δογμάτων ἀκρίβειαν ἔχῃ καὶ πολιτείαν φιλόσοφον. ἀλλ' ἴδωμεν λοιπὸν σοῦ ἀλλοτρι-

ως, ως αὐτὸν ὑποτέμνεται [καὶ] ὁ προφήτης. Εἶπὼν γὰρ, ὄζελόν με ὁ χειρός μου ἀλλοτρίων, ἐπήγαγε· 9 Ων ὁ τόμος ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Εἰδὼς τινας φησὶν ἀλλοτρίους τοῦ μὲν πονηρίας ζώντας, τοῦ δὲ ἀδικίας ἐρῶντας, τοῦ δὲ ψεύδους φιλογομθοῦς, τοὺς οὐδὲν χρήσιμον λέγοντας. ὑπεμίμνησκε τοίνυν τοὺς ἀλλοτρίους, ἀπὸ τοῦ τόματος, ἀπὸ τῶν ἔργων· ὥσπερ καὶ ὁ Χριστὸς φησιν, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. καθάπερ γὰρ ἐν ταῖς γραπτοπέδαις πολλά τινα εἰδόντας ζωγραφήματα καὶ σημεῖα, ἵν', εἴποτε ἡ πυκτομαχία γένοιτο, ἡ κόνις ἐρρεῖσα τὰς τῆς πυκτὸς ὑποδείξαιτο, ἢ καὶ ἑτέρα τις γένοιτο σύγχυσις καὶ ταραχὴ, μὴ ⟨ω⟩ οἰκεῖον ὡς πολέμιόν τις ἴδῃ, μηδὲ τὸν ἑαυτοῦ ὡς οἰκέτην· οὕτω καὶ ἐνταῦθα δίδωσί σοι ζωγραφήματα ὁ προφήτης, δι' ὧν δυνήσῃ ⟨ω⟩ οἰκέτην καὶ τὸν ἀλλότριον γνωρίζειν, οἷον ἀφ' ὧν φθέγγεται, ἀφ' ὧν ποιεῖ, λέγων· ὧν ὁ τόμος ἐλάλησε ματαιότητα, ⟨ὃ⟩ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. καὶ γὰρ καὶ νῦν πόλεμός ἐστι καὶ μάχη ⟨ὃ⟩ πυκτομαχία χαλεπωτάτη, δαιμόνων βαρυλήπτων, ὑπερθυμιῶν ὑπερβαλλουσῶν, λογισμῶν ἐπανισταμένων. ἔστι καὶ ἐν τοῖς μεμυημένοις ζωγραφήματα καὶ σύμβολα. κἂν βαλανθωμεν ἵνα, ἀμφιβάλλοντες εἴτε ἀμύητός ἐστιν εἴτε μεμυημένος, ὑπογράψαι, ζητοῦντες ἐρωτῶντες μαθήσωμεν. ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ἵνα τοίνυν τοῦτο χαλεπώτερον γένοιτ' ἄν, ὅταν τινὶ εἰς βοήθειαν δεδομένοι εἰς ὑπερβολὴν τρέπωμεν; Διὰ γὰρ τοῦτο ἔχομεν δεξιάς, ἵνα καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀδικουμένοις ἀμύνωμεν, ἵνα ἀναιρῶμεν πλεονεξίαν, ἵνα λιμένι γενώμεθα καὶ καταφυγὴ τοῖς ἐπηρεαζομένοις. τίνα οὖν δὴ ἔχοιεν συγγνώμην οἱ μὴ πρὸς σωτηρίαν ἑτέρων χρώμενοι τῷ ὅπλῳ τούτῳ, ἀλλὰ πρὸς ἀπώλειαν τινὶ ἑαυτῷ;

10 Ὁ Θεὸς, ᾧδινὶ καινῇ ἀσμάτι σοι. Ποία αὕτη πάλιν ἀκαλουθία; πολλὴ μὲν οὖν καὶ ἐνταῦθα. ὅπερ γὰρ εἶπεν, ἐξαπόστειλον τὴν χεῖρά σου καὶ ῥῦσαί με καὶ σκόρπισον ἐκείνους, ἐπαγγέλλεται καὶ ἀμείψασθαι τῆς συμμαχίας αὐτὸν ἀμοιβῇ, ἐκείνῳ μὲν ᾠδὴν πλέον ποιῆσαν, τῷ δὲ εἰσφέροντι τὴν ἀμοιβὴν ὁ κέρδος φέρουσαν. Ἥις δὴ αὕτη ἐστίν; ὁ Θεὸς, ᾧδινὶ καινῇ ἀσμάτι σοι. Εἰ δὲ μικρὸν τοῦτο πρὸς τὸ μέγεθος τῆς εὐεργεσίας, ἀλλ' ὅσον ἔφην. ἐπεὶ καὶ ἡμεῖς τῶν πενήτων καὶ τῶν κεκλημένων, οὐδὲν ἕτερον ὑπιζητοῦμεν, ἀλλ' ἢ εὐφημίαν καὶ εὐγνωμοσύνην. ἀλλ' ἡμεῖς μέν, ἵνα λαμπροτέροις γενώμεθα· ὁ δὲ Θεὸς, οὐκ ὑπὲρ δεῖπνα, ἀλλ' ἵνα αὐτοῦ τοῦ ᾄδοντος λαμπροτέρας ἐργάσηται, καὶ ταύτην πάλιν αὐτοῦ θυσιαστήριον. Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι.

Τυτέσιν, θυσιάσω σοι. ἀλλὰ τότε μὲν ὄργανα ἦν, δι' ὧν τὰς ᾠδὰς ἀνέφερον· νυνὶ δὲ αὐτὶ ὀργάνων, κεχρῆσθαί φησι τῷ σώματι. ἔστι γὰρ καὶ δι' ὀφθαλμῶν ᾄδειν καὶ δι' γλώττης μόνον, καὶ δι' χειρῶν, καὶ δι' ποδῶν καὶ ἀκοῆς. ὅταν γὰρ ἕκαστον τούτων τὰ τοιαῦτα προάγῃ, ἃ τῷ Θεῷ φέρει δόξαν καὶ αἶνον, οἷς ὅταν μὴ ἀκόλαστα ὀφθαλμοὶ βλέπῃ, ὅταν μὴ πρὸς ἁρπαγὰς αἱ χεῖρες, ἀλλὰ πρὸς ἐλεημοσύνην ὦσι τεταμέναι, ὅταν πρὸς ψαλμὸν καὶ πνευματικὴν ἀκρασίαν ὑποδύνωσι αἱ ἀκοαὶ πρεσκυασμέναι, ὅταν πρὸς ἐκκλησίαν ⟨ὃ⟩ πόδες τρέχωσιν, ὅταν ἡ καρδία δόλους μὴ ῥάπτῃ, ἀλλ' ἀγάπην βρύῃ, τότε ψαλτήριον καὶ κιθάρα τὸ σῶμα τὰ μέλη, καὶ ᾄδει καινὴν ᾠδὴν, οὐ τὴν δι' ῥημάτων, ἀλλὰ τὴν δι' ἔργων. 11 Τῷ διδόντι τὰ σωτήρια τοῖς βασιλεῦσιν. Οὐ γὰρ γραπτοπέδα καὶ πλὴν γραπτῶν, οὐδὲ σωματοφύλακες, ἀλλ' ἡ τοῦ Θεοῦ ῥοπὴ σώζειν εἴωθε. Τῷ λυτρωσαμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ.

Εἰπὼν ὃ κοινὸν, λέγει καὶ ὃ καθ' ἑαυτόν. καὶ οὐκ εἶπε τῷ λυτρωσαμένῳ, δίκαιον δεικνὺς αὐτὸν τὸ πρόσωπον. εἶτα πάλιν αἰτεῖ ἅπερ ἔμπροσθεν ᾔτησε, συνεχῶς προσαιτῶν καὶ προσκαλῶν, ὥστε ἀπαλλαγῆναι πειρῶν δυσθέρπων, ὅπερ λέγων·

12 Ex

12 Ἐκ ῥομφαίας πονηρᾶς ῥῦσαί με, καὶ ὀξύτερόν με ἐκ χειρὸς ἰδίων ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας· 13 Ὧν ⓐ υἱοὶ [αὐτῶν], ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Ταῖς εὐθυγραμμίαις ἐστῶσα ἀφαγράφει ταῖς κοσμικαῖς καὶ ϖ πλούτου, καὶ πίστιν ὅταν ὦσι πρῶτον, τὸ παῖδας ἔχειν σφιγγομένας καὶ ἀκμαίζούσας, καὶ ἐξ ἑκατέρας τῆς φύσεως. ἐπήγαγε γοῦν,

14 Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.

Μετὰ τῆς νεότητος τὸ πολλαὶ χλιδαὶ ἐνδείκνυται, καὶ ταῖς κρηδέμναις αὐτῶν καὶ τὸν γυναικεῖον ἀποχαράττει κόσμον, ἅπερ ἐκ πολλῆς εὐημερίας γίνεται. ἔπειτα ὁ δεύτερον εἶναι δοκεῖ, ταῖς γυναιξὶ πρῶτον, πάλιν τὸν πλοῦτον ἀποχαράττει λέγων·

15 Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.

Τί ἐστιν, ἐξερευγόμενα; ξενοχωρούμενα. ἀχώρητός ἐστι τοῖς ταμείοις ὁ πλοῦτος φησι.

15 Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθυόντα ἐν ταῖς ἐξόδοις αὐτῶν· ⓐ βόες αὐτῶν παχεῖς. Καὶ αὕτη δὲ μικτὴ εὐθυμία ἐδόκει εἶναι. πρὸς γὰρ τοῖς παλαιοῖς ἐν τούτοις ὁ πλοῦτος ἦν, ἐν βουκολίοις καὶ ποιμνίοις καὶ ἀπέρμασι, πρὶν ἢ τὸ βλαχεύειν εὑρεθῆναι τὴ νῦν. 17 Οὐκ ἔστι καταπίωμα φραγμοῦ, οὐδὲ διέξοδος·

Τουτέστι, πολλῆς ἀπολαύει καὶ γεωργία φυλακῆς, πολλῆς τῆς ἐπιμελείας, πολλῆς τῆς ἀσφαλείας, κομώντων τῶν καρπῶν, τῶν φραγμῶν ἐστώτων, τῆς ἀμπέλου φιλυομένης πάντοθεν καὶ περιεσταλμένης. Οὐδὲ κραυγὴ ἐν τῇ πλατείαις αὐτῆ.

Ἄλλος, Ἐν ταῖς ἐπαύλεσιν αὐτῶν. Ἄλλο εὐημερίας εἶδος, ὅταν δὲ πάντα συγκεχυμένα πλοῦτῳ· τουτέστιν, εἰρήνη καὶ ἄδεια καὶ ἀσφάλεια. οὐδεὶς ὁ ἐπιβουλεύων, οὐδεὶς ὁ πολεμῶν· ἀλλ' οὐδὲ θόρυβος, οὐδὲ παραχή.

18 Ἐμακάρισαν τὸ λαόν, ᾧ ταῦτά ἐστι· μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Εἶδες ἀρετὴν ἀνδρός; θεὶς ἅπαντα ϖ πλοῦτον καὶ ἐπελθὼν αὐτὸν τῷ λόγῳ, εἶτα τιμᾷ φῆφον τῶν πολλῶν προσθεὶς τιμᾷ δὲ αὐτὸν, αὐτὸς οὐδὲν ἐκ τούτων ἀνθεστηκὼς πάσχει, οὐδὲ ζηλωτὴν εἶναι νομίζει τοὺς ταῦτα κεκτημένους· ἀλλὰ ταῦτα πάντα παραδραμὼν, ὅτι ϖ ἀληθῆ θησαυρὸν ϖ μακαρισμὸν ἐκτείνει. ⓐ μὴ γὰρ ἄλλοι, φησὶν, ἐμακάρισαν τοὺς ταῦτα ἔχοντας· ἐγὼ δὲ μακαρίζω ϖ λαόν, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ, ἐνὶ τούτῳ πᾶσαν τιμᾷ ὑπεροχὴν αὐτῷ ὑποδειξάμενος, τιμᾷ δὲ ἀνθρωπίαν τῶν ἀγαθῶν, ϖ πλοῦτον. ἐκεῖνα μὲν γὰρ παρῤῥᾴδῃ καὶ πτερύσσεται· οὗτος δὲ ὁ μακαρισμὸς μένει διηνεκῶς· διὰ τοῦτο καὶ παίδων καὶ βοῶν καὶ προβάτων καὶ ἀμπελώνος, ὁ τοῦ Θεοῦ μακαρισμὸς μέλλων αὐξεῖται καὶ πλοῦτος καὶ ἀσφάλεια καὶ τείχους ἀκαταγώνιστον. ταῦτα τοίνυν ἀκούοντες, μηδενὶ τούτων προσέχωμεν, ἀλλὰ ταῖς σκιαῖς παραπέμποντες, τῆς ἀληθείας ἀντιλάβωμεθα. καὶ γὰρ προσλαβὼν ἔφησεν, ὅτι αὐθεστος ματαιότητι ὡμοιώθη, καὶ ὅτι αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν. διὰ τοίνυν ἅπασι τούτοις ἴδοις τινὰς προερρεμμένους πορείᾳ συζώντας, κἂν ἡ οἰκουμένη αὐτοὺς μακαρίζῃ, ταλαίνιζε καὶ ἀθλίους νόμιζε σύ· οὓς δὲ μακαρισμένους τοῦ Θεοῦ ζηλωτοὺς κἀκεῖνος καὶ μακαρίους· καὶ τούτου ἀεὶ πάντες ζητήσωμεν ϖ πλοῦτον καὶ τοῦτον ϖ μακαρισμὸν, ἵνα τῶν προφήτων καὶ τῶν μαθητῶν ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψλμ. ρμδ. 1. ΥΨΩΣΩ ΣΕ, Ο ΘΕΟΣ ΜΟΥ, Ο ΒΑΣΙΛΕΥΣ μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς ϖ αἰῶνα καὶ εἰς ϖ αἰῶνα τοῦ αἰῶνος.

Μετὰ ἀκριβείας τούτῳ μάλιστα προσέχειν ἄξιον τῷ ψαλμῷ. διὸ καὶ λέγει ὅτι τὰ ῥήματα ἔχων ταῦτα, ἅπερ οἱ μεμνημένοι συνεχῶς οὕτω ψάλλουσι λέγοντες· οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν καιρῷ. ὁ γὰρ γλυκασμὸς ὁ ἐκ τῆς ἀπολαύσεως πνευματικῆς, δοξάζειν ἀναγκάζει καὶ εἰπεῖν τὸν πατέρα. Υἱὸς γάρ, φησι, δοξάζει πατέρα, καὶ δοῦλος κύριον αὐτοῦ φοβηθήσεται. γέγονας γὰρ ἐκ τῆς ἀπολαύσεως πνευματικῆς, σὺ τὸν μῦθον ταῦτα φρίττεις καὶ τὸ αἷμα τὸ ἀναγλυφῆσαί σε· ἀποδίδου τῆς τοσαύτης εὐεργεσίας τὴν ἀμοιβήν, καὶ δόξασε τὸν τοιαῦτα πρεσβεύσαντα, καὶ ἀναγινώσκων τὰ ῥήματα, ῥύθμιζέ σου τὴν γνώμην πρὸς τὰ λεγόμενα· καὶ λέγων, ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, πολλὴν ἐπιδείκνυσο τὴν οἰκείωσιν, ἵνα καὶ πρὸς σὲ λέγῃ ὁ Θεός, ὥσπερ πρὸς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. σὺ γὰρ λέγῃς, ὁ Θεός μου, καὶ ὁ βασιλεύς μου, καὶ μὴ λέγῃς μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην ἐπιδεικνύῃ τοιαύτην, καὶ αὐτὸς τὰ αὐτὰ ἐρεῖ πρὸς σέ, ὁ δοῦλός μου καὶ ὁ θεράπων μου, ὅπερ καὶ πρὸς τὸν Μωϋσέως εἴρηται. καὶ βουλήσομαι τὸ ὄνομά σου εἰς αἰῶνα καὶ εἰς αἰῶνα τοῦ αἰῶνος. Εἶδες τῆς μωμούσης ζωῆς τὰ πρόσοιμια πῶς ἐνδείκνυται; βούλομαι ἢ ἐν ταῦτα λέγῃ, ἀλλὰ καὶ τὴν ἀφ' ἧς τῶν ῥημάτων. ὅπου γοῦν καὶ ὑψοῦται Θεός, ὅπου καὶ βλέπεται. τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν· Ἁγιασθήτω τὸ ὄνομά σου· τουτέστι, δοξασθήτω.

2 Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς αἰῶνα καὶ εἰς αἰῶνα τοῦ αἰῶνος. Ἕτερος, Εἰς αἰῶνα διηνεκῶς. Τοῦτο μάλιστα ψυχῆς εὐλαβοῦς, τὸ τῶν βιωτικῶν ἀπαλλαττῆσαν πραγμάτων τοῖς ὕμνοις ἀνακεῖσθαι. καὶ γὰρ αἰσχρὸν δὴ εἰπεῖν λογικὸν ἀνθρωπον καὶ τῶν ὁρωμένων ἁπάντων ἀμείνονα, ἐλαττον τῆς κλίσεως φέρειν καὶ τῆς εὐφημίας λόγον· οὐκ αἰσχρὸν ἦ μόνον, ἀλλὰ καὶ ἄτοπον. πῶς ἦ οὐκ ἄτοπον; εἶτε αὐτὴ μὲν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀναπέμπει τῷ δεσπότῃ δοξολογίαν. Οἱ ἄγγελοι γάρ, φησι, διηνεκῶς δόξαν Θεοῦ, πίστιν ἢ χεῖρα αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ διαπαγγέλλει γνῶσιν· ἥλιός τε καὶ σελήνη καὶ ὁ ποικίλος τῶν ἄστρων χορός, καὶ τῶν ἄλλων ἢ ἁπάντων ἡ βυταξία τὸ οἰκεῖον κηρύττει δημιουργόν. ὁ τοίνυν τούτων ἁπάντων πρωτότερος, μὴ ποιῶν τοῦτο, δίκην ἐπὶ καὶ βίον πρέχων, δι' οὗ βλασφημία προσγρίβεται τῷ ποιήσαντι αὐτὸν Θεῷ, ποίας ἄρα ἔσται συγγνώμης ἄξιος ὁ τοιοῦτος; τίνος ἢ ἀπολογίας, ὅταν ἀφ' τούτου γνώμωσι, ἵνα ἀρέσῃ τῷ Θεῷ, καὶ τῆς βασιλείας ἀπολαύσῃ τῶν μελλόντων, τούτου μὲν μὴ πολλοῦ ποιῆται λόγου, προσχήματος ἢ βιωτικῆς καὶ μεμιμημένης ἑαυτὸν κοσμικοῖς προσβάλλῃ; δίκην οὐκ ἔστι τοιοῦτος· ἀλλὰ ἀφ' πάντος τοῦ βίου ἅπαν ἀνέφερε τῷ Θεῷ, ἀφ' ῥημάτων, ἀφ' πραγμάτων. καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται αὐτῷ, ὅτι τε οὐκ ὄντας ἐποίησε, καὶ ὅτι τοιούτους εἰργάσατο· ὅτι γεγόναμεν ἀφ' ἑκάστου τοῦ ἡμέραν, καὶ κοινῇ καὶ ἰδίᾳ, καὶ λάθρα καὶ φανερῶς, καὶ εἰδότων καὶ οὐκ εἰδότων. τί γὰρ δεῖ τις εἴποι τὰ ὁρώμενα, ἃ δι' ἡμᾶς ἐποίησε; τοῦ σώματος τὴν ἀφ' πλασιν; τῆς ψυχῆς τὴν εὐγένειαν; τοῦ καθ' ἑκάστην ἡμέραν οἰκονομίαν, τοῦ ἀφ' τῶν γραμμάτων, τοῦ ἀφ' τῶν νόμων, τοῦ ἀφ' τῶν προφητῶν; τοῦ ποικίλου αὐτοῦ προνοίου δὲ ἀκαταλήπτου; ὃ κεφάλαιον τῶν ἀγαθῶν, ὅτι οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο δι' ἡμᾶς; τὰ δοθέντα ἤδη ἀφ' τοῦ βαπτίσματος, ἀφ' τῶν μυστηρίων; τὰ μέλλοντα δοθήσεσθαι

ἀπορρητα

Μαρχ.α.ε.

Ματθ.ε.θ.

Ψαλμ.ιη.α.

προσγρίβεται

ἰσχνότητα

ἀπόῤῥητα ἐκφῆναι ἀγαθά, τὴν βασιλείαν, τὴν δύναμιν, τὴν λῆξιν τῆς πάσης μακαριότητος γέμουσαν; διὰ γὰρ ἑκάστου τῶν τούτων καταλέγη, εἰς πέλαγος ἄφατον ἐμπεσεῖται εὐεργεσιῶν, καὶ ὄψει πόσων ἐστὶν ὠφελούμενος ὁ ἄνθρωπος τῷ Θεῷ. διὰ δὲ ταῦτα οὐ μόνον, ἀλλὰ καὶ διὰ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ, διὰ τὴν ἀκήρατον οὐσίαν. καὶ γὰρ διὰ ταύτην ὀφείλεται αὐτῷ πρὸς ἡμῶν αἶνος καὶ εὐλογία ἡ διηνεκὴς εὐχαριστία καὶ λατρεία καὶ δέησις συνεχής. τοῦτο γάρ ἐστιν αὐτὸ δηλοῦν ἡ προφήτης,

3 Μέγας ὁ Κύριος, φησὶ, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ἐπειδὴ γὰρ εἶπεν, εὐλογήσω καὶ αἰνέσω, δείκνυσιν ὅτι οὐ χρείαν ἔχει τῶν πρὸς ἡμῶν αἰνων οὐδὲ τῶν εὐλογιῶν, οὐδὲ προσίεται αὐτοῦ τι τῇ δόξῃ προσθήκην τῶν ὑμνῳδιῶν. ἀκήρατος γὰρ αὐτοῦ ἡ οὐσία καὶ ἀνενδεὴς ὅσα οὐδενὸς ἑτέρου προσδεῖται· ᾧ εἰ ἀνοσιῶτες αὐτὸν, ἀλλὰ λαμπρότεροι γίνονται. οὐ διὰ τοῦτο εἰ μόνον, ἀλλὰ καὶ διὰ τὸ ὑπερέχον αὐτοῦ τῆς δόξης, ὀφείλεται αὐτῷ εὐφημία πρὸς ἡμῶν. διὸ καὶ τοῦτο δηλῶν εἶπε, μέγας Κύριος καὶ αἰνετὸς σφόδρα· τουτέστιν, οὐδενὸς δεόμενος. τί ὅτιν, αἰνετός; εὐφημιῶν ἄξιος, ἐγκωμίων καὶ ὕμνων. καὶ οὐχ ἁπλῶς αἰνετός, ἀλλὰ καὶ σφόδρα· διὰ τοῦτο προσέθηκε. πόσον εἰ αἰνετὸς ὁ δυνάμενος πᾶσαν τὴν λόγῳ, ἐπήγαγε· καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας· ὅπερ ἕτερος ἑρμηνευτὴς, ἀξεύρετος, εἶπεν. ὃ εἰ λέγει τοιοῦτόν ἐστιν· ἐπεὶ μέγαν ἔχεις δεσπότην, ὑμνοῦ δὲ σὺ ὑψηλὸς, καὶ τῶν βιωτικῶν ἀπαλλάγηθι πραγμάτων, λαβὲ φρόνημα αἰωρούμενον τῆς ταπεινότητος τῶν πρόσκαιρων, μὴ ἵνα ἀπονενοημένος ᾖς καὶ ἀλαζών, ἀλλ' ἵνα μεγαλόφρων καὶ μεγαλόνους. ἕτερον γάρ ἀλαζονεία, καὶ ἕτερον μεγαλοψυχία. ἀλαζὼν μὲν γάρ ἐστιν, ὁ ὅτι τοῖς μαφοῖς κομπάζων καὶ τῶν ὁμοδούλων ὑπέρογκος· ὑψηλὸς δὲ, ὁ ταπεινὸς τὴν διάνοιαν, καὶ ταῖς φαντασίας τοῦ πρόσκαιρου βίου ὑπερκείμενος. ποῦ νῦν εἶπεν ὁ λέγοντες ὅπως εἰδείημεν τὸν Θεὸν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν; ἀκουέτωσαν τοῦ προφήτου λέγοντος, ὅτι μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, καὶ αἰσχυνέσθωσαν*.

4 Γενεὰ δὲ γενεὰ ἐπαινέσει τὰ ἔργα σου. Ὅπερ ἔθος αὐτῷ ποιεῖν, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. ὅταν γὰρ αὐτοῦ θαυμάσῃ τὴν μεγαλωσύνην, τὴν δόξαν, ἔρχεται δὲ ὅτι τὴν ἀπὸ τῶν ἔργων ἀποδεικνύειν. ὃ αὐτὸ δὴ καὶ ἐνταῦθα ποιεῖ καὶ λέγει· γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, δείκνυσι ἀπὸ τῶν ἔργων αὐτοῦ τὴν μεγαλωσύνην· τουτέστιν, οὐκ ἐν ἑνὶ χρόνῳ γέγονε μόνον καὶ πεπήληγεν, οὐδὲ ἐν δύο δὲ τισὶν ἔτεσιν, ἀλλὰ πάντι προσεχείνε τῷ παρόντι αἰῶνι, ὥστε ἑκάστην γενεὰν θεωρεῖν αὐτοῦ τὰ δημιουργήματα. τοῦτο γάρ ἐστι, γενεὰ καὶ γενεὰ, ἥ τε οὖσαι, φησὶν, αἱ τε ὀπτουσαι, αἵ τε μετ' ἐκείνην, δὲ ἡ μὴ ταύτην πάλιν, καὶ ἑκάστη τῶν ὀπτουσῶν. ἥ τε χιλιοστὸς πάλιν πάντι ὁμοίως τῷ χρόνῳ προσεχείνε τούτῳ, οἷ θερινὸς, γῆ, θάλασσα, ἀὴρ, λίμναι, πηγαὶ, ποταμοὶ, σπέρματα, φυτὰ, βοτάναι, καὶ ἡ ἐκ τούτων εὐεργεσία, φύσεως δρόμος μηδέποτε διακοπτόμενος, νύκτες, ἡμέραι, ἥλιος, σελήνη, τὰ ἄστρα, τὰ ἄλλα πάντα. ἔτι τε τὰ τούτων χωρεῖς, ἃ δὲ καθ' ἑκάστην ἡμέραν καὶ ἰδίᾳ καὶ κοινῇ πρὸς διόρθωσιν, πρὸς εὐεργεσίαν τοῦ κτίσματος τῶν ἀνθρώπων ἡμῖν· οἷα ὅτι τῶν Ἰουδαίων συνέβαινε συνεχῶς, θαύματα, σημεῖα, προφητεία, ἀνθρώπων ἡμῖν ἀναστάσεις, ἡ ἐν ταῖς νίκαις τῶν πολέμων, ἡ ἐν τοῖς ἄλλοις ἅπασιν· οἷα ὅτι τῆς παρουσίας τοῦ Χριστοῦ, ὅτι τῶν ἀποστόλων, ὅτι τοῦ κηρύγματος τῶν διωγμῶν, πλείονα δὲ πολὺ τῶν παλαιῶν διαφέροντα καὶ μέγεθος· οἷα ὅτι τῆς γενεᾶς τῆς ἡμετέρας. καὶ γὰρ οὐκ ἔστι χρόνος οὐδεὶς, καὶ τούτων ἐκτὸς τῶν κοινῶν, ὁ μὴ φέρων τῆς αὐτοῦ προνοίας σημεῖον. Καὶ τὴν δυνάμιν σου ἀπαγγελοῦσι. Καὶ διὰ τῶν ἐνεργειῶν, φησὶ, καὶ διὰ τῶν κολάσεων. ὁ γὰρ διαλιμπάνει πάντι τῷ παρὰ τὴν φύσεως

σεως

σεως τῆς ἡμετέρας οἰκονομίας ὁ Θεὸς διὰ παντὸς τοῦ χρόνου.

5 Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἀληθείας σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Ἑτέρως, Ὡραιότητα τοῦ ἐπαίνου σου, καὶ τοὺς λόγους τῶν θαυμασίων σου διηγήσονται. Ἐπειδὴ εἶπε δυνάμεις, δείκνυσι καὶ αὐτὰς μετὰ ὑπερβολῆς οὔσας δυνάμεως. Οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ τὰ τυχόντα ἐργάζεται, ἀλλ' ὅπου πολλὰ θαυματουργοῦσα καὶ παραδοξοποιοῦσα διατέλει, ὑπὲρ τὴν φύσιν ἐργαζομένη τὴν δύναμιν, ὡς καὶ θαύματος καὶ δόξης πλήρη τὰ γινόμενα εἶναι. Συνόψισον γοῦν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν Παλαιστίνῃ, τὰ ὅτε ἦν Ἀβραάμ, τὰ ὅτε τοῦ Ἰσαάκ, τὰ ὅτε τοῦ Ἰωσήφ· πάλιν τὰ ἐν Αἰγύπτῳ, τὰ ὅτε τοῦ Μωϋσέως, τὰ ἐν τῇ ἐρήμῳ, τὰ μετὰ τὴν Ἔξοδον· πάλιν τὰ ἐν τῇ αἰχμαλωσίᾳ, τὰ ὅτε τοῦ Ναβουχοδονόσορ, τὰ ὅτε τῆς χαμήλης, τὰ ὅτε τῶν λεόντων, τὰ ὅτε τῆς ἐπαοιδοῦ, τὰ ὅτε τῶν τοιούτων. Ταῦτα γὰρ πάντα ὑπερήρτηται τοῦ παραδόξου τὸν ἰσχυρὸν, τὸν δόξαν, τὸν μεγαλοπρεπῆ, πολλοῦ τε τοῦ ἐκπλήττειν καὶ πολὺ τὸ θαῦμα παρέχοντα. 6 Καὶ τὴν δυνάμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Δείκνυσι δηλονότι τοῦτο, ὅτι τοὺς ἑκατέρα ἀπηρτισμένη ἡ ἰσχὺς, καὶ τοὺς ὑπερηφάνους, καὶ τοὺς ἁμαρτίαν. καὶ ὅτι τὰ ἀπαθῆ μηδέπω ἄπαντα, ἑκάτερα τούτων ἔσχε. πάλιν τοῦτο οὐκ ὅτι τῶν τότε συμβαινόντων μόνον, ἀλλὰ καὶ ὅτι τῆς κτίσεως ὅλης ἴδιον, καὶ ἑκατέρας τῆς ἐνεργείας πολλὰ ὄντα τὰ ὀργανα· οἷς τὴν μὲν φοβερὰν, ἀστραπὰς, βροντὰς, σκηπτοὺς, θηρσὶ, λοιμοὺς, χιόνας, χάλαζαν, πάγον, πυρώσεις, ὑπερκλύσεις· καὶ ἐν τοῖς ἑρπετοῖς, δράκοντας, σκορπίους, ὄφεις· καὶ ἐν τοῖς πετεινοῖς, ἀκρίδα, ἐρυσίβην· καὶ ἐν τοῖς ὑστελέσι, κυνόμυιαν, κάμπην· ἅπερ δὴ μάλιστα καὶ αὐτὰ προνοίας ὄντα, ὑπερφέροντα τοῦ δυθέρπους, ἀπαλλάττοντα ῥαθυμίας, ἀφυπνίζοντα τοῦ βαθέος ὕπνου, ἀπὸ τοῦ κέρδους πρὸς πῆμα ἄγοντα. Οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις ἡ δύναμις αὐτοῦ ἀπηρτισμένη. διὸ καὶ περὶ τούτων ἡμᾶς διδάξαι βουλόμενος, εἰπὼν, τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν, ἐπήγαγε·

7 Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἷον ἕτερος ἐρμηνευτὴς εἶπε, Καὶ ταῖς ἐλεημοσύναις σου εὐφημήσουσιν. Ἡμεῖς μὲν ὥσπερ ἀπεναθμησάμεθα τὰ φοβερὰ, ὅπως καὶ τὰ ἐναντία τούτων ἀναλαχεῖν εἰπεῖν· οἷς ὅτι τῶν ὁρωμένων καὶ περὶ ἡμᾶς, θέρμας ἐτησίους, ἡμέρας, παραδείσους, λειμῶνας, δένδρη ποικίλα, ὕδωρ πότιμον καὶ γλυκὺ, ὃ οὐκ ἐν τοῖς ὑετοῖς χρήσιμον, τῆς γῆς ταῖς ὠδῖσιν, τοῖς ποικίλοις καρποῖς, ταῖς δένδρεσι ταῖς ἀφόροις, τοῖς ἀνέμοις τοῖς προσηνέσι, τὴν ἡλιακὴν ἀκτῖνα, τὴν σεληναίαν λαμπάδα, καὶ ποικίλον τῶν ἄστρων χορὸν, ὃ προσωπεῖ τῆς κτίσεως· καὶ ὅτι τῶν ἀλόγων, προβατα καὶ βοῦς καὶ αἶγας καὶ ὅτι τῶν ἀγελαίων, δορκάδας, ἐλάφους, λαγωοὺς, καὶ ἕτερα πλείονα· καὶ ὅτι τῶν πετεινῶν, τοῦ ὄρνεις τοῦ Ἰνδικούς. καὶ ἐν τοῖς ἔργοις αὐτοῖς ἴδοις ἂν οὐ κολάζοντα μόνον, ἀλλὰ καὶ εὐεργετοῦντα πολλῷ πλέον ἢ κολάζοντα. ταῖς μὲν οὖν φόβοις ἔνεχεν εἶπε. Εἰ δὲ καὶ ποτε πείσεται ἐπαγάγοι, διὰ τὸν πολλὸν θαυμασίαν τῶν διορθουμένων τῷ φόβῳ. τούτοις δὲ ἐμφιλοτιμεῖται, καὶ μέχρι τῆς πείρας αὐτὰ προάγει, οὐκ εἰς ἀξίας μόνον, ἀλλὰ καὶ εἰς ὑπεραξίας. ποικίλλων τοίνυν ἡμῶν τὴν σωτηρίαν ποτὲ μὲν ταῦτα, ποτὲ δὲ σκῆνα ἐργάζεται, πλεονάκις δὲ σκῆνα, καὶ μᾶλλον σκῆνα· ὅθεν καὶ σκῆνα βάλε) μόνα. διὰ γὰρ τοῦτο καὶ γέενναν ἠπείλησεν, οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα μὴ ἐπαγάγῃ. καὶ τὸν μὲν τῷ διαβόλῳ πεσκευάσατε (πορεύεσθε γάρ, φησιν, εἰς τὸ πῦρ, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ) τὸν δὲ βασιλείαν οὐρανῶν, δεικνὺς ὅτι οὐ βάλε) οὐρανὸν εἰς γέενναν ἐμβαλῶν.

8 Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

9 Χρηστὸς

9 Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
Ὁρᾷς καὶ τὴν φιλανθρωπίαν τούτοις ἐνδιατείνουσαν τοῖς χρηστοτέροις, καὶ ἐπιδαψιλευόμενον ὃ λέγω; καὶ γὰρ οἶδε σαφῶς ἐν τούτοις ὄντα μάλιστα τὸν Θεὸν ϖ πλοῦτον. οὐδὲ γὰρ ἐμὲ σωθῆναι, μὴ πολλῆς οὔσης αὐτῷ τῆς φιλανθρωπίας· οὐκ ἦν μείναι, μὴ πολλῆς ἀπολαύουσαν τῆς
5 ἀγαθότητος. διὸ καὶ αὐτὸς ἔλεγεν, Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου· καὶ οὐ τὰς Ησ. μγ. κε.
ἁμαρτίας σου μνησθήσομαι σου. οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος. ὅρα πῶς δείκνυσιν αὐτοῦ ἀφατον τὴν φιλανθρωπίαν. οὐ γὰρ ἐλεεῖ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ ἕτερον εἶδος φιλανθρωπίας οὐ μακρὸν ἐπιδείκνυται, ὃ μακροθυμον, ὥστε αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, καὶ μὴ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀπὸ τῆς οἰκείας σωθῆναι κατιδοῦσης, καὶ τὴν ἀπὸ τῶν
10 κατορθωμάτων παῤῥησίαν ἔχειν. οὐχ ἁπλῶς ὁ ἐλεήμων, ἀλλὰ καὶ πολυέλεος εἶπε, δεικνὺς ὅτι ὃ πολὺ ἦν τὸ μετανοῆσαι οὐκ ἐνὶ, ἀλλὰ πολλοῖς συμβαίνει λέγειν. διὰ γοῦν τοῦτο ἐξῆς, καὶ ὁ ἐγκωμιαστὴς αὐτοῦ, ἐπεδείξατο, ἐπαγαγὼν δὲ εἶπεν· χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. τί ἐστι, τοῖς σύμπασι; καὶ τοῖς
15 ἁμαρτωλοῖς, φησὶ, καὶ τοῖς ἐν πλάνῃ ζῶσιν. οὐ γὰρ δὴ μόνον ὁσίοις, οὐδὲ οἰκτιρμοῦσι, οὐδὲ μετριοπαθοῦσιν, οὐδὲ μετριοπαθοῦσι, ἀλλὰ καὶ πάντες δι' ὧν πάσχουσιν ἀνακηρύττουσιν αὐτοῦ τὸν ἔλεον καὶ τὴν χρηστότητα. καὶ μέλλοις ἕρπειν, τίνι χρηστὸς ἐγένετο; ἐρῶ· οὐχὶ τῷ Ἄβελ μόνον, ἀλλὰ δὲ τῷ Καΐν· οὐχὶ τῷ Νῶε μόνον δὲ τοῖς ἐκείνῳ παισὶν, ἀλλὰ καὶ τοῖς ἐκτὸς τοῦ καταποντισμοῦ καθαχλυσθεῖσι. πολλὰ γὰρ ἀπὸ φιλανθρωπίας ἐργάζεται. καὶ ἵνα μάθῃς πῶς πᾶσιν ὅστι χρηστὸς, σκόπει ἐντεῦθεν. πόσης χρηστότητος ἐστὶν, εἰπέ μοι,
20 ὃ τὸν ἀδιαφθόνητον ἐκεῖνον καὶ τοιαύτην τολμήσαντα σφαγὴν, * καὶ τοῦ Θεοῦ καταπατήσαντα τοὺς νόμους, τοσαύτην ὑμνῳδίαν, νηστείαν μᾶλλον ἢ κηλίδωσιν ὕδατι, [ ὥστε ] καὶ αὐτὸν ἐκεῖνον καθαρεῦσαι δι' ὧν ἔπαθε τοῦ μήκους τῆς ϖ χρόνου τῆς ἁμαρτίας τῆς ἐγκεκομμένης, καὶ τοσαύτην ἄλλως παιδοῦσαι, δι' ὧν ἔπαθεν ἐκεῖνος; πόσης ἐστὶ χρηστότητος, εἰπέ μοι, ὃ τοσαῦτα νοσοποιῆσαι, ἐπὶ τοσαύτῃ καταχλυσμοῦ, καὶ μήτε ἀπειλαῖς, μήτε λόγοις, μήτε ἄλ-
25 λῳ μηδενὶ διορθωθῆναι, ἕνεκα τῆς κακίας, καὶ τῷ κοινῷ χρέει τῆς Φύσεως δυτὶ φαρμάκῳ χρήσασθαι, καὶ τὸν κουφότατον αὐτοῖς ἐπαγαγεῖν θάνατον τὸν διὰ τῶν ὑδάτων; ὃ οὐ σύμπασιν, οὐκ ὀλίγοις τούτων μόνον ὄσιν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρωμένων ἀπάντων, ἐπὶ τῶν ζώων, ἐπὶ τῶν ἀλόγων. καὶ εἰς αὐτοῦ οὐ δύο μόνα ἀνθρώπου, οὐδὲ ἑξακισχίλους, οὐδὲ ἑπτακισχιλίους, πολλαπλασίονα ἔφησεν τὴν χρηστότητα, πολλοὺς οὐδὲ οἰκτιρμούς. ἔκαστον γὰρ ἔργον πολλῆς ἀπο-
30 λαύει φιλανθρωπίας. ὅπερ δὴ καὶ αὐτὸς ζωιδῶν, ἐπήγαγε·

10 Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Τουτέστιν, εὐφημησάτωσάν σοι, ἀναπεμπέτωσάν σοι ὕμνους, οἷς τε λόγῳ πεπιστευμένοι, καὶ τῷ φωνεῖν οὐκ ἔχοντα. καὶ γὰρ καὶ τῶν ἀφώνων ἕκαστον ὅτῳ τρόπῳ ἐνῆν, ὥστε εὐλογίαν ἀναπέμπειν διὰ τῆς οἰκείας φύσεως, καὶ ἄφωνα ἦ, διὰ τῶν ὁρώντων καὶ
35 ἀπολαυόντων ἀνθρώπων· καὶ οὐκ ἐνὶ μὲν διὰ τῆς ὑσίας τῆς αὐτῶν, ἀνθρώποι ὄντες καὶ διὰ τῆς διαγωγῆς καὶ διὰ τῆς ϖ σχέσεως. διὸ καὶ τοῦτο δῆλον ποιεῖ διὰ τῆς ἐπαγωγῆς τοῦ, οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. ὁσίους δὲ οὐ τοὺς τυχόντας, οὐδὲ ἁγίους καλῶ, οὐδὲ τοὺς τοῦ Θεοῦ ϖ σεσταλμένους πληρωτὰς, οὐδὲ ἀδάτους ἁμαρτήμασι καὶ πονηρίᾳ.

11 Δόξαν τῆς βασιλείας σου ἐροῦσι.
40 Τί ἐστι, δόξαν ἐροῦσι; ὃ ἀνενδεές, ὃ φιλάνθρωπον, φησὶ, ὃ κηδεμονικὸν, ὃ μὴ δεόμενον τῶν ἀρχομένων τοιαύτην ϖ σχέσιν αὐτοῦ ἐπιδείκνυσθαι ϖ σπουδὴν, ὃ ἀπροσίτον τοῦ φωτὸς, ὃ ἄῤῥητον τῆς ὑσίας, ὃ ἀκατάληπτον. Καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τουτέστι, τὴν δύναμιν τὴν ἀμαχον, τὴν ἀχείρωτον [ εἶσονται ]· οὐκ ἐ-

πειδὴ

πειδή σοι χρεία τούτων τῶν ὕμνων ἢ τῶν θυφημιῶν, ἀλλὰ δι' αὐτοὺς τε σοῦ λέγοντας, ἢ ὥστε καὶ ἑτέρους διδάξαι ἢ ποιῆσαι τῆς θυφημίας κοινωνούς.

12 Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Δείκνυσι δηλονότι τούτων ὅπου δηλονότι τὸ μαθεῖν ἑτέρους τὴν δυναστείαν αὐτοῦ, πᾶς θυφημίας ἄρχεσθαι. πολλὴ τοίνυν ἡ δυνάμις, πολλὴ ἡ δόξα, πολλὴ ἡ βασιλεία, πολλὴ καὶ ἄφατος, ἃ μόνον πάντα ὑπερβαίνουσα λόγον, δηλοῖ δὲ πάντα νικῶσα νοῦν. ἀλλ' ἡ πολλὴ καὶ ἄφατος αὕτη χρείαν ἔχει τῶν διδασκόντων αὐτὴν δηλονότι" ἄγγελοι τῶν πολλῶν. ἐπεὶ καὶ ὁ ἥλιος φαεινότατόν ἐστιν ἄστρον, καὶ ὅμως τὰ ὄμματα νοσοῦντες οὐχ ὁρῶσιν αὐτοῦ τὸ φῶς· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ πρόνοια ἡλίου μὲν πάντος ἐστὶ φαιδροτέρα, ἀλλ' οἷς λογισμοῖς διεστραμμένοις καὶ" βεβυσμένοις τὰς ἀκοὰς, πολλῆς δέονται τῆς ἐπιμελείας, ὥστε ἀνοιχθῆναι αὐτῶν τὰ δρώμενα. δεῖ τοίνυν συνεχῶς αὐλοῖς σημαίνειν καὶ σάλπιγγι τὰ περὶ τούτων διδασκαλίαν. Εἶτα ὅπως εἶπε δόξαν βασιλείας καὶ μεγαλοπρέπειαν, καὶ μὴ μόνα φήσας πρέπειν, πάλιν ἀναλαμβάνει καὶ λέγει τὸ ἐγκωμιαστικὸν αὐτοῦ, τί ἐστιν ἡ δόξα, ἐπαγαγών·

13 Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων. Οὐ τῶν παρόντων μόνον, φησὶν, ἀλλὰ καὶ τῶν ἐρχομένων. ἀτελεύτητος γὰρ καὶ ἀπειρος, καὶ μόνη τὸ ἀΐδιον ἔχουσα.

Καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Οσα αὐτῆς καὶ ἐντεῦθεν τὸ ἀτελεύτητον· πάντα γοῦν τῆς οἰκουμένης, πάντα γοῦν τῶν αἰώνων, πάντα γοῦν τῶν χρόνων ἐκτέταται. 14 Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Εἰπὼν τῆς βασιλείας τὸ ἀτελεύτητον, τὸ βεβηκὸς, τὸ πάγιον, τὸ ἀκίνητον, λέγει καὶ τῶν λόγων αὐτοῦ τὸ σεμνόν. τὸ γὰρ πιστὸς, τοῦτο ἐστὶ, βέβαιος, ἀληθής. Εἰ γὰρ πιστὸς, πάντως ἔσται τὰ ἐπηγγελμένα πρὸς αὐτοῦ. ὥσπερ γὰρ ἡ βασιλεία αὐτοῦ ἀδιάπτωτος καὶ πέρας οὐκ ἔχουσα, οὕτω καὶ οἱ λόγοι αὐτοῦ σεμνοὶ, βεβηκότες. οὔτε οὖν ἐκείνη ποτὲ διακόπτεται, οὔτε οἱ λόγοι διαπίπτουσιν. Εἰ δὲ οὐ διαπίπτουσι, δεῖ πάντως ἀκολουθῆσαι τὰ ἔργα. Εἰ δὲ πού τι καὶ εἶπε καὶ οὐ γέγονε, καὶ τοῦτο τῆς ἀληθείας αὐτοῦ ἀπόδειξις. Πέρας γὰρ λαλήσω ὅπως ἔθνη καὶ βασιλείαν, ζοῦ καταισχύνειν καὶ ἐκείνου· καὶ ἐάν μετανοήσωσιν ὅπως τῇ κακίᾳ, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. καὶ ὅπως τῶν ἀγαθῶν ὁμοίως· χρηστὰ διαλέξομαί, φησὶ καὶ μεταβαλῶν), κἀγὼ μεταβαλῶ τὰ περὶ αὐτῶν εἰρημένα. καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Τί ἐστιν, ὅσιος; ἁπλοῦς, ὀρθός, καθαρός, ἄμωμος, οὐδεμίαν οὐδενὶ πρόφασιν ἔχων λαβεῖν.

Ιερ. ιν. 2.

15 Υποσημαίνει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Εἰπὼν περὶ τῆς βασιλείας ὅτι ἀπέραντος, περὶ τῶν λόγων ὅτι ἀληθεῖς, περὶ τῶν πραγμάτων ὅτι ἀληθεῖς, περὶ τῆς δόξης, περὶ τῆς μεγαλοπρεπείας, λέγει πάλιν περὶ τῆς φιλανθρωπίας· ὃ καὶ" αὐτὴ μεγίστη δόξα τῆς βασιλείας αὐτοῦ, ὃ μὴ μόνον θαυμαστεῖν ἐξῶσας, ἀλλὰ καὶ μέλλοντας καταπίπτειν μὴ ἐᾶν τοῦτο παθεῖν, ἀλλὰ χειμένους ἀνιστᾶν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι πάντας, ἃ δεῖνα καὶ τὰ δεῖνα μόνον, ἀλλὰ πάντας, κἂν δοῦλοι, κἂν πένητες ὦσι, κἂν ἄσημοι, κἂν ἐξ ἀσήμων. πάντων γὰρ ἐστὶ δεσπότης, ἀλλ' οὐδὲ χειμένους θαρρεῖ, οὐδὲ σαλευομένους ὑποφρᾶ. τοῦτο δὲ ὅπερ τῆς κοινῆς φύσεως ἐποίησε, τοῦτο καὶ ἐφ' ἑκάστου ἐργάζεται). Εἰ δέ τινες τῶν χειμένων οὐκ ἀνίστανται, οὐ παρ' αὐτὸν" βιαζόμενον ἀνορθῶσαι, ἀλλὰ παρ' ἐκείνους οὐ μὴ θέλοντας ἀναστῆναι. ἐπεὶ δὲ τὴν Ιούδαν πεσοῦσαν οὐδεμιᾷ δυνάμει ἀνέστησε, διὰ τοῦτο πάντα ἐποίησατο, ἀλλ' ἐκείνος οὐκ ἠθέλησε. τὴν γοῦν Δαβὶδ πεσοῦσαν ἀνώρθωσε διὰ ἰσχυρὸν ἐποίησε, τὸν Πέτρον μέλλοντα καταπίπτειν ἀνέστησε. καὶ ἄκουε πῶς. Σίμων, Σίμων, φησὶν, ἰδοὺ ὁ Σατανᾶς

Σατάνας ἐξήτησε σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον· καὶ γὰρ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. Εἶτα λέγει ἕτερον βούλησιν εἶδος. ποικίλη γὰρ αὐτοῦ ἡ πρόνοια καὶ πολυτρόπη ἡ οἰκονομία. 15 Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν καιρῷ. Εἶδες πῶς ἔδειξεν ὅτι χρηστὸς τοῖς σύμπασι, καὶ ⓖ οἰκτιρμοὶ αὐτοῦ ὅπου πάντα τὰ ἔργα αὐτοῦ; ὅπερ ἐν τοῖς εὐαγγελίοις εἴρηται, Ὅτι ἀνατέλλει Matth. 5. μ.
τὸν ἥλιον αὐτοῦ ὅπου πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ὅπου δικαίους καὶ ἀδίκους, τοῦτο καὶ ἐνταῦθα ἔστι φιλάνθρωπον τῶν εἰρημένων· καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν καιρῷ. ἀεὶ γὰρ εὐεργετεῖ καὶ γῆ καὶ ἀήρ, ἀλλὰ τὸ ὅπερ ἔργον αὐτοῦ τοὺς καρποὺς τελεσφορεῖν εἴωθεν. τοῦτο δὲ ἐν καιρῷ τοῦτο δηλοῖ, ὅτι καιρὸς πάντα διώρισται, καὶ ἕκαστα ἀφορίσας ἔδωκε. καὶ τοῦτο γὰρ μάλιστα αὐτοῦ δείκνυσι τὴν σοφίαν, τὸ μὴ ὁμοῦ πάντα μηδὲ ὑφ' ἕν, ἀλλὰ κατὰ πάντα τὸν ἑαυτοῦ διελεῖν καὶ τῆς ἕξεως, ὥστε καὶ τὸ γηπόνον ἀναπαύεσθαι, καὶ τὰ γινόμενα μὴ διαφθείρεσθαι. τὸ δίκαιον ἐν καιρῷ, ἢ ὅπερ ἔμπροσθεν εἶπομεν τοῦτο ἔστιν, ὅτι καιρὸς μεμέρισται ἕκαστα, ἢ ὅτι δεομένοις, χορηγοῦσι τὴν τροφὴν δίδως. καὶ πῶς, φησίν, ⓖ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι; καίτοι πολλοί εἰσιν αὐτόματα καὶ ὄντα λέγοντες, ⓖ ἐν ἀσεβείᾳ ζῶντες. * τὸ προσώπατος αὐτοῦ λέγει τὴν φύσιν ἐνταῦθα, ὥσπερ καὶ ἀγλαὸς ὄστεον λέγει· Τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν, καίπερ ἀλόγιστα καὶ ζῶα ὄντα, καὶ πάλιν, Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητοῦσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. καίτοι καὶ οὗτοι ἀλόγιστοι, καὶ οὐκ αὐτοῖ ζητοῦσιν· ἀλλὰ καὶ ἐνταῦθα πάλιν τοῦ προσώπατος λέγει τὴν φύσιν. οὐ γὰρ ἀπὸ τῆς ἐκείνων προαιρέσεως, ἀλλ' ἀπὸ τῆς τῶν γινομένων φύσεως τοῦτο ῥητέον ἐστίν. Ψαλμ. ρμδ. 1. Ψαλμ. ρμγ. κβ.

17 Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Χεῖρα, τὴν ἐνέργειαν λέγει καὶ τὴν χορηγητικὴν δύναμιν, ὅτι πάντων σε παιδεύων εἰδέναι, ὡς οὐκ ἐν τοῖς στοιχείοις, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ προνοίᾳ τὴν καρπῶν αἰτίαν. ἢ καὶ τὸ εὔκολον δείκνυσι εἶπε τοῦτο, δυσίτευς σὺ τὴν χεῖρά σου. ὅταν γὰρ ⓖ τότε μάλιστα τῶν πάντων αἴτιον ἀφέντες προσκυνοῦσι καὶ σέβουσι καὶ ἥλιον, καὶ ταῦτα ἐνόμιζον εἶναι τὰ παρέχοντα σὺν καρποῖς, αἰτιᾶται αὐτοὺς ὅπου τὴν ἀρχὴν τὴν δῶρα καὶ Ⓜ τούτων αἴτιον καὶ δεσπότην, συνεχῶς ταῦτα ὑπολέπει, δεικνὺς ὅτι οὐκ ἐκ τῆς ἐκείνου χειρὸς πάντα, ἐκ τῆς ἐκείνου κακοδαιμονίας ὑπάρχει καὶ ἀγαθά. εὐδοκίας ἢ ἐνταῦθα ἐμπιπλᾷν λέγει, * διότι ἔλαττον ζῶον πλησθῆναι τοῦ θελήματος αὐτοῦ, τοῦ ἀρέσκοντος αὐτῷ. ὁ γὰρ ἁπλῶς δίδωσι ἕκαστον, ἀλλὰ κατὰ τὸ χρήσιμον ἑκάστῳ, κατὰ τὴν ὑπομονὴν ἑκάστου, κατὰ τὸ πλῆρες. ὃ δή λέγει τοῦτό ἐστι· καὶ ἀληθῶς δίδως καὶ αἰσθητοῖς καὶ πᾶσιν, ὡς ἑκάστῳ πολύ, ὡς ἑκάστῳ ἀρεστόν· καὶ ὁ δίδως μόνον, ἀλλὰ καὶ πληροῖς, ὡς μηδὲν εἶναι ἐνδεόν.

18 Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὁδοὺς ἐνταῦθα, τὰς οἰκονομίας λέγει, τὴν προνοίαν, τὴν κηδεμονίαν, δι' ἧς ἅπαντα διετύπωσε. πάντα γάρ, φησι, τὰ ἔργα αὐτοῦ ἐγκώμια, θαυμάτων γέμει, εὐθημίαν οὐδενὶ προέχοντα" λαβεῖν, κἂν ἕνες μαίνωνται καὶ λυττῶσι. τὰ τοίνυν ἔργα φύσει τοιαῦτα, ὡς ἀπολαμπεῖν, ὡς ἀποστίλβειν, ὡς ἀναχηρύττειν τοῦ πεποιηκότος τὴν προνοίαν, τὴν κηδεμονίαν, τὴν φιλανθρωπίαν, τὴν δικαιοσύνην, τὴν ὁσιότητα.

19 Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Ἰδοὺ καὶ ἕτερον προνοίας μέρος, ὃ κεφάλαιον τῶν ἀγαθῶν. Εἶπων γὰρ τὰ κοινὰ καὶ τοῖς ἀπίστοις δεδομένα, τὴν τροφήν, σὺν ὑετοῖς, λέγει καὶ τὰ ἰδίως ζῶντας τοῖς πιστοῖς παρεχόμενα. τίνα ἢ ταῦτά ἐστι; τὸ ἐγγὺς αὐτῷ ἐστί, τοῦτ' ἔστιν, αὐτὸ χρῆναι, κηδεσθαι, προνοῆσαι πολὺ μειζόνως ἐκείνων, ἕπεσθαι αὐτοῖς καὶ ἵλεων καὶ εὐμενῆ, μᾶλλον αὐτοῖς ἀποκα-

15 τύρια τοῦ Θεοῦ διηνεκῶς ἐρευνῶντας, καὶ ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν ἐκζητοῦντας. ὁ πρῶτος δὲ τοῦτο, ἀλλὰ τοῦ τῶν χερουβὶμ καταπτερώτου αὐτῆς τῆς ἀρετῆς. ὁ γὰρ τοιοῦτος οὐ μενεῖ τὴν ἀρχαίαν εἰς Θεὸν καὶ φερπίδας βιωτικὰς, ἀλλ' ὅλον ἑαυτὸν ἀνατίθησι τῷ Θεῷ. καὶ γὰρ διὰ τῆς ἀναγνώσεως καὶ διὰ τῆς ἀκροάσεως τῶν θείων γραφῶν κα-
τορθοῦται ὁ βίος ἡμῶν. ὁ οὖν προφήτης μακαρίζει τοὺς ἐξερευνῶντας τὰ μαρτύρια
2ν αὐτοῦ. τοῦτο γὰρ καὶ ὁ Κύριος ἔφη, Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι δοκεῖτε ἐν αὐταῖς ζωὴν Ιωαλθ.
αἰώνιον ἔχειν. ὁ δὲ προκόπτων ἐν τοῦδε τῷ βίῳ τῇ ἐρεύνῃ τῶν θείων γραφῶν, καὶ μὴ μενεῖζων τὸν βίον αὐτοῦ εἰς ἡδονὰς καὶ πάθη ἁμαρτημάτων, ἀλλ' ἐν πνεύματι ζῶν καὶ πνεύματι στοιχῶν, ἐρευνᾷ τὰς γραφὰς, τότε τελείως ἐν ὅλῃ καρδίᾳ ἐκζητεῖ τὸν Θεόν. καὶ διὰ τοῦτο ὁ ψαλμὸς οὗτος νόμον καὶ ἐντολὰς καὶ δικαιώματα καὶ κρίματα καὶ μαρτύρια πε-
25 πυκνωμένως διαγορεύει, χρήσιμον ὄντα πρὸς τὸν τῶν ἀγαθῶν αὔξησιν. νόμος οὖν ἐδόθη παρὰ τοῦ Θεοῦ, ὅτι αὐτός ἐστι βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων. ἔστι δὲ νόμος, κοινὸν παράγγελμα ὅτι πᾶσιν ἀνθρώποις· ἀρχουσιν, ἀρχομένοις· δού-
λοις, δεσπόταις· πλουσίοις, πένησιν. Εἰρὴ δὲ παρὰ τὸ νέμειν. ὅτι πᾶσι γὰρ ἀνθρώποις νενομοθέτη, καὶ μοιχεύσεις, καὶ φονεύσεις, καὶ κλέψεις, καὶ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμή-
30 σεις τ' ἀγρὸν καὶ πλησίον σου, οἶκον τ' πατέρα σου καὶ μητέρα σου. τὸ αὖθις δὲ καὶ ἐντολὴ εἴρηται, ὅτι ἐντέλλεται ἡμῖν ὁ Θεὸς τὸ ἀγαθὸν ποιεῖν καὶ τοῦ φαύλου ἀπέχεσθαι. δικαιώματα δὲ καὶ κρίματα, καθ' ὃ καὶ Ψ δίκαιοι φυλάττοντες τὰς ἐντολὰς δικαιοῦνται παρὰ τῷ Θεῷ· Ψ δὲ παραβαίνοντες ἁμαρτωλοὶ κατακρίνονται. μαρτύρια δὲ εἴρηται, ὅτι διαμαρτύρεται ὁ Θεὸς διὰ τῶν θείων αὐτοῦ γραφῶν φυλάττειν πάσας τὰς ἐντολὰς αὐτοῦ.

35 3 Οὐ γὰρ Ψ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Τὴν διαίρεσιν ταύτην πεποίηκε καὶ ἐν τῷ πρώτῳ ψαλμῷ. καὶ γὰρ ἐκεῖ μακαρίσας τὸν ἐν νόμῳ Κυρίου μελετῶντα ἡμέρας καὶ νυκτὸς, καὶ τὸν τῆς μελέτης ὀπτικὸν δείξας καρπὸν ἐπήγαγεν· οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως. καὶ ἐν τούτοις τοίνυν μακαρίσας τοὺς ἀνόμους, διδάσκει ὡς Ψ τῆς ἀνομίας ἐργάται ἑτέραν ἑαυτοῖς ὁδὸν κατασκευάσαντες, καὶ τῷ ἐκ τοῦ
40 Θεοῦ παιδεῦσαι κατέλιπον. μακαρίσας οὖν ὁ προφήτης τοὺς ἐκζητοῦντας Ψ Θεὸν ἐν ὅλῃ καρδίᾳ, ὀρθῶς φέρει λέγων· οὐ γὰρ Ψ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. 4 Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα.

Τοῦτο καὶ διὰ τὸν νόμον καὶ τὸν προφήτην καὶ διὰ τὴν ἱερῶν διαγελίων ὁ δεσπότης

προ-

παραχελεύεται, ἡ μεχὶ πάσα ἡ θεία γραφὴ τῆς τοιαύτης νομοθεσίας. ὁ γὰρ ἁπλῶς φυλάττειν, ἀλλὰ σφόδρα φυλάττειν προστάσσει, τοῦτ' ἔστι, ζωὴ ἀκριβείᾳ πάσῃ· καὶ διὰ τοῦτο μὴ φυλάττειν, τοῦτο δὲ ἀθετεῖν, ἀλλὰ πάσας τὰς ἐντολὰς φυλάττειν σφόδρα εἴρηκε. διὸ καὶ ἕτερος τῶν προφήτων ἔλεγεν· ἀπὸ τῶν ἐντολῶν σου ὁ μὴ πρόσθω, ἵνα μὴ ἀποθάνω.

5 Ὠφέλησόν με τὴν ὁδόν μου, τοῦ φυλάξασθαί με τὰ δικαιώματά σου. 5

Διὰ τοῦτό, φησιν, ἀντιβολῶ, οἷον τινὰ χάριν, δὸς σῷ νόμῳ τὴν ἐμὴν ὁδὸν εὐθυνθῆναι, ὡς ἂν δύνωμαι τηρῆσαί σου τὰ δικαιώματα. οὐχὶ δὲ δῆλον τὸ ὄφελον, ἀντὶ τοῦ εἰπεῖν, γένοιτό μοι κατευθυνθῆναι φυλάττειν πάσας τὰς ἐντολάς σου. ὅπερ πᾶς ἀνθρωπος πόθον ἔχων φυλάττειν τὰς ἐντολὰς τοῦ Θεοῦ, εἰ μὴ συνεργὸν ἔχοι τῆς ἀγαθουργίας αὐτὸν, οὐκ ἂν εἰς πέρας τοῦ ποθουμένου φθάσοι. λέγεται γάρ, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. σκοπῶ δὲ ἡμῖν μὴ ὅτι ἡ ἀρχὴ τοῦ ἀγαθοῦ, ὃ ἂν εἰς πέρας ἐλθεῖν τῆς τοῦ Θεοῦ δέεται βοηθείας. Ἐγίσατε γάρ, φησι, τῷ Θεῷ, καὶ ἐγὼ ὑμῖν. 6 Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ὅτι πάσας τὰς ἐντολάς σου. Παρανομίας γὰρ αἰσχύνη καρπός. ὅτου καὶ ὁ θεῖος ἀπόστολος ἔφη· Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; ᾧ γὰρ πάσας τοῦ Θεοῦ πληροῦντες τὰς ἐντολὰς τὴν ἀπὸ τοῦ συνειδότος ἔχουσι παῤῥησίαν. τότε γὰρ, πότε; ὅταν, καὶ τῷ προφήτῃ Δανιὴλ, Οἱ δίκαιοι διαλάμψουσιν εἰς ζωὴν αἰώνιον, οἱ δὲ ἁμαρτωλοὶ εἰς αἰσχύνην αἰώνιον. πρόσκαιρος οὖν ὁ προφήτης μὴ αἰσχυνθῆναι τότε. καὶ πῶς τοῦτο; ἐν τῷ ἐπιβλέπειν ὅτι πάσας τὰς ἐντολάς· διὰ τὴν μὲν πεῖραν, τὴν δὲ ἀφέλειαν. ὁ γὰρ εἰπὼν μὴ μοιχεύσης, εἶπε καὶ μὴ πορνεύσῃς· καὶ ὁ εἰπὼν μὴ πορνεύσῃς, εἶπε καὶ μὴ ἀδικήσῃς. Καὶ ὅστις ὅλον τὸν νόμον πληρώσει, πλὴν ἓν δέ τι, γένηται πρόπυλον ἔνοχος τῷ Κυρίῳ ἀποστολὴν Ἰάκωβον.

7 Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μανθάνειν με τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐξομολόγησιν, τὴν θυσίαν αἰνέσεως καλῶ. τότε δυνήσομαι ὕμνον καθαρὸν σοι προσενέγκειν, ὅταν σε πρότερον καταμάθω τὰ κρίματα, καὶ τῷ ζῶντα βιώσω. ὁ γὰρ ἀγαθὰς πράξεις ἔχων, οὗτος ἐξομολογεῖται ἐν εὐθύτητι καρδίας, ἐξ ὅλης καρδίας μετανοῶν, ὡς ὁ Δαβὶδ ὅτι τῇ μοιχείᾳ, καὶ ὡς ὁ τελώνης βοῶν τὸ, ἥμαρτον· ἢ τὸ, ἱλάσθητι. ἐξωμολογήσατο καὶ Ἰούδας, εἰπών· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· ἀλλ' οὐκ ἐν εὐθύτητι καρδίας. τῇ γὰρ φιλαργυρίᾳ συνείχετο. ἐξωμολόγητο καὶ ὁ Φαρισαῖος· ἀλλὰ τὴν καρδίαν ὑψηλὴν ἔχων καὶ οὐκ ἀληθῆ κατέβη μὴ δικαιωθείς, λέγων, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης.

8 Τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Τινὰς πρὸς βραχὺ πολλάκις ἡ θεία χάρις ἀφίησιν, ὠφέλειαν αὐτοῖς ἐντεῦθεν μηχανωμένη. ὅτου ὁ μέγας Ἠλίας ἐγκαταλειφθεὶς ὑπὸ τῆς θειότητος πρὸς ἐπισταμένην πάλιν, καὶ τῆς ἀνθρωπείας φύσεως μεμαθηκὼς τὴν ἀσθένειαν, ἀλλ' αὖθις πάλιν τῆς θείας ἀπήλαυσε χάριτος. ὅτου ὁ θεῖος Πέτρος ὠλίσθησεν ἀρνησάμενος, ἀλλ' αὖθις αὐτὸν ὁ δεσπότης ὑπήρεισε. γυμνὸς γὰρ πάντως Ἰούδας τῆς θείας γλώσσης προμηθείας ἕτοιμον ἐγένετο θήραμα τῷ διαβόλῳ. ἐγκαταλείφθη καὶ ὁ μακάριος Δαβὶδ μὲν τὴν ἀμαρτίαν ἐκείνην, καὶ ταῖς χαλεπαῖς ἐκείναις περιέπεσε συμφοραῖς, ἀλλὰ πάλιν τὴν πρὸς Θεὸν ἀπέλαβε παῤῥησίαν, καὶ τῆς ἐκ θεοῦ κηδεμονίας ἀπήλαυσεν. ὁ γὰρ Σαοὺλ τοῦτης ἔρημος γλώσσης πάντως, ἐγυμνώθη μὲν τῆς τοῦ πνεύματος χάριτος, πορφυρᾷ δὲ πνεύματι συνεζύγη. Εἰκότως τοίνυν ὁ προφήτης ἱκετεύει μὴ ἐγκαταλειφθῆναι ἕως σφόδρα, τοῦτ' ἔστι, μὴ πάντα πάσης τῆς προμηθουμένης χάριτος γυμνωθῆναι. καὶ

πάλιν

χχεκείμ. παλιν τοίνυν τῇ αὐτῇ ἐννοίᾳ" χρησόμεθα, ὡς τοῦ εἰπεῖν Ⓜ τὸ ἐγκαταλείπω, μή με ἐγκαταλείπῃς ἕως σφόδρα. γίνεται τοίνυν πολλαχῶς ἐγκατάλειψις τοῦ Θεοῦ ἁγίους οἰκονομίας καὶ βέρτιστοις· ὡς ὅταν καταλείφθῃ ὁ Ἰωὰθ παρὰ τοῦ ἡγεμόνος αὐτὸν μᾶλλον τελειον. καταλείφθη καὶ Ἠλίας, ὡς φθάσαντες εἰρήκαμεν, παρὰ βασιλέως καὶ τοποχωρήσας
5 ἀπὸ προσώπου τοῦ Ἀχαὰβ καὶ τῆς Ἰεσάβελ· ἀλλ' ἕτερόν τι ὠκονομεῖτο παρὰ τοῦ ἐλ- γ.Bασ.ιζ.ι.
λεῖν αὐτὸν εἰς Σαρεφθὰ τῆς Σιδῶνος, ἵ φιλοφρονηθῆναι τοῦ γυναικὸς χήρας, καὶ
χίλιαΨ. ταύτῃ πρέξαι τροφώ (ἁ μὴ γὰρ" ἐκλείψῃ, φησὶν, ἡ ἀρὰξ τοῦ ἀλεύρου, οὐδὲ ὁ ἔ- λαιον οὐ κεραμφάκυ) καὶ ἵνα ὡς τοῦ κακοῦ τῶν Ἰουδαίων φησὶν Ⓜ ὑφανθῇ τὰ ἔτη καὶ
μειῶσαι ἐξ μὴ βρέξαι. φησὶ γὰρ· Ζῇ Κύριος, εἰ ἔσται ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ ὡς γ.Bασ.ιζ.α.
10 λόγου στόματός μου. Ὅ ἕως σφόδρα καταλειφθῆναι παρὰ τοῦ Θεοῦ, τοῦτο δεινὸν, ὥσπερ καταλείφθη ὁ Σαοὺλ καὶ ὁ Ἀβεσαλὼμ μηκέτι πρὸς σωτηρίαν ἀναστρέψαντες. ἐ- γυμνώθησαν γὰρ τῆς τοῦ Θεοῦ προμηθείας.

9 Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξαι σὸν λόγους σου.

Ὀξύρροποι πρὸς ἁμαρτίαν ἡ νεότης, εἰς ἡδονὰς καὶ πάθη ἀτιμίας ἀπαγομένη. ἐὰν
15 μὴ τῇ φυλακῇ τῶν ἐντολῶν τοῦ Θεοῦ χαλιτῶται, μένει ἀβλαβής. ὅπερ γάρ ἐστιν ἀτιμίᾳ πώλῳ χαλινὸς καὶ πωλοδαμασμὸς, τοῦτο τοῖς νέοις γίνεται ὁ θεῖος λόγος. ὅθεν καὶ Δανιὴλ νέος ἦν· ἀλλ' ἐφύλαττε τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ προφητικῆς χάριτος ἠξιώθη, καὶ τῶν ἀπορρήτων μυστηρίων εἰσηγητὴς γέγονεν. ὡσαύτως καὶ Ⓐ τρεῖς παῖδες νέοι ὄντες τὸ πῦρ τῇ πίστει καὶ τοῖς ἔργοις αὐτῶν εἰς ἐναντίαν φύσιν μετήγαγον. ἀνεψύχοντο γὰρ ἐν μέσῳ τούτου,
20 καὶ ἐρροίζουντο τῇ παῤῥησίᾳ τῆς πίστεως καὶ τῇ αὐρᾳ τοῦ πνεύματος. οὕτως οὖν καὶ ἡμῖν πρόσεστιν. οἵτινες νέοι ἐπαρχουσι, λαβὲ τῆς ζωτηρίστεως τῶν ἐντολῶν τοῦ Θεοῦ κεσμήσωσι ἑαυτοὺς, καὶ μὴ ἡδοναῖς παλικες ἄρχοι, ὡς Ἀβεσαλὼμ, ὁ τῇ κακίᾳ συζῶν· ὅστις καὶ ζωπυρωμένῳ ταύτῃ εἶχε κομῶσαν τὴν κεφαλὴν, ὁ ἀναίσθητος ἐν ταῖς φρεσίν. ἡ γὰρ θρὶξ, νεκρότητος σύμβολον. καὶ εἰκότως μὲν αἰτίαν τῆς ἀπωλείας αἱ τρίχες γεγέναι-
25 σι, κρεμασθέντι ἐξ αὐτῶν ἐν τῇ δρυῒ, ὡς ἡ τῶν βασιλέων ἱστορία διηγεῖται. ἀλλ' ἔστι χα- Δ.Bασ.κη.β.
λεπὸν, ὅτι καὶ πᾶν ἔθνος τοῦτον ζηλωτοῦντες, ἀπαγωγοῦσι πολυμηχεῖς βοστρύχους καὶ πλοκαμίδας, τὰ τῆς γυναικωνίτιδος ἔργα τῇ ψυχῇ καταπλοιοῦντες τῇ βλακείᾳ, εἰκῇ φυσιούμενοι ἐν τῷ ἰδίῳ νοΐ. καὶ οὐκ οἴδασιν ὅτι μᾶλλον ἀτιμίαν ἑαυτοῖς ἐπάγουσι, τὸ ἀπο-
στόλου λέγοντος· Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτοῦ ἐστιν· Ἕλλησιν ἢ πρὸς Ὁμήρου ἱστόρηται α.Κορ. ια.ιδ.
30 τοῦτο ποιοῦντες. φησὶ γὰρ, καρηκομοῶντες Ἀχαιοί. ἐπεὶ καὶ Ⓐ τῶν ἰατρῶν σοφοί φασι. πρὸς ὃν ὑπαρέπειμι τοῖς κεφαλῆς μεμετρημένας τὰς τρίχας ἔχοντες χρὴ τὴν τῶν ἀρχαίων ἀνδρῶν κόσμιον ἀρχαιοπρεπῆ μίμησιν ἀσκεῖν, καὶ μὴ ἐπαρκεῖσθαι ταύταις τῇ ψυχῇ θελήσω- χαῦτο
μεν μηδὲ τοῖς μεταφρένοις· ἀτιμία γὰρ ὄντι ᾧ" τοιούτῳ ποιοῦντι, ὡς ἠκούσαμεν τοῦ ἀποστόλου βδελυκτοῦντος.

35 10 Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃς με ἀπὸ τῶν ἐντολῶν σου.

Ζητοῦσι μὲν γὰρ πολλοὶ Ⓜ Θεὸν, ἀλλ' οὐκ ἐν ὅλῃ καρδίᾳ. μερίζουσι γὰρ ταύτην μόνοι εἰς φροντίδας πραγμάτων βιωτικῶν, ἀλλὰ καὶ εἰς ἐπιθυμίας ἀτόπους καὶ φθόνους καὶ δόλους καὶ τὰς τῶν πλησίον ἐπιβουλάς. ὁ δὲ τῶν ὅλων ἐφεστὼς πᾶσαν ἀφιερεῖ ᾧ Θεῷ τοῦ ἁγίου, ἐκ τῆς σκηνῆς ἀπολαύει προθύσεως, μὴ καταπίπτων ἀπὸ τῶν
40 αὐτοῦ ἐντολῶν εἰς βάραθρον ἀπωλείας, ἀλλὰ στοιχῶν ᾧ ζωῇ Θεῷ, καὶ πᾶσαι τὰ ἑαυ- τοῦ ἁγίοις αὐτοῦ ἀναλιθέμενος. 11 Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως οὐ μὴ ἁμάρτω σοι. Ὁ χρυσὸν κεκτημένος ἢ ἄργυρον ἢ λίθους τιμίους οὐκ ἔξω ταῦτα προτίθησιν, ἀλλ' ἔνδον ἐν τοῖς ταμείοις καὶ τοῖς θαλάμοις ἐναποκρύπτει,

ὥστε

ὥςτε ἀφ' ἑαυτῶν τὴν ταπεινότητα καὶ χεῖρας. ὅπως ὁ τὸν πλοῦτον ἔχων τὴν ἀρετὴν κρύπτῃ μᾶλλον ἐν τῇ ψυχῇ, ὡς δὴ μὴ ἀφ' ἑαυτοῦ δόξης κενὸς ᾖ τὸν ἐν ψυχῶν συλήσαντα λωποδύτην ἢ ἄλλως· ἢ κατάχρυσα, φησι, χρυσοῦ ἢ ἄργυρον ἢ ἐσθῆτα πολυτελῆ τι καὶ περίβλεπτον, ὅπερ σὺ καὶ σκώληξ ἀφανίζει, καὶ κλέπται διορύττουσι καὶ κλέπτουσι· ἀλλ' ἐν ταῖς ταμείοις τῆς καρδίας ἔχουλα τὰ λόγιά σου φησὶν ὁ προφήτης, ἵνα μὴ καταπίσω εἰς ἀμαρτίαν. διδάσκει δὲ ἡμᾶς ἕτερον ὁ λόγος. ἡ γὰρ ἄπαισι τοῖς θεῖα λόγια προσφέρῃ παρεγγυᾷ. Μὴ δῶτε γάρ, φησι, τοῖς κυσὶ, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. ταῦτα δὲ εἰ καὶ πρὸς αὐτοὺς εἴρηται, ἀλλ' οὖν ἡμεῖς οἱ φάλλοντες ὀφείλέπαι ἐσμὲν ζωντηρᾶν τῆς ὑμνῳδίας ἡμῶν τὴν ὁμολογίαν. ἔχει δὲ καὶ ἕτερον νοῦν ὁ λόγος. ἡ χρὴ πρὸς τὸ παιδεύειν τοὺς αἱρετικοὺς τὰ ἀγαθὰ προσκεῖσθαι, ἐπεὶ ἀπέχω μαθεῖν μου· ἀλλ' ἐμφυτευθῆναι δεῖ καλὸν, ἵνα ὁ βλέπων θεὸς ἐν τῷ κρυπτῷ ἀποδώσῃ μοι ἐν τῷ φανερῷ.

Matth. ζ. ε.

12 Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Ἀντὶ τοῦ, ἡμερος εἶ καὶ φιλάνθρωπος, ἄξιος προσκυνεῖσθαι· ἢ δὲ χάριν ἀντιβολῶ σε μαθεῖν προσῆκε τὰ δικαιώματα δυνάμενα. ἢ ὅτως· εὐλογημένος εἶ καὶ δεδοξασμένος παρὰ πάντας, ὅτι φιλάνθρωπος εἶ οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος· ἱκετεύω, δίδαξόν με τὰ δικαιώματά σου. ἢ πλοῦτον ἐφίεμαι, ἢ χρυσοῦ ζητῶ, οὐκ ἄργυρον, οὐκ ἀξίδιν, ἅτε μὴ τὴν τερπνὴν τοῦ κόσμου τούτου· ἀλλὰ τὰ δικαιώματά σου μαθεῖν ζητῶ, ὅτι σὸ ὦ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. τοῦτο γάρ ἐστι χρησιμωδοῦ ζήτησις. 13 Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Οὐ γὰρ ναυσκοπεῖ τὰ κρίματα τοῦ Θεοῦ πρέπειν ὅτι σιωπᾷ σὲ ἑαυτῷ, ἀλλ' ἐξαγγέλλῃ, καὶ ἑτέρους ἐπιμορφοῖ. Θεοῦ γὰρ ἀναγγέλλειν ἔργα ἔνδοξον. ἃ γὰρ δὴ προσῆκε τῆς σῆς ἀγαθότητος μάθοιμι, ταῦτα διδάξω σὸν ἀγροικίᾳ.

14 Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ πάντι πλούτῳ.

Ἐπίπονος μὲν ἡ τῆς ἀρετῆς ὁδὸς, ἀλλὰ τοῖς τελείοις τερπνότητος. δηλοῖ τοι τοῦτο καὶ ὁ διασώστης ἔφη Χριστός· Λάβετε ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. τοῦτο καὶ ὁ προφητικὸς ἔφη λόγος· ὅτι πλούτου πάντος δυμπρεπέστερόν μοι τὸν σῶν μαρτυρίων ἡ κλῆσις. τὸ δὲ, ὅτι πάντι πλούτῳ, οὐχ ἁπλῶς προσκειται, ἀλλὰ παντοδαπὸν πλοῦτον προδηλοῖ. πολλαὶ γὰρ αἱ πλούτου ἰδέαι. ὁ μὲν γὰρ χρυσὸν ἔχων ὀνομαζόμενος πλούσιος· ὁ δὲ ἄργυρον· ὁ δὲ γλῶ πλείστιον, τὸν μὲν πεφυτευμένον, τὸν δὲ ἐν ἀπειρομένῳ· ὁ δὲ βοσκήματα. ἀλλὰ ταῦτα πάντα προελόμενος ὁ προφήτης, καὶ τοῖς θείοις μαρτυρίοις προσβαλών, ἔφησεν ἀξιέρεστα αὐτὰ εἶναι τὰ θεῖα μαρτύρια, ὡς τοῖς φιλοπλούτοις ἅπαντα ὁ πλοῦτος ἐν εἴδει. καὶ ὥσπερ ὁ ταῦτα πλουτῶν ἀφραίνει, ὅτω καὶ μᾶλλον εἰκότως ὅτι τοῖς δικαιώμασι τοῦ Θεοῦ, ὡς ὅτι πάντι πλούτῳ, ἀγάλλεται.

15 Ἐν ταῖς ἐντολαῖς σου ἀδολεχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Σχολάζειν καὶ μελετᾶν ἐπαγγέλλεται ὁ προφήτης τὰ ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ἐν ᾗ καὶ πρέπειν ταύταις ἔχειν. τοῦτο γὰρ χάριν, φησὶν, ἐνδιατρίψω τῶν σῶν λόγων τῷ μελέτῃ χρήσω, καὶ ἐν ταῖς σαῖς ὁδοῖς τὴν πορείαν ποιήσομαι. δηλοῖ γὰρ ὅτο κατανόησιν καὶ τὰς ὁδοὺς αὐτοῦ· δηλοῖ καὶ ὅπιφέρει

16 Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Τοῦτ' ἔστιν, ἄληστον τῶν σῶν λογίων ἐν ἐμφυτῷ φυλάξω τὴν μνήμην.

17 Ἀνταπόδος τῷ δούλῳ σου. Οὐ πάντες τοῦτο προσκαλοῦμεν. τῶν γὰρ

δικαίων

δικαίων ὅτι ἡ ψυχή μου. ⁂ σωφρόνως ἡ βύσσος ἡ δικαίας ζητοῦντες, αὐτοὶ τὰ ἁρμόττοντα ἀπαιτοῦμεν· ἀπὸ παιδὸς τοῦ δούλου σου. ⁂ ὃ δὲ ἁμαρτίαις ἢ ἡδοναῖς δὲ πάθεσι ἀπρεπῶς ἐδουλώσατο λέγει· ἀπὸ παιδὸς τοῦ δούλου σου. Οὐδὲν γὰρ πονηρὸν ζωοποιὸς ἐφεύρεν ἐν ἀνθρώπου τῷ πρώτῳ διεστῶτι· ὁ δὲ καθαρὸς χειρώμασι λογισμοῖς, ζωὴ πρέπειαν ταύτῃ κέκτηται τῇ φωνῇ. Ζητήσω, καὶ φυλάξω σοῦ τὰς λήξεις σου.

Ταύτην τὴν ζωὴν αἰτῶ, ἵνα σὺ φυλακὴν τῶν λόγων σου παράσχωμαι. τῆς σῆς γὰρ ἀπολαύων ἐπιτυχείας, ἀμοιφὴν ἔχομεν τῆς ἁμαρτίας τὸν θάνατον, ἢ τὴν σὺν τῶν λόγων σου τετυχήσει ζωήν. 18 Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Οὐκ ἀπόντες ⁂ τοῖς θείοις ἐντυγχάνοντες λογίοις, τὰ τούτων κατανοοῦσι θαυμάσια· ἀλλ' ⁂ τὰ αἴσθησιν ἀπολαύοντες ἄγγλης. ὃ δὴ χάριν καὶ ὁ μακάριος ἔφη Παῦλος· Οὗ δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. αὐτὸς μύστοι τῷ φωτὶ τῷ θείῳ καταυγαζόμενοι εἰκότως ἐσόμεθα· ἡμεῖς δὲ ἀπόντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι εἰς τὴν αὐτοῦ εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος. ἡμᾶς δὲ προσκαλεῖται διαστολὴν ἀνηκόλουθον, ἵνα τὸ κάλυμμα τῶν τῆς ψυχοειδοῦς ἡμῶν προσειλημένων ὀφθαλμῶν, ἐκποδίζῃ τῶν θείων λογίων τοῦ δυνάμει. Ταῖς γὰρ θείαις γραφαῖς χρῆ ἀναγωγικῶς καὶ νοεροειδῶς κατοπτριζόμενοι τὸ νοούμενον· ὡς ὅτι ὁ ἀμνὸς ὁ πάλαι σφαζόμενος ἦν ἡμῶν τῶν Ἰσραηλιτῶν, τύπος ἦν τοῦ ἀληθινοῦ ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τοῦ σφαγιασθέντος ὑπὲρ ἡμῶν. καὶ ὥσπερ ἐκεῖ ἡ χρῖσις τοῦ αἵματος τὴν φλιὰν ἔσωσε τὴν χρίσασαν· οὕτω τὸ αἷμα τοῦ ἀληθινοῦ ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐλυτρώσατο ἡμᾶς ἐκ τῆς κατάρας τοῦ ἐχθροῦ δὲ τῆς τοῦ θανάτου δεσμωτῆς. πάλιν ὑπὲρ ὁ Ἰσραηλίτης λαὸς ⁂ Ἰορδάνου διαβὰς ἢ εἰσελθὼν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τύπος ἡμῶν τῶν χριστιανῶν γέγονεν· ὅτι ἡμεῖς διὰ ὕδατος τοῦ ἁγίου βαπτίσματος εἰς τὴν ἐπηγγελμένην γῆν, τὴν βασιλείαν τῶν οὐρανῶν, εἰσαγόμεθα. Εὐσεβοῦσι δὲ οὐδὲν τοιοῦτον καταθρῶσιν, ὅτι κάλυμμα ἐπὶ τῶν ὀφθαλμοῖς αὐτῶν κεῖται, καθὼς λέγει ὁ θεῖος ἀπόστολος Παῦλος.

19 Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

Δεικνύει φωνὴ, ἢ τῷ Θεῷ βιοῦντος, ἢ μὴ λογιζομένου τὰ τοῦ κόσμου πρόσκαιρα. διὸ ἢ πάροικον ἑαυτὸν λέγει· καθὼς ἢ Ἀβραὰμ ἢ πάντες ⁂ ἅγιοι πάροικοί εἰσιν ἐν τῷδε τῷ βίῳ, ἔχοντες τὴν κατοικίαν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ. τὴν γὰρ γῆν ταύτην πάντες ἡμεῖς οὐ κατοικοῦμεν, ἀλλὰ παροικοῦμεν. βραχεῖ γὰρ διαφωνάντως χρόνῳ εἰς ἕτερον μεταβαίνομεν βίον. τοῦτο ἢ οὐ πάντες ἐθέλουσιν εἰδέναι, ἀλλ' ὅτι τοῖς παροῦσιν ἀγαθοῖς ὡς ὅτι μονίμοις ἢ διηνεκέσι βρενθυόνται· ὁ δὲ τὰ θεῖα πεπαιδευμένος οἶδε τοῦ βίου τὸ πρόσκαιρον. διὸ δὴ οὐ παροικεῖν ἑαυτὸν ὀνομάζει, ἢ ἱκετεύει τὰς θείας ἐντολὰς μηδαμοῦ ἀγνοῆσαι. 20 Ἐπιποθήσει ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπιθυμοῦσι τῶν θείων κριμάτων πολλοὶ, ἢ τῆς τῶν οὐρανῶν ἐφίενται βασιλείας, ἀλλ' οὐκ ἀεὶ, ἀλλὰ νεῦμα μόνον τοῖς θείοις δεήσονται, νεῦμα δὲ τοῖς τοῦ σώματος ἀχθηδόσι παθήμασιν. ὁ δὲ προφήτης ἐμείρεται τούτου ⁂ πόθον ἔχειν διηνεκῆ· ἐν παντὶ οὖν καιρῷ λέγει, οὐχ ὡς ποτὲ μὲν ἐπιποθῶν, ποτὲ δὲ οὐ· ἴσασι γὰρ σύνεσις, [illegible] τοῖς κατηκόοις, ποτὲ μὲν ἐπιποθῶν τὰς τοῦ Θεοῦ ἐντολὰς διὰ τὸν φόβον τῆς ἀπειλῆς κολάσεως ἢ διὰ πόθον τῆς τῶν οὐρανῶν βασιλείας, ποτὲ δὲ ἀπαίρεται τοῖς ἐμφύτοις ἐπιθυμίαις. ⁂ τοιοῦτοι οὖν ἐν παντὶ καιρῷ τὸν Θεὸν οὐκ ἐπιποθοῦσιν· ⁂ ὁ δὲ διὰ τὸν τοῦ Θεοῦ ἀγάπην τοῦτο ποιοῦντες οὐδὲ ἄλλως ἀφίστανται τῶν τοῦ Θεοῦ

κριμάτων.

κριμάτων. 21 Επετίμησας ὑπερηφάνους. Οἱ τῶν θείων νόμων καταφρονοῦντες, τῇ τῆς ὑπερηφανίας ἐξεπίθουσι νόσῳ, ἢ τιμὴ ἦν ἐκ τοῦ δικαίου κριτοῦ δίκαιαι ἀμοιβαί. ἐπήρθησαν οὖν τινες κατὰ τοῦ Θεοῦ, ἀλλ' ἐπετιμήθησαν παρ' αὐτοῦ, ὡς ὁ Φαραὼ ὁ τῇ ἐρυθρᾷ θαλάσσῃ ἀπόλετο ὑπερηφανιζόμενος, ἢ ὁ Σεναχηρεὶμ εἰς ὕψος ἐπαρθεὶς ὑπὸ τῶν ἰδίων ἀφέλετο. ὡσαύτως δὲ Ναβουχοδονόσορ ὑψωθεὶς τῇ καρδίᾳ, ἴσα κτηνῶν ἐβόσκετο. ζηοῦται γὰρ τοῖς ἀλαζόσιν ὁ μισθός. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, καθὼς ἐν παροιμίαις γέγραπται. Παροιμ. γ. λδ.

Ἐπικατάρατοι οἱ σκληρύνοντες ἀπὸ τῶν ἐντολῶν σου. Τῇ τοῦ θείου πνεύματος ἐμπνεύσει προεφήτας ἐλάλησαν, καθὼς καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως ἡμῶν ὁμολογοῦμεν, ὃ λελάληκε διὰ τῶν προφητῶν. αὐτὸ οὖν τὸ πνεῦμα τὸ ἅγιον βοᾷ· ἐπικατάρατοι οἱ σκληρύνοντες ἀπὸ τῶν ἐντολῶν σου. φοβηθῶμεν οὖν, ἀδελφοί, μή ἔλθοι ἐφ' ἡμᾶς ἡ κατάρα τοῦ ἁγίου πνεύματος. Τοιοῦτον δὲ ὁ νόμος τοῦ θεοῦ τοῖς παραβάταις προσφέρει. Ἐπικατάρατος γάρ, φησι, πᾶς ὃς οὐκ ἐμμένει τοῖς ἐγκειμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. καὶ ἡμεῖς οὖν ἀλλοτρίῳ πνεύματι σύμφωνοι γενόμενοι, τῇ ἀρᾷ παραπέμποντες τοὺς σκληρύνοντας ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ. προσευξώμεθα οὖν, μήποτε ἄλλοις ἐπικατάρατοι λέγοντες, αὐτοὶ ἡμεῖς ἐσόμεθα τῇ παρεκβάσει τῶν ἐντολῶν τοῦ Θεοῦ. Δευτ. κζ. κστ.

22 Περίελε ἀπ' ἐμοῦ ὀνειδισμὸν καὶ ἐξουδένωσιν· ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Ὠνείδισε προφήτην ὁ Νάβαλ, δοῦλον δραπέτην ἀποκαλέσας· ὠνείδισαν αὐτὸν καὶ Γεθαῖοι. ἀλγωμόλυθος τοίνυν ὅτι τάχος, ἀποτείσασθαι τὰ ὀνείδη προσκαλεῖ, ἅτε δὴ τὰ θεῖα σκιζήσασα μαρτύρια. οὐχ ἁρμόζει τοίνυν τοῖς παρὰ τοῦ Σεμεῖ ὀνείδεσι τὰ πρόσφορα ῥητά. σκεῦνα γὰρ μετὰ τιμωρίας ἐλήφθη· τὰ δὲ τοῦ Νάβαλ ἐστὶ τῶν ἄλλων προφητῶν τὰς ἁμαρτίας. ὁ ἑτέρῳ οὖν ψαλμῷ λέγει ὁ αὐτὸς προφήτης· Τὸ ὄνειδος τοῖς θλίβουσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις· καὶ, Οὗτοι ἁμαρτωλοὶ καὶ θλίβοντες εἰς αἰῶνα κατέσχον πλοῦτον. καὶ πάλιν ἕτερος προφήτης λέγει· Ἵνατί ἁμαρτωλοὶ θλίβουσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ; θύεται οὖν ὁ προφήτης ἐξ αὐτῶν ἀφαιρεθῆναι τοῦτο τὸ ὄνειδος καὶ τὴν ἐξουδένωσιν. τὰ γὰρ τοῦ κόσμου ἤδετο προσκόμματα, πλοῦτος καὶ δόξα, αὐτὰ λέγει ὄνειδος καὶ ἐξουδένωσιν· τοῦτο κλέος καὶ ὑμνῳδεῖται, τὸ ζητεῖν τὰ μαρτύρια τοῦ Θεοῦ. 23 Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν. Κατὰ μὲν τὸ γράμμα ὁ Σαοὺλ καὶ ὁ Ἀβεννὴρ δὲ ὁ Ἀχιτόφελ ἐλοιδόρουν Δαβίδ· κατὰ δὲ διάνοιαν εἰς Χριστὸν ἀναφέρεται ὁ στίχος. δὲ γὰρ Ἡρῴδης καὶ Πόντιος Πιλάτος δὲ Ἄννας δὲ Καϊάφας συνεβουλεύοντο αὐτὸν ἀποκτεῖναι· αὐτὸς δὲ ἦν μετὰ τῶν μαθητῶν αὐτοῦ ὁ ἐν ᾧ κήπῳ διαλεγόμενος τὰ τοῦ Θεοῦ καὶ παιδός. Εἶπε γὰρ πρὸς αὐτούς· Ἀ ἤκουσα παρὰ τοῦ πατρός μου, ταῦτα λαλῶ ὑμῖν. ὡς ὁ γνήσιος τέλειος ἀδελφὸς δὲ μορφὴν δούλου λαβών, ὡμοιώσατο δὲ δούλοις. Ιω. ιε. ιε.

Ὁ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Ἐγὼ δὲ τοῦ ζῶντος διατυπώσω ὁμολογίαν, μηδέποτε ἔσχον τὰ σὰ δικαιώματα.

24 Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι· καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Πᾶσαι γὰρ αἱ θεοπνεύστου εἰσόψεσι προσκαλούμενος, ταῖς σαῖς ἐντολαῖς ἀκολουθῶ, δὲ οὐδὲν ἕτερον λαλῶ, ὅτι ἐν μελέτῃ εἰμὶ ἄλλων προσταγμάτων, εἰ μὴ τῶν μαρτυρίων σου καὶ τῶν δικαιωμάτων σου. Τοῦτο γὰρ τελείου ἀνδρός.

25 Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου. Τὸν ὑπερβολὴν τῆς ταπεινώσεως λέγει τὸν τοιοῦτον ἐθέλοντα. ὅπου γὰρ καὶ ἐν τῷ πεπαρεσκευασμένῳ τόπῳ ἔφη ψαλμῷ· ὅτι ἐταπεινώθη

ἐταπεινώθη εἰς χοῦν ἡ ψυχή μου· ἐκολλήθη εἰς γῆν ἡ γαστήρ ἡμῶν· τοῦτ' ἔστιν, οὐχ ὑψώθην, οὐχ ὑπερηφανος ἐγενόμην, ἀλλὰ ταπεινόφρων. τοῦτο γάρ ὅστι ὁ ἐκολλήθη ὁ ἐδάφει ἡ ψυχή μου. διὰ αὐτοῦμοι· Ζῆσόν με κατὰ τὸ λόγον σου·

Τοῦτ' ἔστι, κατὰ Ψ νόμον σου τὸν ζωὸν μου διδάσκων. δηλοῖ ὅτι οὐδέποτε μὴ τὸ σῶμα αὐτῆς κοινωνίαν ἐκ τοῦ ἐδάφους οὔσης τοῦ χοός, ἔπειτα δὲ τὸν ἑκούσιον ταπείνωσιν αὐτοῦ, ἣν ἐφ' οἷς ἡμάρτομεν ἐπεδείξατο, ζῆσαι δι' αὐτῆς διὰ Ψ λόγον τοῦ Θεοῦ οὐδέποτε προσδοκήσας Ψ ταπεινωθῆναι ἑαυτὸν δυνάμενος. ζῆσόν με κατὰ Ψ λόγον σου. Οὐκ ἀορίστως αἰτεῖ ζωήν, ἀλλὰ τὴν κατὰ νόμον ζωήν.

26 Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Πάσας σοι, δέσποτα, ταῖς ἐμαῖς δεδήλωκα προαιρέσεις, καὶ σοὶ δῆλόν ἐστι λαθεῖν τὴν ἐμὴν ἀνεχόμενον. διὰ τοι τοῦτο ταῖς ἐμαῖς ἱκετείαις ὑπακούσας. δυσκόλως μαθεῖν ἀκριβῶς τὰ σὰ δικαιώματα. λέγει ὁ αὐτὸς προφήτης ἐν ἑτέρῳ ψαλμῷ· Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ ἐν ἄλλῳ προφήτῃ εἴρηται· Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. ἁμαρτάνομεν γὰρ οὖν ἡμᾶς ἐξαγγέλλειν ἐνώπιον τοῦ Θεοῦ τὰς ἁμαρτίας καὶ, καθ' ὅσον ἐκποδὼν ποιεῖν (ἐκκοπὴ γάρ ἁμαρτίας ἡ ἐξαγόρευσις, ταύτης ἄφεσιν ἐργάζεται) καὶ μᾶλλον διδασκάλῳ ἰατρὶ ἐξαγγέλλειν, καὶ λαμβάνειν παρ' αὐτοῦ διδαχήν, ἣ ὀφείλομεν ποιεῖν ὅτι ταῖς ἁμαρτίαις ἡμῶν. χρείας ἔχοντα μετανοίας δηλοῖ. ἔφη γάρ ἐν ἑτέρῳ ψαλμῷ ὁ αὐτὸς προφήτης· Ἰδε τὴν ταπείνωσίν μου καὶ Ψ κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. καὶ ὅτι τῇ ἁμαρτίᾳ αὐτοῦ ἐνδιδοὺς λέγων· Λύσω καὶ ἐκεῖ ἐγὼ πάντα τὸν χλίνην μου, ἐν δάκρυσί μου τὸν στρωμνήν μου βρέξω.

Ψαλ. κδ. ιη. Ησαιας. νϛ. Ψαλ. λα. ε. Ψαλ. κδ. ιη. Ψαλ. ϛ. η.

27 Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Οἱ ἐν ταῖς ὁδοῖς τοῦ Θεοῦ πορευόμενοι καὶ συνετιζόμενοι παρ' αὐτοῦ εὐδελεχῶς, πάντοτε (τοῦτο γάρ ὅστι ὁ ἀδολεσχήσω) ἐν τοῖς θαυμασίοις τοῦ Θεοῦ μελετῶσιν, ἐννοούμενοι ὅτι αὐτός ὅστιν ὑφαντοῦ καὶ γῆς ποιητής, αὐτὸς σῴζει ἡμᾶς, αὐτὸς χορηγὸς τῶν ἀγαθῶν, αὐτὸς πέμπει ὑετόν, αὐτὸς φέρει ἔαρ καὶ θέρος, πάντα ποιῶν πρὸς δυὰ σῴζειν ἡμᾶς, αὐτὸς ἁρμονίᾳ καὶ τάξει, ὡς ποιητής, τὰ πάντα συντηρεῖ. καὶ γὰρ θείας ἡμῖν συνέσεως δεῖ, ὥστε Ψ θεῖον νόμον τὸν ἀρετὴν μετελθεῖν, καὶ τὴν φιλοθεωρίας χρῆμα μὴ πρὸς κενοδοξίαν ἰδεῖν, καὶ τὴν ἀσκητικὸν μὴ ἀνεῖσθαι τὴν δυσθεώρητον ἔπαινον, τὴν σώφρονα μὴ διὰ τὸν τῆς ἀκολασίας αἰσχύνην, ἀλλὰ διὰ τὴν πόθον τῆς ἀρετῆς εἰς τὸν σωφροσύνην. Εἰκότως τοίνυν ὁ προφήτης αἰτιᾶται συνέσεως θείας μεταλαχεῖν, ὡς διαγνῶναι τὸν τῆς δικαιοσύνης ὁδόν. 28 Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἡ συνεχὴς προσοχὴ τῆς ἁμαρτίας διαλύει πολλάκις τὴν τόνον τῶν λογισμῶν, καὶ ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητήν, καὶ τὸν καλὸν ἀκηδίαν ἐργάζεται. καθυγραίνει ἡ ψυχὴ τὸν ὕπνον εἰσδέχεται, ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον· διόπερ βεβαιωθῆναι καὶ στηριχθῆναι ὁ προφήτης δυσκολεῖ. Ὃ δὲ καταπίπτειν εἰς ἁμαρτίαν, καὶ ῥαθυμίαν καὶ ὀλιγωρίαν καὶ ἀκηδίαν κεφαλαιοῦσθαι, καὶ μὴ προθύμως ἔχειν πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ, συσταλμός ὅστι. Ἐν ἑτέρῳ ψαλμῷ τοῦτο τὸν ἔννοιαν εὔχεται ὁ προφήτης λέγων· Φώτισον ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, θάνατον τὸν ἁμαρτίαν κακόν. 29 Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. 30 Ὁδὸν ἀληθείας ἐξελεξάμην· τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἀναγκαία καὶ αὕτη ἡ δέησις. προσέχει γὰρ ἡμᾶς αἰτεῖν παρὰ τοῦ Θεοῦ τῶν ὅλων βοηθεῖν, ὥστε τῆς ἀδικίας ἐκτρέπεσθαι τὴν ὁδόν, καὶ τὴν

Ψαλ. κη. ιγ. Ψαλ. ιη. κα.

τῆς ἀληθείας προαιρεῖσθαι πορείαν, καὶ ἀλλήλοις παρέχειν τῷ τοῦ Θεοῦ μαρτυρίων τὴν μνήμην. πᾶσαν γὰρ ἔξιν πονηρὰν ἐκ αὐτοῦ βούλεται ὁ προφήτης ἀφαιρεθῆναι (ἔστι γὰρ ὄντως ἡ ἀδικία) καὶ τῷ νόμῳ αὐτοῦ καὶ ταῖς ἐντολαῖς αὐτοῦ ἐλευθέρως. λέγει γάρ, ὁδὸν ἀληθείας ἡρετισάμην· τοῦτ' ἔστιν ἠγάπησα, ἐξελεξάμην· καὶ τοῦτο εἴωθεν ὁ θεὸς τὰ κρίματα σου ἐπιλαθόμην, καὶ ὁ θεὸς τῆς μνήμης τῶν μαρτυρίων σου λήσομαι γέγονα. 5

31 Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς.

Οὐχ ἁπλῶς, εἶπεν, ἠκολούθησα τοῖς μαρτυρίοις σου, οὐδὲ πρόχειρος, ἀλλ' ἐκολλήθην· τοῦτ' ἔστιν, οὐδὲ πρὸς βραχύ τινων ἐχώρισα ⓦ ἐμαυτὸν λογισμοῖς, ἀλλὰ διαπαντὸς σὲ αὐτοῖς ἐμαυτῷ ἐφόμην μὴ ἀποστρεφόμενος ἐξ αὐτῶν. διὸ δὴ μηδὲ καταισχύνῃς με, ὅταν ἐκεῖσε ᾧ ἀποδιδῶσι χάριν τὰ ἔργα αὐτοῦ. ζητῶ γὰρ τυγχάνειν τῆς τοιαύτης διαθέσεως καρπόν, ὃ μηδεμιᾶς πείρας αἰσχύνης λαβεῖν. 10

32 Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Ἀμφοτέρων χρεία, καὶ τῆς ἡμετέρας προθυμίας, καὶ τῆς τοῦ Θεοῦ προμηθείας. ὅτι γὰρ ἡ θεία χάρις δίδοται τοῖς τὴν ἀγαθὴν οὐκ ἐχουσι προθυμίαν, ὅτι δὲ θεοπρεπὴς φύσις δυνάται ἀρετὴν κατορθῶσαι δίχα τῆς ἄνωθεν βοηθείας. τοῦτο καὶ ὁ προφήτης διδάσκει, ὅτι τῷ ἐντολῶν σου τὴν ὁδὸν ἔτρεχον ἀκωλύτως, "ὅτε αὐτὸς ἐμβιβάσεις τὸν θρόμον τὴν βύκολίαν· πλατύτητα γὰρ τὴν εὐκολίαν καλεῖ. καὶ ἀλλαχοῦ φησιν· Ps. 9. a. Ps. 4. μ. Ἐν θλίψει ἐπλάτυνάς μοι. καὶ πάλιν· Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ ἴχνη μου, ὅτι μὲν βύκολος καὶ εὐχερὴς ἐποίησας τὰ κατ' ἐμέ, καὶ ἀπεδίωξας ἀπ' ἐμοῦ πᾶσαν τραχηλιώδη καὶ σκληρὰν προσβολὴν τοῦ ἐχθροῦ. τοῦτο γάρ ἐστιν, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου, ὁδὸν ἐντολῶν σου ἔδραμον. τοιοῦτος ἦν ὁ 1 Cor. 9. 26. Παῦλος λέγων· Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. ὡσαύτως καὶ πάντες ⓐ ἅγιοι.

33 Νομοθέτησόν μοι, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Τὸ νομοθέτησον ὁ Σύμμαχος, ὑποδείξον εἶπεν· Ἀχύλας δὲ καὶ Θεοδοτίων, Φώτισον. Διαπαντός, φησι, τῆς σῆς δεόμεθα φωταγωγίας καὶ νομοθεσίας, ὥστε Isa. 26. 7. καὶ γνῶναι τῶν δικαιωμάτων σου τὴν ὁδὸν, καὶ ταύτην ἀκολούθως ὁδεύειν. Πᾶσα "οὖν δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον παρὰ τοῦ πατρὸς τῶν φώτων· ἐὰν ἡμεῖς προαιρούμεθα ἀγαθόν τι ποιεῖν, εἰ μὴ αὐτόθεν ἕτοιμον τὴν συνεργίαν, Rom. 8. ἀτελὴς ἐστὶν ἡ ἔφεσις ἡμῶν. βύκη) οὕτω ὁ προφήτης, καὶ ἡμεῖς ⓐ φάλλοντες (Ὅσα οὖν προεχάφη, διὰ τὴν ἡμετέραν σωτηρίαν προεχάφη) ⓦ Θεὸν συνεργὸν ἔχειν. διὸ καὶ ὑπισχνεῖται· 34 Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Τῆς αὐτῆς ἰσχύος ἔχεται ὁ λόγος οὗτος, ὃ δεῖται ἑτέρας ποιᾶς εἰς ἑρμηνείαν. καὶ γὰρ ὁ Κύριος προστάττει ἑρμηνεῦσαι τὰ γεγραμμένα· ἀλλὰ τοῖς ἑρμηνεῦσι χρεία τῆς ἄνωθεν αἴγλης, ἵνα καὶ βύρωσι τὸ ζητούμενον, καὶ φυλάξωσι τὸ θεωρούμενον. 35 Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Οὐχ ἁπλῶς αἰτεῖ ὁδηγηθῆναι αὐτὸν ἡγεῖσθαι τῶν ὅλων Θεὸν, ἀλλὰ δυνατὸς τῆς παρείας τὸν πόθον.

36 Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Ἐπὶ ὃ προαιρεῖ φέρεσθαι πέφυκε τῶν ὑδάτων ἡ φύσις, καὶ πῶς ὑπολαμβάνεται διεξόδως, ἐκεῖσε πᾶσα χωρεῖ· ὅτου τὸ διαβόλου τὸ ὅτι τὴν ἀμώμητον ὁδὸν διανοίξαντος, τῶν αὐθεντῶν ἐρρέθη ὅτι ὃ χαίρουσι ἡ φύσις. σφόδρα τοίνυν ὁ προφήτης ἁρμοδίως δυνάμενος ὅτι τὰ θεῖα μαρτύρια τὴν καρδίαν κλινθῆναι, εἰς τῆς ὑπὲρ ἀστέρων φορᾶς τὴν

πεῖραν

πεῖσαι δ᾽ἀφυτῶν. Ἐ γὰρ ἡ δ᾽ἐνοια τῦ αἰ᾽δεφπ᾽ ὑπιμελῶς ἔγκειται ὅπι τὰ ποιμενὰ Γεν.κα.
ἐκ νεότητος αὐτῦ, καθὼς γέγραπται. ἐυχόμεθα οὖν διδασκόμενοι ὑπὸ τῦ πνεφήτυ κλιθῆναι τὰς καρδίας ἡμῶν εἰς τὰ μαρτύρια αὐτῦ, καὶ μὴ εἰς πλεονεξίαν, εἰς ἁρπαγὰς καὶ ἀδικίας, καὶ εἰς πρασταπασμοὺς τῦ κόσμυ τύτυ. Ὅτι πᾶς ὁ βίος τῶν ἀσε- Ιαβ ιι.κ.
βῶν ἐν φεγγίδι, καὶ τὸν πολύαθλον Ἰὼβ. ἐκ τύτων γὰρ καὶ πλάτεται πλοῦτος, ὅσις
καὶ μαμωνᾶς κολεῖται.

37 Ἀπόστρεψον μοῦ τοὺς ὀφθαλμούς μυ, τῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ συ ζῆ-
σόν με. Παρακαλῶ ὁ πνεφήτης μὴ μετιπαίζεσθαι τοῖς ὀφθαλμοῖς δι᾽ἃ τίνων
θεάτρων, ἵππων τε ἐν ἡλίκοις δρομαῖς ἐν ὀρχηστικῶν λυγισμάτων, ἃ λυπᾷ ὄντι ματαιότη-
τος, καὶ ἀκερδῆ καὶ αἰόνητα· ἐπεὶ ἐ πόντα τὰ πνεφήματα καὶ αἱ φεγγίδες αἱ πολλαὶ τυ
κόσμου τύτυ αἱ ζωτεύσαι πρὸς πάθη ψυχικά, ματαιότητές εἰσι. διὸ καὶ ἐν ᾧ ἐκ- Ἐκκλησιαστ̃
κλησιασθῆ εἴρηται· Ματαιότης ματαιοτήτων, καὶ πόντα ματαιότης· τὰ γήϊνα δηλονό- α.β.γ.
τι. ἐπάγει γάρ· τίς πρεισυεία τῳ ἀνθρώπῳ ἐν πόντι μόχθῳ αὐτῦ, ᾧ μοχθεῖ Ἐκκλησιαστ̃
ὑπὸ τὸν ἥλιον; γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται καὶ αὖθις, Ὠκοδόμησά μοι οἴ- β.δ.ε.
κους, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους ἐν παραδείσους, κολυμβήθρας
ὑδάτων τῦ ποτίσαι ἀπ᾽ αὐτῶν. ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκογενῆς ἐγένοντό μοι. καί τε κτῆσις βοσκολίων καὶ ποιμνίων πολλὴ ἐγένετό μοι ὑπὲρ πάντας τὸν ἔμπροσθεν
ἐμοὶ ἐν Ἰερυσαλήμ. Ζωτήσατό μοι χρυσίον καὶ ἄργυρον καὶ χρυσίον, καὶ πε- χ ὑφ᾽
ριουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν. ἐποίησά μοι ᾄδοντας καὶ ᾄδουσας, ἐ ἐντυφήματα
υἱῶν τῦ ἀνθρώπου, οἰνοχόους καὶ οἰνοχοούσας, καὶ ὅσα ἀπεκώλυσα τὴν καρδίαν μυ ἀπὸ
πάσης εὐφροσύνης. καὶ ἰδοὺ τὰ πάντα ματαιότης, καὶ πρόαιρεσις πνεύματος. μάταιον
δι᾽ὅτι ὃ ἀκερδὲς καὶ αἰόνητον. τοιαῦτα γὰρ τὰ δοκοῦντα τῦ βίου τερπνά. ἰκετεύει τοίνυν ὁ
πνεφήτης εἰς ἑτέραν θεωρίαν ῥέψαι τῆς ψυχοίας τὰ ὄμματα, καὶ τῇ τῶν πρόσω
ματαιότητι μὴ θελχθῆναι. ὃ γ᾽, ἐν τῇ ὁδῷ συ ζῆσόν με, καὶ σὸν σὰς δός μοι πολιτεύ-
εσθαι νόμους.

38 Στῆσον τὸν δοῦλόν συ ὃ λόγιόν συ εἰς τὸν φόβον συ.

Βέβαιον ἐν τοῖς σοῖς λόγοις ἀπόφηνόν με, ἀπειλῆσαι φυλάττων ὃν φόβον συ, διὰ
τῦ, ὑπακούσθω μοι ὁ φόβος συ, δεδιττόμενος καὶ μὴ ἐὰν ἐκτραπῶσιν τῶν λογίων συ,
εἰς ὃ πρεσελθὼν ἀπ᾽ ἐμοῦ πᾶσαν κακίαν καὶ ἀμαρτίαν. ὕστε τοίνυν δέομαι γενέσθαι ἐν
ἐμοὶ τὸν δοῦλόν συ. Φόβος γὰρ Θεοῦ (γέγραπται) εἰς ζωὴν διδρί. Ἐ, Τῷ φόβῳ Κυ- Παροιμ.ιθ.κγ.
ρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καὶ ἐν τοῖς ἑξῆς ὃ τῦ αὐτῦ ψαλμοῦ ὁ πνεφήτης λέγει· Παροιμ.γ.ζ.καὶ
Καθήλωσον ἐκ τῦ φόβυ συ τὰς σάρκας μυ· ὑπακούσθω μοι οὖν ὁ φόβος συ, μὴ ἐὰν με ιδ.ις. ψλγ.ρκβ.ιθ.
πρεσᾶξαι θέλημα σαρκός. Τὸ γὰρ θέλημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν ἐστι, τοῖς Ρωμ.ζ.
οἱ Παῦλον πρόσολον.

39 Περίελε πνευσμὸν μυ, ὃν ὑπώπτευσα· ὅτι τὰ κρίματά συ χρηστά.

Ὁ γ᾽ Ἀχύλας δι᾽ τῦ, ὑπώπτευσα, Ὑπεσάλιν εἴρηκεν· ὕστε γ᾽ καὶ ὁ Θεοδοτίων. Ὁ
γ᾽ Σύμμαχος, Ὃν βλασφημῶ. Πνευσμὸν γ᾽ σὺ τῶν θαυμάσιον καλῶ· ὑπὸ τῆς ἁμαρτίας γι-
νόμενον. τῦτον δὲ καὶ ὑπεσείλετο καὶ ἐδεδίει, καὶ ὑπόπτον ἔχη ζωλίν. διὸ τῦτο οὐκ ἐπή-
γαγε Ζωπήσω, ὅτι τὰ κρίματά συ ἐζεζήτησα, ἢ ἐφύλαξα, ἀλλ᾽ ὅτι τὰ κρίματά συ
χρηστά. κρίματα δὲ καλῶ, τὰς τῦ Θεοῦ δικαίας ψήφους. Ὃ δὲ ὑπώπτευσα, τῦτο ἐστί,
Ζωπήσων ἐμαυτὸν ἁμαρτήσαντα· καὶ ὄνειδός μοι τοῦτο ἐστιν, ὅτι καὶ εἰκόνα συ κλαδεῖς,
εἰς ἁμαρτίαν καταλίπωσα. πρόελε οὖν τοῦτον ἀπ᾽ ἐμοῦ, ὅτι ὑ μόνον τοῖς ἁμαρτά-
νουσιν ἐπάγῃς θυμοείδη, ἀλλὰ ἐ τοῖς μετανοοῦσι πλέον σωτηρίαν. χρηστὰ γὰρ τὰ κρίμα-

πά σε, κατ' ὀλίγαση τῶ ἀγαθοῦ ὄντα. πλεοναζούσης γὰρ τῆς ἀγαθότητος ἡ χρηστότης γίγν, ὡς ⓐ φασὶ αὐτὰ σοφοὶ λέγουσιν.

40 Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Ἐπιθυμία μοί ὅστι τελεία τὸ ἐν ταῖς ἐντολαῖς σου παρεῖναι· γλυκερώτερόν δέ μοι φάρυγος τινὸς ἡ δικαιοσύνη ζωή. τοῦτο γὰρ ποιεῖ, τὸ κεφάλαιον πασῶν τῶν ἀρετῶν κέκτημαι. 41 Καὶ ἐλθοί ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε. Πάντες γὰρ ἐνδεεῖς ἐσμεν τῆς θείας φιλανθρωπίας· ὃ ὁ αὐτὸς κατεπληφὼς τὸν ἀκροπάτιλον τῆς ἀρετῆς χορυφαῖον, ταύτης δεῖται διηνεκῶς· ἐπεὶ καὶ ⓐ ἁμαρτάνοντες καὶ ⓐ τὸν βίον καταρθωκότες χρήζομεν τοῦ ἐλέους τοῦ Θεοῦ. ἐνδεεῖς γὰρ πάντες τῆς θείας φιλανθρωπίας, Καὶ πάντες ὑστεροῦμεν τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. μετὰ γὰρ τῆς τοῦ Θεοῦ συνεργίας ὃ ὁ ἁμαρτάνων ὀλιγωρέφει ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς ποιητικῆς, καὶ ὁ ἀγαθὸς ἀγαθωθήσεται) καὶ σωτηρθήσεται τῇ ἀγαθωσιώνῃ. Τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου· 42 Καὶ ἀποκρινοῦμαι τοῖς ὀνειδίζουσί μοι λόγον. Ἠλπίκαμεν, δέσποτα, σωτηρίου ἐν τοῖς ἐντολαῖς σου λόγοις, ἵνα τοῖς πολεμίζουσί μοι σου ῥῆμα ἀφελεῖν. ὁ γὰρ ἐν συμφοραῖς ὤν, φέρει τὰ ὀνείδη σιγῶν· ὁ δὲ τὸν θυμὸν βιοτεύων βίον, διελέγχει τοὺς κακῶς ὀνειδίζοντας. καὶ γὰρ ἴσως τινὲς ἄπιστοι ὁρῶντές με ἐν τῷ βίῳ ἐν θλίψεσι καὶ συμφοραῖς ὄντα, ὀνειδίζουσί με· ἀλλ' οὖν ἀποκριθήσομαι αὐτοῖς λόγον· ὅτι ἔδησεν ἡμέραν Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν ᾗ μέλλει κρίνειν τὸν οἰκουμένην καὶ ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον· τοῖς δὲ ἐξ ἐριθείας, ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ στενοχωρία, καὶ ὀλίγα πᾶσαν ψυχὴν ἀνθρώπου τὸ κατεργαζόμενον τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος. διὸ καὶ ὁ πλούσιος ἤκουσεν· Ἀπέλαβες σὺ τὴν ζωήν σου καὶ ἀγαθά σου, ὁμοίως καὶ ὁ Λάζαρος τὰ κακά· διὰ τοῦτο σκῆνος μὴ ὧδε πρόσκαλέσῃ, τὸν δὲ ὁδηγήσασαν. τὸ δὲ ἠλπισα ὅτι τοὺς λόγους σου, τί ὅστι; τῆς γὰρ σῆς ἐπαγγελίας ἐξήρτημαι, καὶ ὅτι ταύτης ὁδεύω τῆς ἐλπίδος.

43 Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα· ὅτι ὅτι τοῖς κρίμασί σου ἐπήλπισα. Τίμιον ἡ ἀλήθεια, ὥστε καὶ αὐτὸς ὁ Χριστὸς ἔφη· Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. καὶ ἕτερος προφήτης διδάσκει· Οὗτοι ⓐ λόγοι οὓς ποιήσετε, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς ⓦ πλησίον ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. ὃ δὲ ἐναντίον τῆς ἀληθείας ὃ ψεῦδος, ὃ καὶ ἐκ τοῦ πονηροῦ ὄστιν. αὐτὸς γὰρ πρῶτος ψευσάμενος ἐψεύσατο τὴν Εὔαν. ἐρᾶν οὖν ἡμᾶς τῆς ἀληθείας ὁ προφήτης διδάσκει, καὶ ταύτην αἰτεῖν παρὰ τοῦ Θεοῦ τὴν ὅλων ζωὴν πρόφασιν πολλήν.

44 Καὶ φυλάξω ⓦ νόμον σου διὰ παντὸς εἰς ⓦ αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐντεῦθεν μὲν ἐν τῇ ζωῇ ταύτῃ φυλάξω ⓦ νόμον σου καὶ τὰς ἐντολάς σου διατηρήσω· ἀπόκειται δέ μοι τὰ ἀγαθὰ τὸ ποιοῦντι. ὅπου γὰρ καὶ προθυμότερος πρὸς τὸν τῶν νόμων ἠμήσομαι φυλακήν. διὰ μὲν τοι τοῦ, Εἰς ⓦ αἰῶνα, καὶ Εἰς ⓦ αἰῶνα τοῦ αἰῶνος, ἐδήλωσε ⓦ μέλλοντα βίον, ἐν ᾧ καθαρὸς καὶ ἀκεραιφνὴς δοθήσεται) ἅπασι τοῖς θείοις νόμοις ἡ φυλακή, καὶ τὰ ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ὅτι καρδίᾳ ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα γὰρ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

45 Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα·

46 Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην.

Μετὰ πολλῆς, φησιν, εὐκολίας, καὶ τὰς σὰς ἐντολὰς βιοτεύων, οὐδὲ βασιλικὴν ἔδεισα δυναστείαν, ἀλλὰ ἐν παῤῥησίᾳ πολλῇ τοῦ προσώπου αὐτῶν ἐποιούμην διάλεξιν. ἡ γὰρ

εὐνομος

ἔνομος ζωὴ παῤῥησίας δημιουργός. καὶ τούτου μάρτυς ὁ μέγας Δαβίδ. πρὸ μὲν γὰρ τῆς ἁμαρτίας μετὰ πολλῆς τῆς Σαοὺλ ἐφιλεῖτο παῤῥησίας· μετὰ δὲ τὴν ἁμαρτίαν, καὶ τὴν παλαιὰν ἀποδιδράσκων ὁδόν, κατῳκίσθη εἰς γῆν καὶ τὴν κεφαλὴν καλύπτων ἐβάδιζε. πλατυσμὸν δὲ σὺ ἐπλάτυνας τὴν βάσιν αὐτῶν ὑπὲρ τὴν εὐκλείαν καὶ τὴν εὐκολίαν λέγει, ἵνα ἀγαθῶς βιοῶντες πορεύωνται), καὶ οὐκ ἐκκλίνουσι δεξιὰν ὅτε ἀριστεράν, εἰ μὴ πρὸς τὴν ὁδὸν τοῦ Θεοῦ ἔχουσι τὴν νῦν αὐτῶν. πρὸς γὰρ σὲ σκολιοὶ, σκολιὰς ὁδοὺς ἐποιήσατο Κύριος. ὅταν δὲ σὺ πλατυσμὸν τῶν ἐντολῶν σου ἐπορευόμην, ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. τοιοῦτος ἦν Ἠλίας ὁ πάνυ, τῇ δικαιοσύνῃ θαῤῥῶν, ἐλέγχων τὴν πονηρευομένην τοῦ Ἀχαάβ. τοιοῦτος ἦν ὁ θεσπέσιος Δανιὴλ λέγων τῷ Ναβουχοδονόσορ· Καὶ γνῶ βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. τοιοῦτος ἦν Ἰωαδὰμ, ἐλέγχων τὴν μοιχείαν τοῦ Ἡρῴδου, λέγων αὐτῷ· Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. ὅπως ὁ θεῖος Παῦλος πρὸς τὸν Ἀγρίππαν καὶ τὸν Φῆστον καὶ τὸν Φίλικα διελέγετο. οὕτως καλλίνικοι μάρτυρες τῶν δυναστῶν κατεφρόνησαν βασιλέων. Δαν. δ. κδ. Μαρκ. ς. π. χ. γρ. ἔνιοι

47 Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα·

48 καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Οὐ γὰρ ὡς λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ὡς δυνάμει. καὶ, Ὁ ποιήσας καὶ διδάξας, μέγας κληθήσεται) ὡς τῇ βασιλείᾳ τῶν οὐρανῶν. δεῖ τοι καὶ ὁ θεῖος τοῦ Φήτης τῇ μελέτῃ τὸν πρᾶξιν προσέθηκεν. Εἰρηκὼς γὰρ, ἐμελέτων δὲ ταῖς ἐντολαῖς σου ἃς ἠγάπησα σφόδρα, καὶ θερμὸν ὑπεδείξας πόθον, ἐπήγαγε· καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. ἃ γὰρ δεῖ τῶν θείων λόγων ἐδιδασκόμην, ταῦτα δεῖ τῶν ἔργων μετιέναι. καὶ γὰρ μελέτη τῶν θείων λόγων καὶ ἡ ἀκρόασις τῆς ἀναγνώσεως πρὸς ἔργα ἀγαθὰ καταντᾷ. τοῦτο γάρ ἐστι τὸ, ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου. αἱ χεῖρες γὰρ πρακτέων εἰσὶ δηλωτικαί. ἔφη γὰρ ὁ ἀπόστολος· Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται) καὶ, Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως δηλοῖ καὶ ὁ Κύριος ἔλεγε· Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται) ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρριψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. ὅστις δὲ ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. Ὃ δή, ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου, ἐνδελεχῶς, φησι, τὴν τούτων ἐποιούμην μελέτην. Ρωμ. ιγ. Ἰακ. β. κδ. Ματθ. ζ. κς. κζ. καταβολὴν

49 Μνήσθητι τοῦ λόγου σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Νομοθετῶν ὁ Θεὸς, καὶ τοῖς φυλάξουσι νόμον τὴν οἰκείαν βουλήσεσθαι ἐπηγγείλατο, καὶ τοῖς παραβάταις τὴν ἀμοιβήν. μνησθείην τοίνυν Θεοῦ τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. Εἰς ἐκείνας γὰρ, φησι, ἐλπίζειν ἐδίδαξάς με· μνήσθητι οὖν, δέσποτα, τῶν ὑποσχέσεων, ὧν ἐπηγγείλω ἡμῖν. ἔφης γὰρ τοῖς μαθηταῖς σου, Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὃ μόνον αὐτοῖς τοῦτο ἐπηγγείλω, ἀλλὰ δὲ ἡμῖν πᾶσι τοῖς πιστεύουσι δι' αὐτῶν εἰς τὸ ὄνομά σου. μνήσθητι οὖν ἡμῶν ὧν μεθ' ἡμῶν ὑπέσχου, καὶ μὴ ἀποσῇς ἀφ' ἡμῶν, ἵνα μὴ ἀπολώμεθα. Ματθ. κη. κ. Ἰωαν. ι. ἐπηγγείλω

50 Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι ὁ λόγος σου ἔζησέ με.

Ταύτην γὰρ ἔχομεν παράκλησιν ἐν ταῖς συμφοραῖς ἡμῶν καὶ ἐν ταῖς θλίψεσιν. αὕτη ἡ ὑπόμνησις, αὕτη παράκλησις μείζων ἐστὶ καὶ ἀναψυχή, ἢ ὅτι ταύτης ἐχόμενος οὐκ ἐκπλεύσει τῶν κυμάτων. διὸ αὐτὴν μᾶλλον ἐν τοῖς λόγοις σε πολλαχοῦ ποιοῦμαι.

51 Ὑπερήφανοι παρίσταντό μου ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ὑπερηφάνους καλῶ τοὺς Σαοὺλ, τὸν Ἀβεσσαλὼμ, τὸν τῶν Ἀμμανιτῶν βασιλέα, τοὺς πολεμίους ἐκείνα εἰς τοῦτο ἀποσαλεύσαντας πρὸς αὐτὸ πεπεικότα. ἀλλ' ἐκεῖνοι μὲν παράνομον ἠσεβήσαντο βίον, ἐγὼ δὲ τοῖς σοῖς ἠκολούθησα νόμοις. ταῦτα δὲ εἴρηκεν ἀντὶ τοῦ καὶ τὰς πολλὰς μάρτυρας, ὅσοι τῶν ἀπίστων καὶ δυναστῶν ὑπέμειναν τὰ δεινὰ ἐκεῖνα καὶ χαλεπὰ πεπονθότες. ὑπερηφανεύοντο δὲ σφόδρα καὶ οἱ Φαρισαῖοι μὴ παραιτούμενοι ἀκοῦσαι τῆς διδασκαλίας τοῦ Χριστοῦ. διὸ καὶ ἔλεγον αὐτοῖς, Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν. ἃ μόνοι γὰρ ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς ἄλλους εἰσελθεῖν κωλύετε. ἐπὶ ὑπερηφανεύοντο οἱ ἄρχοντες καὶ οἱ ἱερεῖς τῶν Ἰουδαίων καὶ τῶν ἀποστόλων, λέγοντες αὐτοῖς· Οὐ παρηγγείλαμεν ὑμῖν μηδενὶ λαλεῖν ἐν τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν. οἱ δὲ ἀπεκρίναντο αὐτοῖς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν μᾶλλον ἀκούειν, ἢ τοῦ Θεοῦ, κρίνατε. 52 Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Διωκόμενος οὖν ὁ χορὸς τῶν ἀποστόλων καὶ μαρτύρων, πόθεν ἐμυήσκετο τῶν κριμάτων τοῦ Θεοῦ τῶν ἀπ' αἰῶνος· οἷα πέπονθεν ὁ Ἄβελ ὑπὸ τοῦ ἀδελφοκτόνου Κάϊν, οἷα ὁ Ἀβραάμ, οἷα ὁ Μωϋσῆς· καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ, καὶ τὸν Ἰωσὴφ, καὶ τὸν Ἰὼβ (καὶ ταῦτα εἴληπτο αὐτοῖς παρακλήσεις καὶ παραμυθία) καὶ ὅπως ποικίλοις πειρασμοῖς ἐκλεκτοὶ γεγόνασι καὶ πεφανερωμένοι ὑπῆρξαν καὶ πεπείρασται ἐγένοντο. ταῦτα πάντα εἰς νοῦν καὶ ἐγὼ λαμβάνων ψυχαγωγοῦμαι σύντονον ἀπολύσαι σκαρπωσάμενος.

53 Ἀγρυπνία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ἐγὼ μὲν πάσχων κακῶς, τῇ μνήμῃ τῶν σῶν ἐψυχαγωγούμην κριμάτων· ἰωῶμην γὰρ ὅλως καὶ διετέλουν ἀγαλλιώμενος, πολλοὺς ὁρῶν ἀδίκως σοῦ σὺς παραβαίνοντας νόμους. ταῦτα καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγε (τῶν γὰρ τελείων ἐστὶν ὁ λόγος) Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ, Ἐν ἀσθενείᾳ ὦμεν, πλουτήσωμεν τὸ πνεῦμα αὐτοῦ. ἐθεώρει γὰρ κατεισθέοντα τὴν πόλιν ὕβριν. καὶ ἡμεῖς οὖν, ἀδελφοὶ, ὁρῶντες πολλοὺς καταλιμπάνοντας τὸν νόμον τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ, οὐ λυπούμεθα, ἀλλ' ἐπὶ γε τούτοις ἀγαλλιώμεθα. Ἀγαπήσεις τοὺς πλησίον σου, ὡς σαυτὸν, καὶ κατὰ τοῦτο οὐ τούτων ἐν ψαλμῷ εἴρηται· εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. 54 Ψαλτὴν ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Παρώκησεν μὲν ὁ μακάριος Δαβὶδ, φεύγων τὸν Σαοὺλ διωκόμενος, πόθεν τοῖς ἀλλοφύλοις· παροικίαν δὲ αὐτὸν οἶμαι καλῶν οὐκ οἰκίαν τοῦ χρόνου, ἀλλὰ πόντα τοῦ βίου. ὁ γὰρ ὡς κατοικῶν, ἀλλ' ὡς παροδεύων, αὐτὸν διετέλεσε, καὶ ᾄδων τὰ τοῦ Θεοῦ δικαιώματα, τὸν βίον διώδυσεν. ὅτε γὰρ ἐρημωθῶσιν οἱ οἶκοι λοιποὶ ἐρημωθήσονται. ἄσματα δέ μοι τὰ προστάγματά σου ἐν τόπῳ τῆς παροικίας μου. πάντες μὲν οἱ ἅγιοι καὶ οἱ τοῦ Θεοῦ ζῶντες, ὡς παροικίαν, ἔχουν τοῦτον τὸν ζωὴν, κατοικίαν ἔχοντες τὴν μέλλουσαν. ψαλτὰ δέοι αὐτοῖς εἶσι τὰ δικαιώματα τοῦ Θεοῦ ἐν ᾧδε τῷ βίῳ. εἰς ὕστερον γὰρ ἡ ἔκλυσις αὐτῶν δόξαν, ἵνα αὐτὴ ἐν δόξῃ τοῦ Θεοῦ. 55 Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Οὐ μόνον γὰρ διημερεύων τὸ πεποίηκα, ἀλλὰ καὶ ἐν νυκτὶ, ὅτε ἡ ἀνάπαυσις ἐστὶ τοῦ σώματος, καὶ αἱ τῶν φαντασιῶν ἀνυπάρκτους ἐπιφορὰς, καὶ λογισμοὶ ἀνδρῶν ἀνατυποῦνται, οὐ δίδωμι χώραν τούτοις, ἀλλ' ἐμμανοῦμαι τοῦ ὀνόματός σου. [διὸ καὶ

ἐφύλαξα

ἐφυλαξα τὸν νόμον σου.] καὶ ὁ τὰ ἀγαθὰ ὑποτιθέμενος καὶ ἀξιῶν ἀεὶ ἀγωνίζεσθαι καὶ πρεσβεύειν καὶ
συμμαχὸν τὸν ὅλον Θεὸν. οἶμαι γὰρ νικᾶσθαι σὺν τοῖς τὸν πλείονα τῶν κτισμάτων ὑπερβαλλόντως ζῶσιν.
ζόφος γὰρ ἐπιφέρει, καὶ νυκτὸς δίκαιον τοῖς ἀνθρώποις ἐπάγεται. σὺ δὲ τούτῳ ἀφθέγκτως ἀναλήψεται τοῦ Θεοῦ τὸν ὅλον ἡ μνήμη, ψυχαγωγοῦσα καὶ παρθαρρύνουσα καὶ τὸν σὸν ἀγωνι-
5 στὴν ἀξιολογώτερον λογισμοῖς. 56 Αὕτη ἐγένετό μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Τίς αὕτη; ἡ νυκτερινὴ μελέτη. ὅτου γάρ, φησι, πεπαίδευμαι τὸν πρέποντα φόβον θεοῦ, καὶ τῶν σῶν δικαιωμάτων προσελεύσεσθαι τινὶ μνήμονι ἢ τινὶ κήπῳ, ὅπου τὰ δικαιώματά σου ἐξεζήτησα, καὶ σὺ νυκτὶ ἀδιλείπτῳ μνήμονά σε ποιούμενος. σύνοιδεν, ἀδελφοὶ, διδασκώμεθα ἀγρυπνεῖν σὺν προσευχῇ καὶ ψαλμῳδίᾳ.

10 57 Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Οὐ πάντων 2
ὄντι μερὶς ὁ Θεὸς, ἀλλὰ τῶν ἀσπαζομένων τὰ τέλεια. ὅπου τῶν ἱερέων καὶ Λευιτῶν μερὶς
καὶ κλῆρος ἐλέγετο. Τοῖς γὰρ ἱερεῦσι, φησὶ, Λευὶ οὐκ ἔσται μερὶς ἐν μέσῳ τῶν ἀδελφῶν αὐ- Ασεβ. πκ. καὶ
τῶν, ὅτι μερὶς αὐτῶν ἐγὼ Κύριος. ὅτου καὶ ἐν τῷ πεντηκοστῷ καὶ τῷ ἑβδομῷ· Κύριος Δευτ. ι. δ.
μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ πατρίου μου. λέγει τοίνυν καὶ ἐνταῦθα, ὅτι τὰ ἀλ-
15 λων ἀπόντων ἐπιθυμιῶν, σὲ ἔγωγε μερίδα καὶ πρεσβεύσιν καὶ πλοῦτον. διὸ δὴ καὶ φυλάξαι
σοὺς ἐπείγομαι νόμους. ἔστι τοίνυν τῶν τελείων αὕτη φωνὴ, οἵτινες ὅλους ἑαυτοὺς τῷ
Θεῷ ἀνατίθενται, καὶ εἰς ἡδονὰς καὶ πολλὰς φροντίδας μὴ ἀπαγόμενοι. Εἶπε γὰρ ὁ
Κύριος· Οὐ δύναται Θεῷ δουλεύειν καὶ μαμωνᾷ. 58 Ἐδεήθην τὸ πρόσωπόν Matθ. ς. κδ.
σου ἐν ὅλῃ καρδίᾳ μου. Διδάσκει ἡμᾶς ὁ λόγος, ὁποίους δεῖ ἡμᾶς πρὸς ἐσθαι, ὁ-
20 τῷ δεώμεθα τοῦ Θεοῦ, ὡς ὅτι κατ' ὄψιν παιζόμεθα. ἐδεήθην γὰρ τὸ πρόσωπόν
σου. ἢ καὶ πρόσωπον ὁ υἱὸς τοῦ πατρὸς, καθὼς ὁ θεῖος ἀπόστολος ἔφη· Ἀπαύγασμα τῆς Εβρ. α.
δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· καὶ δι' αὐτοῦ ἀναφέρομεν θυσίαν διαφέρουσαν τῷ
Θεῷ, τὸν λογικὸν λατρείαν ἡμῶν. πάντα χρὴ ὁ, ὁλόκαρδος, ὁ Δαβὶδ προσ-
ῴδησε τῷ νόμῳ, καὶ σὺν τούτῳ πειθόμενος προσκεῖσθαι Θεῷ, διδάσκων ἡμᾶς ὁ ἀγαπᾶν
25 αὐτὸν ἐν ὅλῃ καρδίᾳ. Ἀγαπήσεις γὰρ Κύριον Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ Matθ. κβ. ζ.
ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου. ὃ ὄ, ἐλέησόν με κατ' ὃ λόγιόν σου,
ἕτερον οὐδέν ὅστιν, ἢ ὅτι σὺν σοὶ αἰτοῦμαι πάντα τὰ κατ' ἐμέ· καὶ ὡς βούλει, ἐλέησόν με.
Ελέησόν με κατ' ὃ λόγιόν σου. Οὐκ ἀορίστως ἐλεηθῆναι προσκαλῶ, ἀλλὰ
κατ' ὃ θεῖον λόγιον τοῦ ἐλέους τυγχάνειν. τοῦτο δ' ἂν εἴποι ὁ ζωντὸς ἀρρώστος ἰατρῷ· ὡς
30 οἶδας, θεραπεύσαι· ὡς τέχνη ἐξεργάζει. τοῦτο καὶ ὁ ζωντὸς ἔμπορος εἴποι ἂν ὁμοίως κυ-
βερνήτῃ· κατὰ τοὺς νόμους τῆς τέχνης ἴθυνον τὸ σκάφος· ὡς καὶ βαπτίσμα χαλεύει, κυβέρνη-
σον. ὅτου καὶ ἡμᾶς προσκεῖται τὸ θεῖον ἔλεον ἐπαγγέλλειν. ὁ γὰρ αὐτόμολος οἶδε τὸ ἐλέ-
ους τέρπον. πολλάκις γὰρ ἐξ ἀπαιδεύτων πραγματευτῶν σωτηρίαν, καὶ τοῖς ἡ πιστεία,
φιλανθρωπία. ὅτου καὶ ἰατρὸς καὶ τέμνει καὶ καίει ὡς καμνοντι τῷ ὑγιείᾳ προσφιλοτε-
35 ύμενος. ὅτου καὶ ἡμᾶς αἰτεῖν τὸ ἔλεον χρή. ἔστι γὰρ ὅτε καὶ πενίας ἔλεος χορηγεῖται, καὶ
δι' ἀφθονίας φιλανθρωπία πρόσκειται, ὡς τοῖς πολλοῖς ἰατρικὸν λόγιον τοῖς ἑαυτοῦ καὶ ἐν-
δυτικὰ ἰᾶται. 59 Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς
τὰ μαρτύριά σου. Επειδὴ πᾶσαν μὲν τὴν προαίρεσιν εἰς τὰς σὰς ἐντολὰς ἀνέ-
θηκα, τοῦτο χάριν τοῦ τῶν μαρτυρίων σου ἐπορεύθην ὁδόν. ὁ ὃ Εβραῖος τὰς ὁδούς μου
40 ἔχω. ὡσαύτως ὃ καὶ ὁ ἄλλοι ἠρμήνευσαν ἑρμηνευταί, καὶ ὁ ἑβδομηκοντα ἐν τῷ
ἑξαπλῷ. λέγει ὃ, ὅτι λογισμοῦ μου τὰς ὁδοὺς, τουτέστι τὰ μαρτύριά σου τοὺς ἐμοὺς πόδας
κατεύθυνον, καὶ οὐκ εἶων ἐκτρέπεσθαι τῆς πρὸς σὲ φερούσης ὁδοῦ.

60 Ητοιμάσθην, καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Ευτρεπῆ

Ευτρεπῆ γὰρ ἐμαυτὸν τοῖς τῶν δεινῶν ἐμβολαῖς κατασήσας, οὐκ τῆς ἀθρόας τροσοδολῆς ὄχ' ὑπομενῶ ζάλιν. τοιοῦτος ἰὼ ὁ μακάριος Δαυὶλ ὁ σώματα λεόντων χαλινώσας· τοιοῦτοι ἦσαν ⓐ τρεῖς παῖδες, οἷς ἡ κάμινος διάπυρος σὺν γέγονεν· ὕδατος ⓐ θαυμάσιοι Μακκαβαῖοι· τοιοῦτοι ἦσαν ⓐ ἅγιοι ἀπόστολοι, τροφῆται, καὶ μάρτυρες. ὅτως ἅπαντες ταῖς τῶν δυσκολῶν εἴκασαν τροσοδολαῖς. τροὸ γὰρ τῶν κινδύνων ἡτοίμαζον ἑαυτοὺς, δι' ἃ τὴν τοῦ Θεοῦ ἀγάπην καθ' ἡμέραν ἀποθνήσκοντες, πάντα ὑπομάρτυρα ἔχοντες καὶ εἰς οὐδέν. τοῦτο καὶ ὁ Κύριος ὑπὸ τοῖς ἁγίοις θυαγελίοις παρεγύα, γρηγορεῖτε, λέγων, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται.

61 Σχοινία ἁμαρτωλῶν τροσεπλάκησάν μοι· καὶ τὸν νόμον σου οὐκ ἐπελαθόμην. Τὰς ὑπερηφανίας ἤτοι δαιμόνων, ἤτοι δυσθεράπων, σχοινία καλέσει, οὐκ τῆς πλοκῆς τὴν ἀφορμὴν λαβών τὸ τρέπης. ὅτω καὶ ὁ Ησαΐας· Οὐαὶ ⓐ ὑπερασπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς σχοινίῳ μακρῷ. τούτων δέ, φησι, τῶν σχοινίων τροσεταθέντων μοι οὐκ ἀπεστισάμην ὑ θείου νόμου τὴν μνήμην. σχοινία γὰρ τῶν ἁμαρτωλῶν λογιστέον τὰς τῶν δαιμόνων τροσοδολάς, καὶ σὺν ποτηρεῖς λογισμοὺς, ταῖς σφριγώσαις κινήσεις. σειραῖς γὰρ τῶν ἰδίων ἁμαρτιῶν ἕκαστος σφίγγεται· ὃ ὅτι δὴ ἁμάρτοι τις, ἐὰν μὴ σωτόμως ἑαυτὸν δυσκαλέσηται καὶ ἔλθῃ εἰς ξυναίθησιν, εἰς ἑτέραν πάλιν κατατίπτει ἁμαρτίαν. ὅτως οὖν ἁμαρτήσας ὁ Καΐν, τὴν ἴδιον ἀδελφὴν ἀποκλείνας, ψεύδος ἔσχεν ἀκόλουθον, ὡς σχοινίον συμπεπλεγμένον. εἶπε γὰρ αὐτῷ ὁ Θεός· Ποῦ Ἄβελ ὁ ἀδελφός σου; καὶ αὐτὸς ἀπεκρίνατο· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι; ὃ ἐψεύσατο τῷ Θεῷ τὰ πάντα ἐρθωνότι, καὶ τὰ βάθη τῶν καρδιῶν ἡμῶν. ὅτως ὁ Εβραῖος λαὸς, καθάπαντες φανεῖν ὃ πιστὸν, ἀνέκραγον παίζειν, καὶ ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ σχεδιάσαντες, ἐμοσχοποίησαν εἰδωλολατρεύσαντες τὸ τῇ ἐρήμῳ. ὅτως οὖν καὶ ὁ Ιούδας φιλάργυρος ὤν, τροδότης τοῦ διδασκάλου ἐγένετο, καὶ τέλος ἀπήγξατο. ὁ δὲ Πέτρος ἀρνησάμενος, κλαύσας παρῴκησε τὴν ἀρνησιν, ἐδικαιώθη, μὴ τροσθεὶς ἁμαρτίαν. ὅτως οὖν καὶ ἡμεῖς, ἀδελφοὶ, εἰ ἁμαρτάνομεν, ὑπιστρέψωμεν, καὶ μὴ γλωσσώμεθα καταφρονηταὶ, ἵνα μὴ ἀκολουθήσῃ ἡμῖν ἁμαρτία ἐφ' ἁμαρτίαν, ὡς σχοινίον μακρόν.

62 Μεσονύκτιον ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ὑπὲρ τῶν κριμάτων τῆς δικαιοσύνης σου. Οὐ γὰρ μόνον ἡμέρᾳ μόνον, ἀλλὰ καὶ νυκτὸς, κατ' αὐτὸ δὲ μεσαίπατον τῆς νυκτὸς, ὡς μὴ πλείονος ἡδονῆς ὑπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῳδῆσε διετέλουν, καὶ τῶν δικαίας σου ψήφους ἀνθυφήμουν. τροσειρηκὼς οὖν, ὅτον πάντες τὴν ἀνάπαυσιν ἔχουσι, ὅτον τῷ ὕπνῳ τὸ σώματι ἀναπαύονται, ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ὑπὲρ τῶν κριμάτων τῆς δικαιοσύνης σου. ποῖα δέ εἰσι ταῦτα; ὅτι μέλλει κρίνειν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ Χριστὸς ὁ Θεὸς ἡμῶν. τοῦτο γὰρ ἡ δικαιοσύνη. καὶ διδάσκει ἡμᾶς, ἵνα καὶ ἡμεῖς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐξομολογώμεθα καὶ τροσευχαλῶμεν τὸν Θεὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. λέγει γὰρ καὶ ὁ θυαγελιστὴς Λουκᾶς· Καὶ ἦν Ιησοῦς διανυκτερεύων ἐν τῇ τροσευχῇ τοῦ Θεοῦ, ἡμᾶς διδάσκων τὸ πιστόν. τοῦτο δὲ ὁ θεῖος ἀπόστολος μετὰ τοῦ Σίλα πεποίηκε. πεπεδημένους γὰρ ξυὼ τοῦ Σίλα, καὶ τῇ τροδοκείᾳ τροσδεδεμένος μετ' αἰκίας καὶ μάστιγας τῇ τροσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε, καὶ τῆς καλῆς ἀγρυπνίας ἐτύγησε τὸν καρπόν. τῆς θείας γὰρ φιλοτιμίας ἀπέλαυσαν. 63 Μέτοχος ἐγώ εἰμι τάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ο δὲ Σύμμαχος ἀντὶ τοῦ μέτοχος, Σωνημμένος εἴρηκεν· ὁ δὲ Σύερος, Φίλος. Ἀποστρεφόμενος γὰρ τοὺς τανταχοῦ τὰ τοῖς σοῖς νόμοις τροσαγορευμένους, κοινωνοὺς εἶχον καὶ ξυνήθεις τοὺς τὸν φόβον τροσλαβόντας καὶ βιοτεύειν ἐννόμως

Ησ. ε. π.

Γεν. δ. θ.

Εξοδ. λβ. θ. ε.

Πρ. ιβ.

νόμως τῶν ἀμαρτιῶν. τοῦτο γὰρ ἐν ἑτέρῳ ἔφη ψαλμῷ· Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός. παροιμιακῶς οὖν ἠκούσαμεν, Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι, γνωσθήσεται. ὅσοι οὖν τὴν φιλοξενίαν τοῦ Ἀβραὰμ μὴ κέκτηνται, μέτοχοι τούτου γεγόνασιν· ὡσαύτως τοῦ Ἡλιοῦ τὸν ζῆλον, Μωϋσέως καὶ Δαβὶδ τὴν πραότητα. ἐπεὶ ὅσοι μιμηταὶ κακῶν γεγόνασιν ἔργων, ἀκούσουσιν, Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. μὴ οὖν γινώμεθα, ἀδελφοί, συμμέτοχοι τούτων, ἀλλὰ τῶν τὰ ἀγαθὰ προαξιούντων. πολλαχοῦ γὰρ ἀπολωλόσι λύκοις ἁμαρτίας ποιοῦντες, καὶ ἑτέροις μετ' αὐτῶν συναπολλύουσιν. ἀλλ' ὅταν ὑμᾶς προσκαλῶνται ὑμᾶς πρὸς ἁμαρτίαν, ἀποκρίνεσθε αὐτῷ· Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω, καὶ ποιοῦσας παραβάσεις ἐμίσησα.

Ψδ. γλυ. ιγ. Παροιμιακὰ Ψδ. μβ. οθ. Ψδ. κε. δ.

64 Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

χ ἰσχὺς

Ἐπὶ πόλεσι, φησί, πλουσίως ἐπιχέεις τὰς τοῦ ἐλέους σου πηγάς, καὶ ἀνατέλλεις τὸν ἥλιόν σου ὅτι ποιεῖς καὶ ἀγαθούς, καὶ βρέχεις ὅτι δικαίους καὶ ἀδίκους, καὶ οὐκ ἐπαίτιος τοῦ ὀργιλοῦ καθ' ἑκάστην ἡμέραν· ἀλλὰ φέρεις μὲν τοὺς διαφθείροντας γάμους ἀλλοτρίους, καὶ τοὺς αἵματι μιαινομένους ἀδίκῳ, καὶ ἄλλους σφετερίζομένους τὰ μὴ προσήκοντα, καὶ τὰ βλασφημίαις τοῦ γλώσσης μολυόντας, καὶ ἄλλους ἄλλο τι τῶν παρανόμων τολμῶντας. τοσαύτη τοίνυν φιλανθρωπία χρώμενος, καὶ μετὰ ταύτης ἀξίωσον, δέσποτα, τὰ σὰ δικαιώματα πρέχων τοῖς γνῶσιν. ὅμοιον τοίνυν καὶ ὁ προφήτης Ἡσαΐας λέγει· Γῆ σύμπασα γνώσεται Κύριον. καὶ γὰρ ὅτι τῆς γῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐλάχιστος, πόλεσι τὰ πέρατα τῆς χάριτος αὐτοῦ ἐπεπλήσθη, καὶ τὰ δικαιώματα αὐτοῦ ἐδιδάχθησαν πρὸς τῶν αὐτοῦ μαθητῶν. ἔχει δὲ ἑτέραν ἔποισαν ὁ λόγος, ὅτι τοῦ ἐλέους αὐτοῦ πάντες ἀπολαύομεν. βρέχει γὰρ ὅτι δικαίους ἐπ' ἀμαρτωλούς, καὶ μακροθύμως φέρει ὅτι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ οὐκ ἐπάγει ὀργήν.

Ἡσ. ια. θ. Παροιμιακὸν Ἡσ. θ. ιγ.

65 Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Πεῖραν τῆς σῆς ἔλαβον ἀγαθότητος, διὸ περ αὐτὸς ταύτης ἀπολαύσαι παρακαλῶ, καὶ κατὰ σοὺς δικαίωμα νόμους μανθάνω. ἐπεὶ γὰρ τοῦ ἐλέους σου πεπλήρωται ἡ γῆ, χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου κατὰ τὸν λόγον σου. ἀγαθὸς γὰρ οὖν ὁ Θεὸς ἀγαθὰ ἡμῖν ἐδωρήσατο, καὶ ἁμαρτανόντων ἡμῶν παιδεύει ἡμᾶς πρὸς νουθεσίαν ὑπισχνούμενος. Οὐ γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ γὰρ πάντα υἱὸν, ὃν παραδέχεται, κατὰ τὸν παροιμιακὸν λόγον. σκοπῶ πλανώμενον, καὶ δικαίως σωφρονίζει, ἵνα ὑπιστρέφωμεν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς. μέγα γὰρ· Καὶ ὁ λαὸς οὐκ ἐπεστράφη ἕως ἐπλήγη. καὶ διδασκόμεθα παρὰ τῆς χρηστότητος αὐτοῦ καὶ παιδείαν καὶ γνῶσιν, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ πιστεύειν ἡμῖν τὴν σωτηρίαν δοξάζεσθαι. 66 Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με· ὅτι ταῖς ἐντολαῖς σου ὑπίστευσα. Οἶδεν ὁ προφήτης τῆς παιδείας τὸ χρήσιμον· ἐν ὅλῃ φιλανθρωπίᾳ χρώμενος ὁ δεσπότης, τούτῳ ὑπιφέρει τοῖς ἀνθρώποις· ὃ δὴ χαίρει τούτῳ μεταλαχεῖν ἀξιοῖ. χρηστότητι γὰρ χρώμενος ὁ Θεὸς, τῇ παιδείᾳ ἐπάγει· ἡ δὲ παιδεία, τῇ γνώσει. οὕτω καὶ ὁ προφήτης Ἱερεμίας δυτικόλως· Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ποιήσῃς ἡμᾶς. ὅταν καὶ ἀρρώστως ὑγιείαν ποθῶν, ἐν σιδήρῳ τομὴν καὶ καυστῆρα ὑπίσχνεται. Εἶτα διδάσκει, πόθεν ἔγνω τῆς παιδείας τὸ χρήσιμον.

Ψδ. ρλη. ιζ. Ἱερ. ι. κδ.

5 Καὶ ἥξει Κύριος. Παρασκευὴν αὐτοῦ τὴν ἐπέρχεσθαι καλεῖ. Καὶ ἔσται πᾶς τόπος τῆς ὄψεως Σιὼν, καὶ πάντα τὰ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός, 6 Παύσῃ τῇ δόξῃ σκεπασθήσεται, καὶ ἔσται εἰς σκιὴν ἡμέρας ἀπὸ καύματος, καὶ εἰς σκέπην καὶ εἰς ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Νεφέλιον ἐκάλεσε τὴν ἐκ τῶν καπνῶν ἐγκαιομένων σωμάτων φησὶ φησὶ πυρὰν ἢ τὴν μετὰ τῆς σωματικῆς ἀφελείαν παρασκευάζουσαν. ὅπερ γὰρ ἐστὶ τὸ καύματι νεφέλη, τοῦτο τὸ σκότῳ ἐκ νυκτὶ βαθυτάτῃ πυρὰ λαμπαδοῦ ἀναπορθῆσαι. ἡ μὲν γὰρ Ⓜ αὐχμὸν ἀποκρούει), ἡ δὲ ἁλυκὴ τὸν ζόφον. τὴν μὲν οὖν παρὰ ἀφελείαν τῇ λαμπαδεύσει τῆς πυρᾶς, τὴν δὲ αἴρεσιν τῇ σκιᾷ τῆς νεφέλης προβάλλει. Εἶτα δυκηρὰς ὡς ὑπὸ μαρὸν τῶν δεινῶν λυομένων ταῦτα ἔσται, ἀλλὰ ἀθρόον ἐν αὐτῇ τῶν λυπηρῶν ἀκμὴ ἢ μεταβολὴ γένηται), ἵνα καὶ σύντομον μάθωσιν, ὅτι οὐχὶ ἐκ παρέργου ἴσως καὶ ζωντυχίας ἡ πρὸς τὸ βέλτιον γέγονε μετάστασις, ἀλλ' ἐκ τῆς αἰῶνος δωρεᾶς τὸ πεῦ καὶ πόρρωται, ὡς πυρὸς καιομένου νυκτὸς φησι, ὅπως ἡ μεταβολὴ γένηται), καὶ ἔσται εἰς σκιὰν ἡμέρας. Τίς ἔσται; ἡ τοῦ Θεοῦ βοήθεια, φησι, καὶ ἡ συμμαχία ὥσπερ σκιὰ ἐπὶ καύματι. καὶ ὥσπερ ὀρόφος ἢ καταδυσις τις ἀπλοῦς, ὁμοίως καταῤῥηγνυμένου σφοδροῦ, ἐπ' ἀσφαλείᾳ τοῦ ὑπὸ καταφυγόντα Δίκαιον ὅπου δὴ καὶ ἡ τοῦ Θεοῦ συμμαχία οὐκ ἀφήσει δεινὸν οὐδὲν παθεῖν, καὶ τοσοῦτον καταῤῥηγνυμένου πολέμου, ὃς δὴ ἐλήλυθε ἐξ ἀρχῆς Δίκαιον.

## ΚΕΦΑΛΑΙΟΝ ε.

1 Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνι μου. κεζ ε.
Φοβήσας τοὺς λυπηροὺς, ἐὐφράνας τοὺς χρηστοὺς, ποικίλλει τὴν προφητείαν ἐρασταῖς, εἰς ἀρχὴν πάλιν ἑτέραν ἀνάγει τὸν λόγον, ἀρχὴν ἐοικέναν τῇ προοιμίᾳ τῆς προφητείας. καθάπερ γὰρ ἀρχόμενος ταῖς εὐεργεσίας ἀπήγγειλε τοῦ Θεοῦ ταῖς εἰς αὐτὸν χαλεπάς, λέγων, υἱοὺς ἐθρέψατο καὶ ὕψωσα, ἐγὼ δὲ ἠθέτησάν με, καὶ ὅτι Ισραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν· ὕπου δὴ ἐν ταῦτα λέξεσι μὴ ἑτέρως, τοιαῦτα ἢ τοῖς αὐτοῖς τὰ αὐτὰ τοῖς προφήταις ἐδιδάχθητο. ἀλλά τινος ἕνεκεν κατηχεῖν μέλλων, ᾆσμα τοῦ κατηχεῖσθαι καλεῖ; Μωϋσῆς μὲν γὰρ εἰκότως τοῦτο ἐποίησε μὴ τῆς Μαρίας, ἅτε τοῦ βραδύτερον μέλλων ᾄδειν ᾠδὴν, καὶ εἰκότως ὅπως ἀρχόμενος ἐλεγεῖον· ἀσωμεν τῷ Κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἐρρίψαν εἰς θάλασσαν. καὶ ἡ Δεβόρα ἢ μὴν τὸ θαυμαστὸν ἐκεῖνο ἔπαινον, καὶ τοῦ ἐνδόξου νίκου, εἰκότως ᾠδοῦ ὑφαίρει τοῦ βραβεῖον ἐκείνου, ἐὐφημίαν ἀναφέρουσα τῷ Θεῷ. ἐοικὲ δὲ κατηχεῖν

τηρεῖν μέλλων, ἐ ζωντάνου λήψου δισμὸς, καὶ ψυχῆς σὰρκὸς ἀναιμάτης, ἀλλὰ ζωντανημένης, ἅσπερ ἡμῖν ἐπαγγέλλε), καὶ ἅσματα τὰ ἐγκλήματα καλεῖ. σὺν αὐτὸς ὁ μάτος, ἀλλὰ καὶ ὁ μέγας σκεῦος Μωϋσῆς τὴν ὀπτάκισι τότε ἅσας ᾠδὴν, κατηγορῶν τῶν Ιουδαίων,
Δευτ. λβ. 5. μακρὰν ᾠδὴν τὰ ἐγκλήματα, λέγων· Ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε; οὐ ὁ λαὸς μωρὸς, καὶ ἀσοφὸς καὶ πολλὰς ζωὴς κατηγορίας, ἀδόντας αὐτὸν ταῦτα λέγειν ἐνομοθέτει· καὶ ἔτι καὶ νῦν ἄδοντες ταῦτα λέγομεν καὶ ἡμεῖς. Τίνος οὖν ἕνεκεν πᾶς κατηγορίας ᾠδὴν ποιοῦσι; σοφίαν κεκρυμμένοι πνευματικὴν καὶ πολὺ τὸ κέρδος σοφῶντας τῆς τῶν ἀκουόντων βουλόμενοι ψυχῆς. ὅπερ γὰρ σοφὸν ὕμνα χρήσιμον, ὡς τὸ πλημμελημάτων μεμνῆσθαι διὰ νυκτὸς, μνήμην ἡ σοφὸν ὕτω μόνιμον ὡς μελῳδία ποιεῖ· ἵνα μὴ ἀφ' ἑτέρου χαρᾶς τῶν κατηγορίας ἀκροώμενοι καὶ ἀκαδυόμενοι, φθάνωσι τὸ ζωντανὸν μεμνῆσθαι τῶν οἰκείων ἁμαρτημάτων, τῷ μέλει τῆς ᾠδῆς ἐκκλέπτοντες τὸ ἀπὸ τῆς μνήμης ἀηδόνιον, καὶ τὴν ἀφορτον ἀθυμίαν ἀθυμοῦμενος, ἅσματα αὐτὰ πεποίηκεν, ἵνα τῷ πάθῳ τῆς μελῳδίας ἀναγκαζόμενοι ζωντανὸν αὐτὰ φθέγγεσθαι, ζωντανὸν αὐτῶν ὦσι μεμνημένοι, διὰ νυκτὸς ἔχωσί ἵνα διδασκαλίαν ἀρετῆς, τὴν διὰ νυκτὸς τῶν ἁμαρτημάτων μνήμην. ἴσε γὰρ οὐ καὶ νῦν τὰ μὲ ἄλλα ᾠδὴν ἐξ ὀνόματος τοῖς πολλοῖς ὅσι βιβλία γνώριμα· τὴν δὲ τῶν ψαλμῶν προφητείαν ὅτι σώματος ἅπαντες φέρουσι, ἐ αὐτὰς ταύτας τὰς ᾠδάς. ὕτω δὲ αὐτῶν τῶν προφητῶν δύκην), πόσον ἀπὸ τῆς μελῳδίας τὸ κέρδος ὅσι. Διὰ δὴ τοῦτο καὶ αὐτός φησιν, ἅσω δὴ τῷ ἠγαπημένῳ ἅσμα τῷ ἀγαπητῷ μου τῷ ἀμπελῶνί μου. ἅσμα ᾧ ἠγαπημένῳ, φησὶν, ἀμπελῶνι ἄσω τῷ ἐμοὶ τῷ ἠγαπημένου. ἐ αὐτῷ γὰρ ᾄδω, φησὶ, καὶ ἡ ὑπόθεσις τῆς ᾠδῆς τῷ ἐμοὶ καὶ τῶν αὐτῶν προφητῶν ὅσι. Εἰ δὲ μέλλων κατηγορεῖν, ἀγαπητὸν καλεῖ ἐ ἠγαπημένον, μὴ θαυμάσῃς. καὶ τοῦτο μέγιστον κατηγορίας ἐφόδιον, ὅτι δὴ ἀγαπητὸν, καὶ τοσαύτης ἀπολαύσαντες παρὰ Θεοῦ τῆς εὐνοίας, οὐδὲ ὕτω βελτίους ἐγένοντο. τοῦτο γοῦν καὶ ἕτερος προφήτης ἀπτόμενος ἔλεγε· Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον Ⓦ Ισραὴλ, ὡς σκηνὴν ἐν σικῇ προφίμον εἶδον πατέρας αὐτῶν, τὸ πρωϊνὸν αὐτῶν καὶ ἐπέρασον ἀφ' ἑαυτῶν καρπῶν τούτων ἐνδεικνύμενος· πρωϊνὸν ἡ αὐτὸν καὶ ἐπέρασον, ἀ παρὰ τὴν οἰκείαν ἀρετὴν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα. ὃ ἡ λέγεις, τοιοῦτόν ὅσιν· ὅτι ἐγὼ μὲ ὕτως ἠγάπησα, ὡς δὴ τις σταφυλὴν εὑρὼν ἐν ἐρήμῳ, ἢ ὡς αἴ τις σκηνὴν ἐν σικῇ. Εἰ γὰρ καὶ ἀναξία τοῦ Θεοῦ τὰ παραδείγματα, ἀλλὰ καταλληλα τῆς ἐκείνου μακροθυμίας. αὐλοὶ δέ, φησι, τοσαύτης ἀπολαύσαντες τ' ἀγάπης, ἀπηλλοτριώθησαν, καὶ εἰσῆλθον πρὸς τὸ Φεελφαγώρ. οὕτω δὴ καὶ ἐν ταῦτα ἠγαπημένον αὐτὸν καλεῖ καὶ ἀγαπητὸν, δεικνὺς, ὅτι ὁ μὴν Θεὸς τὰ πρὸ ἑαυτοῦ πολλὰ ἐπεδείξατο, οὐκ αὐτῶν ἀρξαμένων, ἀλλὰ τοῦ Θεοῦ ἀγαπησαμένου· ἐκεῖνοι ἡ οὐδὲ μὴν ταῦτα ἄξιοι ἑαυτῶν τῆς φιλοτεχνίας ἔδειξαν, ἀλλὰ πάντα ἐπεδείξατο ἄπρακτα.

Ἀμπελὼν ἐγένηθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. 39

Τῷ ὀνόματι τοῦ ἀμπελῶνος πᾶσαι ἐφέπουσι τὴν προφητείαν, καὶ τὴν περὶ αὐτῶν ἐπιμέλειαν. οὐ μὴν ἴσασι μέχρι τούτου, ἀλλὰ καὶ ἕτερα ἀπριβεστέρα διηγήματα· καὶ πρότερον ἀπὸ τῆς θέσεως τοῦ τόπου τοῦτο ποιῶ. τὸ γὰρ ἐν κέρατι, ἐν τόπῳ πίονι, οὐ μὴν τὴν φύσιν τῆς γῆς ἐπαινῶν ἔλεγε, οὐ ἡ τὴν θέσιν. ὅπερ καὶ ὁ Δαβὶδ ψάλλων ἔφησεν· ὅτι Ιερουσαλὴμ, ὄρη κύκλῳ αὐτῆς, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. ἐπείσησι μὴ γὰρ αὐτὴν, φησι, καὶ τῇ θέσει τοῦ τόπου· πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ τὸ μέγιστον τεῖχος αὐτὸς αὐτῇ γέγονεν. ὃ δὴ καὶ οὗτος αἰνίττεται λέγων, ἐν κέρατι, τό τε ἀχείρωτον καὶ ὃ ἀκαταγώνιστον τοῦ τόπου, καὶ περὶ τούτου τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν δηλῶν, ἀπὸ μεταφορᾶς

φορεῖς τοῦ κέρως τοῦ βοός. ᾗ γὰρ ἡ παρομία τοιαύτη δημώδης ἐξευρέθη, ὡς ἐπὶ τῶν εἰς ἀσφαλές τι χωρίον καταφθυόντων. ὅπῃ γὰρ ἰσχυρότατον πρῶτον ὁ βοῦς, αὐτῷ ἢ τῷ ζυγῷ ὃ ἰσχυρότερον ὃ κέρας (ὅπλῳ γὰρ αὐτῷ κέχρηται) δῆλόν τὸ δυσχείρωτον ἐνθῦσαι λέγει Ⓐ πολλοί. ᾗ ἡ γραφὴ ἢ πολλάκις κέρας μονοκέρωτος καλῶς τοῦτ' ἐν ἀσφαλείᾳ ὄντας. ἐν κέρατι δοῦναι ζυγὸν φησιν, ἐν ἀσφαλείᾳ, ἐν ὕλῃ, ὅταν δεχόμενος ἕλεγμα· γοερὰ ἐμύκησα καὶ ὕλωτα. ἐν ζυγῷ πίειν. ὅταν ὁ Μοῦσος εἶπε γλυκὺ ῥέουσαν χάλαζαν καὶ μέλι. 2 Καὶ φεγμὸν ἐδείδηκα, ἢ ἐχαράκωσα. φεγμὸν, ἢ τὸ τάφρος φησὶν, ἢ Ⓦ νόμον, ἢ τὴν αὐτὴν διάνοιαν. ᾗ γὰρ ὁ νόμος τείχους ἀσφαλέστερον αὐλῆς διέκειτο. καὶ ἐχαράκωσα, τουτέστιν, ἰσχυρὰν τὴν ἀσφάλειαν ἐποιησάμην. ὅπῃ γὰρ πολλάκις φεγμὸς ἀντὶ χείρητον, ᾗ ἑτέρωι, φησὶ, διέβαλλον αὐλῆς συμμαχίαν. Καὶ ἐφύτευσα ἀμπέλων σειρήν. Ἐπιλήθει τῇ μεταφορᾷ, ἵνα οὐ δεῖ κατὰ λέξιν ἐρμηνεύειν, ἀλλὰ Ⓦ σκοπὸν εἰδέναι ἀρκεῖσθαι τούτῳ. σειρὴν δὲ ὀνόμασε, ἀληθινὸν φησιν, εὐγλῶ, οὐχὶ τῶν φαύλων φυτῶν, οὐδὲ τῶν καταδεεστέρων, ἀλλὰ τῶν δοκίμων καὶ σπουδαίων. πολλὰ γὰρ ἀμπέλων γλίνη.

Καὶ ᾠκοδόμησα πύργον καὶ σκηλίωνα ἐν μέσῳ αὐτοῦ.

Τινὲς Ⓦ νεωτέροι φασὶ καὶ σκηλίωνα τὸ θυσιαστήριον, ἀπὸ τῶν καρπῶν ἐκεῖ συναγομένων τῆς ἀρετῆς τῆς ἐκείνου, καὶ τῶν σπονδῶν, καὶ τῶν θυσιῶν ἁπασῶν· ἐγὼ μέντοι τοῦτο, ὅπερ ἔφθην εἰπών, καὶ νεὼν ἐρῶ, ὅτι τῷ σκοπῷ δεῖ σπουδάζειν τῆς μεταφορᾶς. ἅμα γὰρ πάντων τοῦτο βούλεται εἰπεῖν, ὅτι τὰ πρὸ ἐμαυτοῦ πάντα ἐπλήρωσα, πᾶσι ἐπιμέλειαν ἐπεδειξάμην, οὐ κατέτεινα καμάτοις, οὐ συνέτεινα πόνοις, οὐκ αὐτὸς οἰκοδομήσας ἐκέλευσα, οὐκ αὐτὸς σκάψας, οὐκ αὐτὸς φυτεύσας, ἀλλ' ἀπηρτισμένον τὸ ἔργον παρέδωκα. καὶ σοὶ μέλει ταῦτα τῆς φιλοπονωτέρας ἕνεκα μόνον.

Ἀλλὰ καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν. Καὶ ἀπέμεινα τὸν προσήκοντα χρόνον τῆς καρποφορίας, μακροθυμίᾳ πολλῇ χρησάμενος. τὸ γὰρ ἔμεινα, τοῦτο δηλοῖ.

Ἐποίησε δὲ ἀκρίδας. Τὸν ἄκαρπον αὐτῶν βίον ἐνδείκνυται, τὸν πρακτικὸν, τὸν σκληρόν. ἵνα οὖν μὴ ἔλεγον συγγνώμης ἄξιοι μὴ τοσαύτην ἐπιμέλειαν τούτοις ἀποδόντες τῷ γεωργῷ τοὺς καρπούς; 3 Καὶ νῦν αὖ, φησὶ, τοῖς Ἰούδα καὶ Ⓐ κατοικοῦσι τὰ Ἱερουσαλὴμ, κρίνατε τὰ ἐμοὶ καὶ ἀμπελῶνός μου.

Πολλὴ τῶν δικαιωμάτων ἡ παρουσία, ὅταν αὐτοὶ τοὺς ἐπιθυμίας δικαστὰς καθίζῃ τοῖς ἐπ' αὐτῷ γεγονόσιν καὶ τοῖς ἐπ' ἐκείνων. καὶ νῦν δέ λέγω τὰ παλαιά, φησὶν, ἀλλὰ καὶ σήμερον ἕτοιμός εἰμι δικάζεσθαι. ὥστε μηδέποτε ἀπολείπω τὰ ἐμαυτοῦ πληροῦν, μηδὲ ὑμεῖς τὰ ἑαυτῶν πληρεῖτε.

4 Τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου; Ἐπειδὴ τοῦ νίκου ἤρξατο, καὶ τοῦ ἀγριομυρσίνου ἔδειξε τοῦ ἐκείνων, ὅτι λοιπὸν σπάγει καὶ τοῦ φυτοῦ, καὶ λέγει ταῦτα ἃ μέλλει ποιεῖν, οὐχ ἵνα καταδικάσῃ, ἀλλ' ἵνα τῷ φόβῳ τῆς ἀπειλῆς ἐπιεικεστέρους ποιήσῃ. 5 Ἀφελῶ Ⓦ φεγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ Ⓦ τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. Ἀπορήσω, φησὶ, τοῦ ἐμοῦ συμμαχίαν, γυμνώσω τῆς βοηθείας, ἐρήμους καταστήσω τῆς τοσαύτης προνοίας, καὶ ἐάσουσιν διὰ τῶν ἐναντίων ὧν ἀπήλαυον ἔμπροσθεν, ὅταν ὦσι πᾶσιν εἰς ἁρπαγὴν προκείμενοι. 6 Καὶ ἀνήσω τὰ ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ.

Πάλιν λέγω, ὅτι τῇ μεταφορᾷ κέχρηται. Εἰ δέ τις καὶ θερμότερον ἐξετάζειν βούλοιτο, τοῦ ἀπὸ τῆς διδασκαλίας, τοῦ ἀπὸ τῶν ἀποστόλων ἐπιμέλειαν φησιν. οὐ γὰρ ἀποστείλαντα τῶν αὐτῶν, ὧν καὶ ἔμπροσθεν, οὐ διδασκάλους ἔζησεν, οὐκ ἀρχηγούς, ἢ προφήτας

προφήτας ὁμοίως τοὺς διηρθρωμένους αὐτοῦ, τοὺς ὑπὸ μιᾶς ἁρμονίας αὐτῷ. ὥσπερ γὰρ ⓐ τὴν ἄμπελον ληστεύοντες σκάπτουσι, τέμνουσιν, ὕστως ⓐ ψυχὰς διηρθρωμένοι ἀπειλοῦσι, φοβοῦσι, διδάσκουσιν. ἀλλ' οὐ ἐρημία τούτων ἔσονται, φησιν, εἰς τὴν ἀλλοτρίαν ἀπενεχθέντες. Καὶ δύασθε) εἰς αὐτὸν ὡς εἰς χέρσον ἀχθῆναι· ἢ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Η τὴν ἐρημίαν τῆς πόλεως φησιν, ἢ τὴν ἐρημίαν τὴν ἑαυτῶν, ἢ τῆς ἐκείνου ψυχῆς. νεφέλας δὲ σοφοὺς, τοὺς προφήτας ὑετὸς λέγουσιν, ἅτε αὔξοντες τὸν ὑετὸν δεχομένους καὶ καταπέμποντας τῷ δήμῳ τὰ λεγόμενα. ἀλλ' οὐδὲ ὅτοι, φησι, τὰ ζιζάνια ποιήσουσιν. Εἰ γὰρ ἢ εἷς που ἢ δεύτερος ζιζανιῆλθεν, ἀλλ' ὁ δῆμος τῶν προφητῶν ὅτι ἐσίγα.

7 Ο γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ισραὴλ ἐστὶ· ἢ ἀνὴρ Ιουδα, νεόφυτον ἠγαπημένον. ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. Επειδὴ πολλῇ τῇ μεταφορᾷ διὰ τῶν ὀνομάτων ἐχρήσατο, ἀμπελῶνα, καὶ πύργον, καὶ προλήνιον, καὶ φραγμὸν, καὶ σκαφὴν, καὶ τιμῆσαι ἀμπέλου λέγων, ἵνα μὴ πρὸς ἀμπελωνίτας τοὺς τότε δόξῃ τὰ λεγόμενα, ταχέως πρὸς τοὺς τίλει ὁ προφήτης ἀπὸ τῆς ἐρημίας τοῦτον. ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ισραὴλ ἐστὶν. οὐ γὰρ πρὸς φυτὸν ὁ λόγος μοί, φησιν, οὐδὲ πρὸς ψυχὰς ἀψύχου, οὐδὲ πρὸς λίθων καὶ τοίχων, ἀλλὰ πρὸς δῆμον τὸν ἐμαυτοῦ. διὸ καὶ ἐπήγαγε, καὶ ἀνὴρ Ιουδα, νεόφυτον ἠγαπημένον· ὅπερ πλέον τι εἶχε τῶν δέκα φυλῶν, ἢ ὁ ναὸς αὐτόθι πλησίον ἦν, καὶ ἡ λοιπὴ θεραπεία, καὶ τῶν ἄλλων μᾶλλον ἦν, καὶ βασιλικωτέρα ἦν ἡ φυλὴ καὶ δυνατωτέρα. ἠγαπημένον δὲ εἶπε, πάλιν αὐτῶν καθαπτόμενος, ὅτι πρὸς τὸ σφοδρὸν ἐθος ἦν τοιοῦτοι γενέσθαι. ζιζυφος γὰρ τῶν φιλτάτων ὁ νόμος, μηδὲ τὸ αὐλῆς τοῖς ἐγκλήμασι κρύπτειν τῆς οἰκείας ἀγάπης τὸν ἐπιτρόπιον. ὀστέον οὐ μαφὸν καὶ ἕτερα μεμαθήκαμεν. ποῖον δὴ τοῦτο; ὃ πότε καὶ ἵνα ἀλληγορῇ χρὴ τῶν γραφῶν· καὶ ὡς οὐκ ἐσμὲν κύριοι τῶν νόμων τούτων αὐτοὶ, ἀλλὰ δεῖ αὐτῇ τῇ ζημιώσει τῆς γραφῆς ἑπομένους, οὕτω καὶ τῆς ἀλληγορίας ἔχεσθαι ἑκάστου. ὃ δὲ λέγω, ζιζυφον ὅτι εἶπεν ἀμπελῶνα νῦν ἡ γραφὴ, φραγμὸν, προλήνιον· οὐκ ἀφῆκε κύριον γενέσθαι τὴν ἀκροατὴν ἁρμόσαι τὰ εἰρημένα οἷς ἐβούλετο πράγμασιν, ἢ προσώποις, ἀλλὰ προῄδουσα ἑαυτὴν ἡρμήνευσεν, εἰποῦσα· ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ισραὴλ ἐστί. καὶ ὁ Ιεζεκιὴλ δὲ πάλιν ἀετὸν κακῶν μέγαν καὶ μεγαλοπτέρυγον εἰσιόντα εἰς ⓦ Λίβανον, καὶ ἀποκείροντα τὸ ἄκρον τῆς κέδρου, οὐδὲν ἐκεῖ ἀφίησι ὅτι τῇ γνώμῃ τῶν ἀκροατῶν χρῆσθαι τῆς ἀλληγορίας τὴν ἑρμηνείαν, ἀλλὰ καὶ αὐτὸς λέγει, ἵνα μὴ ⓦ ἀετὸν φησι, ἵνα δὲ τὸν κέδρον. καὶ ἔστι δὲ πάλιν προφῆται, ποταμὸν ἵνα σφοδρὸν διώκει, λέγων, ὅτι τὴν Ιουδαίαν, ἵνα μὴ ὀξὺν ὦ ἀκούοντι καὶ τὴν οἰκείαν γνώμην ἁρμόζειν τὸ εἰρημένον προσώπῳ ᾧ βούλεται, εἶπε καὶ ⓦ βασιλέα τοῦτον, οὐ ποταμὸν ἐκάλεσε. καὶ πάντα δὲ τῆς γραφῆς ἔστι ὁ νόμος, ἐπειδὴ ἀλληγορῇ, λέγειν καὶ τῆς ἀλληγορίας τὴν ἑρμήνευσιν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, τὴν ἀκόλαστον ἐπιθυμίαν τῶν ἀλληγορῆν βουλομένων πλανᾶσθαι καὶ πάντα χόρτον φέρεσθαι. καὶ τί θαυμάζεις, εἰ ⓐ προφῆται; καὶ ὁ παροιμιαστὴς ὅτου ποιεῖ. Εἰπὼν γὰρ, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, καὶ ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι μόνῳ, ἡρμήνευσε ἵνος ἔνεκεν ταῦτα ἔλεγεν, ὅτι πρὸς γυναικὸς σωφρονούσης καὶ ἐλευθέρας, ἀπεστρέφων πόρνης καὶ ἀλλοτρίας ἀπωθεῖται· ὅτου δὴ καὶ ἕνεκεν ταῦτα εἶπε ἵνα ἔφησε ⓦ ἀμπελῶνα εἶναι). Εἶτα ὅπερ εἶπεν αὐτῶν τὰ ἐγκλήματα, εἶπε τὰς ἀμοιρίας. πάλιν πρὸς ὃ τέλει τὴν ἀπολογίαν ἴδησι λέγων, ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ

λὰ κραυγήν. οὐκ δικαίως, φησὶν, ἀπαιτῶ δίκην. ἀνέμενα γὰρ, ἵνα ποιήσῃ κρίσιν, τουτέστι δικαιοσύνην, αὐτὸς δὲ τἀναντία ἐπεδείξατο, ἀνομίαν, ἀδικίαν καὶ κραυγήν. κραυγὴν δὲ τοῦτο τὴν πλεονεξίαν λέγει, Ⓦ ἄδικον θυμὸν, τὴν ὀργὴν τὴν ἀλόγιστον, τὰς μάχας, τὰς φιλονεικίας.

5 8 Οὐαὶ Ⓠ συναπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Εἰπὼν ὅτι κραυγὴν ἐποίησε, τοῦτέστι πλεονεξίαν, ἁρπαγάς, λέγει καὶ τὸ εἶδος τῆς ἀδικίας, πολλῆς ἐμπεπλησμένον τῆς κακουργίας. καὶ πάλιν ἀπὸ ἀπόνου θεωρίαν ἄρχεται, τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐνδεικνύμενος, καὶ σοῦ τὰ ἀνίατα νοσήματα ἐμφαίνων. Τοῦτο δὲ καὶ νῦν τολμήσωμεν ἰδεῖν τίς αὐτῶν τοὺς κακῶς τὰ τοῦ πλούτου κεχρημένους, οἱ τὰς ἀτιμίας ὑπενοοῦσιν, οὐκ εἰς ἀσφάλειαν, ἀλλ' εἰς ὑπεροψίαν τῶν πλησίον, καθάπερ πῦρ ὑλῶδες βαδίζον, ὥστε οὐκ γειτόνων πόνους ὑπενεμόμενοι.

Μὴ οἰκήσετε μόνοι ὑπὲρ τῆς γῆς; 9 Ηκουσθη γὰρ νῶν εἰς τὰ ὦτα Κυρίου σαβαὼθ ταῦτα. Δείκνυσιν αὐτὸν τὰ μέγιστα κακὰ καὶ εἰκῇ καὶ μάτην. ὅπερ γὰρ ὑπὸ τῶν ἀγαθῶν τὰς κολάσεις καὶ αἰ ζημίαι τοῖς τοιούτοις ἀπάγειν εἰώθασιν, ὡς δὲ μαθεῖν ἀκριβῶς, ὅτι οὐκ ἀπολαύσουσι τῆς ἁρπαγῆς, ταύτην αὐτοῖς ἐπάγει τὴν ἀπειλὴν λέγων, ὅτι χαμαιῶται μὲν καὶ γαλεοπιθήκοις καὶ τὴν ἀμπέλον καρπώσονται, τῆς δὲ ἀπολαύσεως ἐκπεσοῦνται. οὐκ ἐφησυχάζει γάρ, φησὶ, τοῖς γεωμόροις ὁ ἀκοίμητος ὀφθαλμός. Ὃ δὲ ἠκούσθη νῶν, οὐχ ὡς τότε τῶν προφητῶν γνωρίμων ἠκουσθὲν αὐτοῖς ταῦτά φησιν, ἀλλ' ὡς τῆς δίκης κατὰ πόδας ἰούσης λοιπὸν καὶ τῆς ἀνταποδόσεως γεωμόρου.

Εἰ μὴ γὰρ γένονται οἰκίαι πολλαὶ, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται Ⓠ κατοικιζόντες ἐν αὐταῖς. Τοιοῦτον γάρ ἡ πλεονεξία, ὅταν πλείονα προσβάλλῃ τοῖς ἔχουσι, καὶ τῶν προτέρων αὐτοὺς ἀζήμιους. ὃ δὴ καὶ ἐν τούτοις αἰνίττεται λέγων, ὅτι ὅταν οἰκοδομήσητε λαμπρὰς, καὶ τὰ πρώτων ὑμῶν αὐτῶν ποιήσασθε, καὶ ζήσονται αἱ οἰκίαι οἰκήτορας μὲν οὐκ ἔχουσαι, σάλπιγγος δὲ πάσης λαμπροτέραν ἀφίεσαι φωνὴν καὶ τοῖς τοῦ μεγάλου πραπάκοτων αὐτοῖς, τῆς ἐρημώσεως τῆς ὑπερτεμούσης δικαίᾳ τινὸς φαινομένης. 10 Οὐ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεφάλαιον ἕν· καὶ ὁ σπείρων δραπάβας ἓξ, ποιήσει μέτρα τρία. Απὸ τῆς πόλεως ὑπὲρ τοῦ τῆς χώρας ἐρημίαν δηλοῖ Ⓦ λέγων, ὥστε πρώτοθεν καταπλῆξαι Ⓦ ἀκροατάς. ὅτε γὰρ αἱ οἰκίαι, φησὶ, καθέξουσι τοὺς οἰκοδομοῦντας, ὅτε ἡ γῆ τὰ αὐτῆς ἐπιδείξεται δυνάμεις. καὶ γὰρ ὅς δεκάτης δηλοῖ τὸ τοῦ Αδὰμ ἁμάρτημα ἀκριβῶς καὶ περιβόλους ἐξευγνύει, καὶ μετ' ὀκνηρὸν δηλοῖ τὸν τοῦ Καὶν προσομιλοῦντα, ἐλαύνοντα πολλῷ Ⓦ πόνῳ Ⓦ ἐκείνου καὶ τῆς οἰκείας ἰσχύος τὸ φορεῖν ἐπιδεικνύντος. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ ἴδοι τις ἂν δηλοῦντα τὰ τῶν ἀνθρώπων ἁμαρτήματα αὐτὸν καλοῦντα. καὶ θαυμάζεις, εἰ περὶ τὰς γεωργὰς αὐτῆς καὶ τὰς ὠδῖνας τῶν δικαίων ἡ προφητεία, ὅπου γε καὶ φθαρτὴ δι' ἡμᾶς ἐγένετο, ὁ ἄφθαρτος πάλιν δι' ἡμᾶς γέγονε; ὅπερ γὰρ ὅλως ὁ τὰ δι' ἡμᾶς ἔλαβε ὁ τὸν ἡμέτερον ἀναλαβὼν πάλιν ἀνθρωπίνου καὶ τὸ οὕτως ἢ ἐκείνως εἰ πάλιν ἀντιδώσει λαμβάνει τὸν δεκάτην καὶ τὸν ῥίζαν. οὕτω γοῦν καὶ ὅτι τοῦ Νῶε. ὅπερ προσὼν καλῶν ἐφάπτων ἐξώκειλε τῶν δικαίων ἡ φύσις, πρώτα ἐφύρετο τὰ προσλήμματα, καὶ ἀπέρματα καὶ φυτὰ, καὶ ἀλόγων γένη, ὁ ἡ γῆ, καὶ θάλασσα, καὶ ἀὴρ, καὶ ὄρη, καὶ νάπαι, καὶ βουνοὶ, καὶ πόλεις καὶ τείχη, καὶ οἰκίαι ὁ πύργοι· καὶ πρώτα ἁπλῶς ἐκείνῳ τῷ φοβερῷ τότε ἐκρύπτετο πελάγει καὶ ὅπερ πάλιν ἐπιδοῦναι τὸ γένος ἔδει, τὴν οἰκείαν βύθαλίαν ἀπελάμβανεν ἡ γῆ, καὶ εἰς τὸν προτέραν εὐμορφίαν ἐπανῆει πάλιν. ἴδοι δ' ἂν τις τοῦτο ὁ ὅτι μέσης γενόμενον καὶ τὸν εἰς

ἰσ. τῆς πόνων τῆς ἐκείνης

ἀνθρώπους τιμωρῶ. καὶ γὰρ πέλαγος ἀφανίσθη, καὶ πάλιν ἐφάνη, καὶ ἥλιος ἐλαμπρύνθη μετὰ σελήνης, καὶ τὸν οἰκεῖον δρόμον ἐπέλιπε, καὶ πῦρ καὶ ὕδατος ἐπεδείξατο, καὶ γῆ καὶ πελάγους, καὶ πέλαγος καὶ τῆς γῆς· καὶ πάντα, ὡς εἰπεῖν ἁπλῶς, τοῖς τῶν ἀνθρώπων μεταχηματίζει λυσιτέλειαν. καὶ ὅπου πάντων τιμιώτερος ἄνθρωπος, καὶ δι' αὐτὸν καὶ ἡμόμβια ἅπαντα. Διό τοι τοῦτο καὶ νῦν, ὅπου ἥμαρτεν ὁ τῶν Ἰουδαίων δῆμος, ἐπέσχε τὴν γῆς καὶ ὠδῖνας ὁ Θεός, καὶ μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας οὐκ ἀφῆκε καὶ εἰκείνης λαμπάδας τῷ ἐνοικοῦντι Φοβερὰν ἐπεγκεῖν, ἵνα καὶ ἐντεῦθεν μάθωσιν, ὅτι οὐ γεωργικῶν χειρῶν τέχνη, οὐδὲ βοῶν καὶ ἀρότρων, οὐδὲ γῆς φύσις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' ὁ τούτων ἁπάντων δεσπότης οὗτός ἐστιν, ὁ καὶ θαλάσσης τὴν χεῖρα πάντα ἰσχύειν, καὶ πάλιν, ἐπειδὰν βούληται, συγχέαι ἅπαντα.

11 Οὐαὶ οἱ ἐπιρρέμβοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει.

12 Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν οἱ οἶνον πίνουσι, καὶ τὰ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι.

Κατηχήσας αὐτῶν πλεονεξίαν πολλήν, καὶ τὴν ῥίζαν τοῦ κακοῦ τίθησιν. αὕτη γὰρ ἐστὶν ἡ μέθη μυρίων γεννήτρια κακῶν ἐστὶν ἡ κατάστασις, καὶ μάλιστα ὅταν μετὰ τοσαύτης τολμήσῃ τὴν ἐπιβολὴν. σκέψαι γάρ, πῶς μετὰ ἀκριβείας αὐτὴν κωμῳδεῖ. πᾶσαν γὰρ τὴν ἡμέραν εἰς τοῦτο δαπανᾶσθαί φησιν. ὁ γὰρ ὅταν ἀριστοποιεῖσθαι δέῃ, τοῦτο πρωΐ τοῦσί, φησιν, ἀλλὰ πάντα τὴν ἡμέραν μέθης ποιοῦντες καιρὸν, καὶ οὐκ ἀποιμίων τὴν ἡμέραν, ὅτε μάλιστα αὐτοῖς πρέπον ἦν ἐργεῖν, πολλῷ τῷ ἀκράτῳ διδόντες ἑαυτούς, καὶ ἄκοντες λοιπὸν καὶ μέχρι τῆς ἑσπέρας διαπορθμεύοντες τῷ νοσήματι. ἐπειδὰν γὰρ ἅπαξ φθάσωσι καταπονηθῶσιν εἰς τὸν τῆς ἀκρασίας βυθὸν, καὶ τὴν ψυχὴν σκληρώσωσι φρενῶν, καὶ τὸν ψυχικὸν ἀγκυρίσκον τῇ πονηρᾷ τῆς μέθης ἀποδώσουσι τυραννίδι, καθάπερ πλοῖον ἀνέρματον καὶ κυβερνήτου καὶ ναυτῶν ἀπεστερημένον ἁπλῶς καὶ εἰκῇ φέρεται τῇ τῶν ὑδάτων ἀπάκτῳ ῥύμῃ πάντα κατὰ πρόσωπον ἀναδεχόμενον, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι ὑπὸ τῆς μέθης κατασυρέντες ἁλίσκονται. διὸ φησιν, οὐαὶ οἱ ἐγκαθήμενοι τῷ οἴνῳ, καὶ τὸ σίκερα διώκοντες. οὐ γὰρ τὸν χρείαν ἐπιλήψεως, οὐδὲ αἰτίαν ἔχοντα ἡδυπαθείας ἐμφανοῦς πληρῶσαι τὸν ἔνδειαν, ἀλλ' ἔργον ἐποιοῦντο τοῦτο καὶ μελέτην, τὸ διηνεκῶς μεθύειν. διὸ φησιν, οἱ διώκοντες σίκερα. σίκερα δὲ καλοῦσί φησι τὸν φοινίκων τὸν ὀπόν, ὃν ἐπιτηδεύουσι, ζωπυροῦντες τὸν καρπὸν καὶ καταθλῶντες, εἰς οἶνου μεταχηματίζειν φύσιν. καρωτικὸν δέ ἐστι τὸ ζωμοῦται, καὶ μέθης ἐργαστικόν. ἀλλ' οὐδὲν ὑφωρῶντο τούτων ἐκεῖνοι, τὴν ἡδονὴν πάντα κατὰ διώκοντες. μένοντες δὲ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. τοιαύτη γὰρ τῆς μέθης ἡ φύσις, πρωϊοῦσα αὔξει, καὶ χαλεπώτερον δίψος ποιεῖ. εἶτα καὶ ἕτερον οὐκ ἐλαττον ἔγκλημα τοῦ πρώτου προσέθηκε, λέγων· μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν οἶνον πίνουσι. τοῦτο καὶ ἕτερος ἔγκλημα προφήτης λέγων, Οἱ πίνοντες τὸ διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χρίόμενοι, καὶ χροτοποιοῦντες πρὸς τὸν φωνὸν τῶν ὀργάνων. ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φθάνοντα. καὶ γὰρ ἑκάστης ἀναλγησίας τοῦτο τὸ σημεῖον, καὶ ψυχῆς σκληρότητος, τὸ ἡδέως ποιεῖν τὸν οἰκεῖον τὸν ἑαυτῆς, καὶ τοιούτοις ἁσμασιν ἑαυτοὺς σκοπεῖσθαι. ὅπερ γὰρ ἡ μέθη ποιεῖ σκοτοῦσα, τοῦτο ἡ μουσικὴ μαλάττουσα τὸ ἔντονον τῆς Δημοίας, καὶ κατακλῶσα τῆς ψυχῆς τὸν ἀνδρεῖον, καὶ ἐπὶ μείζονας ἐξάγουσα ἀσελγείας. τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. ἢ τὰ θαύματα αὐτοῦ φησιν, ἢ τῆς κλίσεως τὸν θεωρίαν. πῶς δ' ἂν δυνατὸν ἦν ἡμέραν θεᾶσθαι, τὸν μὲν ἡμέραν νύκτα ἐργαζόμενοι, τὸν δὲ νύκτα τῶν νεκρῶν

Ἀμὼς ε'.

νεκρῶν σωθῆναι ἄμεινον διακείμενοι; πῶς δυνήσονται ἥλιον ἰδεῖν ἀνατέλλοντα, καὶ οὐρανοῦ κάλλος λαμπρὸν, καὶ τὴν ποικιλίαν τῶν ἄστρων ἐν ἐσπέρᾳ χορεύοντα, καὶ τὴν ἄλλην τῆς κτίσεως εὐταξίαν τε καὶ ἁρμονίαν, τῶν ἔξωθεν δὲ τῶν ἔνδοθεν ὀφθαλμῶν ἀπεστερημένοι; οὐ μικρὸν οἶμαι τοῦτο τὸ κακὸν), ὃ ἀθέατοι τῶν τοῦ Θεοῦ θαυμάτων ἐκ τοῦ πρόντος ἀπελθεῖν βίου, πηρὰν τὴν χρόαν ἐν τῇ σκότει τῆς μέθης κατορωρυγμένοι.

13 Τοίνυν αἰχμάλωτος ἐλήφθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸ Κύριον.

Πάλιν τὸ μέλλον ὡς γεγενημένον ἀπαγγέλλει, καὶ ἀμφοῖν ἐπάγει τὴν πλημμελείαν ταύτην. ἱκανὴ μὲν γὰρ καὶ αὐτὴ ἡ μέθη αὐτὴ πάσης γλυκάσεως, θορύβους ἐμποιοῦσα τῇ ψυχῇ, ζόφου πληροῦσα τὸν διάνοιαν, αἰχμάλωτον καθιστῶσα αὐτὸν, μυρίων αὖθις ἐμπιπλῶσα νοσημάτων, τῶν ἐνδοθεν, τῶν ἔξωθεν. οἶδε τοῦτο καὶ Παῦλος, ὅτι καρὶα αὐτὴ ἀμφοῖν γίνεται. διὸ φησι, Καὶ τὴν αὐτὴν μανίαν, ἵνα ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. ἀλλ' ὅπως καὶ τοῦτο τῆς ἀναισθησίας αὐτῶν, ὃ κολάζεσθαι, καὶ μηδὲ αἰσθάνεσθαι τὸ νοσεῖν, καὶ μὴ εἰδέναι ὅτι νοσοῦσιν, ἐπάγει καὶ τὰ τῶν ἔξωθεν ἀμοιβὰ λέγων· τοίνυν αἰχμάλωτος ἐλήφθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸ Κύριον· Rom. κζ. ἀ. τὴν

καὶ πλῆθος ἐλήφθη νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος.

Ὅρα καὶ ἐν τῇ ἀμοιβῇ πολλὴν τὴν νουθεσίαν, καὶ οὐκ ἀνθρώπων τὴν βαρυπάτην ἀναγομένην ὕλην. οὐ γὰρ θυμὸν τὴν αἰχμαλωσίαν ἐπήγαγε, ἀλλὰ λιμὸν πρότερον καὶ αὐχμὸν, ἵνα οἴκοι μένοντες γνῶσι βελτίους, μηδὲ αἰτίαν νοσοῦντες ἐφελκύσωνται τὸ τῶν βαρβάρων στρατόπεδον. ὅπως δὲ οὐκ εἶχεν, οὐδὲ ἐκέρδαναν ἐντεῦθεν, ἐπάγει λοιπὸν τὴν ἑκάτερα ἀμοιβὴν αὖθις. ἀλλ' ὅμως πρὸ ἐκείνων ταύτην ἐπαίρει καὶ ὀξυγκοῖ τὰ λόγια τὴν τοῦ λιμοῦ, λέγων·

14 Ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ· Οὐχ ὡς ψυχὴν τοῦ ᾅδου ἔχοντος, ἀλλὰ πρόσωπον ποιήσας τὸ ἀπειλοῦν, ἐμφατικώτερον τὸ λέγειν ποιῆσαι βουλόμενος, καὶ φόβον ἀκμάζοντα ἐναποθέσθαι τῇ διανοίᾳ τῶν ἀκουόντων. διὸ καὶ ὑπερβάλλει λέγων·

καὶ διέρρηξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ δύνασθαι.

Ὡς πρὸς θηρίου λυσσῶντος διηνοιγμένος, καὶ ἕτοιμος αὐτὸν τὴν εἰκόνα τῶν προσταγμάτων ἄγων. καὶ ὁ δὴ χαλεπώτερον, ὅτι οὐκ ἐρρύηξε τὸ στόμα μόνον, ἀλλὰ καὶ ῥόφει κεχηνὼς, καὶ κόρον οὐ λαμβάνων τῶν ἐν αὐτῷ καταρυπωμένων. Καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ οἱ λιμοὶ αὐτῆς.

Εἶτα ἵνα μάθῃς, ὅτι οὐ κατὰ φύσεως ἀκαλουθίαν ὁ γινόμενος ἐστὶν, ἀλλὰ θελήσεως ἐστὶν ἡ πληγὴ, καὶ ψῆφος ἐκ τοῦ οὐρανοῦ κατενεχθεῖσα, τοῦτο μὲν ἀφροσύνης, τοῦτο δὲ δυσαρεστείας, τοῦτο δὲ πολλὰ συγχέοντας, καὶ μᾶλλον δὲ κάτω τὰ τῶν Ἰουδαίων ποιοῦντας πράγματα, τούτους ἐκεῖ καταβήσεσθαι ἔφησε. λοιμοὺς δὲ εἰκότως αὖθις καλεῖ, ἅτε οὐ μέχρι ἑαυτῶν τὴν κακίαν διατεινομένους, ἀλλὰ καὶ εἰς ἄλλους τὴν νόσον διαβιβάζοντας. τοιαύτη γὰρ ἡ τοῦ λοιμοῦ φύσις· ἐπειδὰν ἀφ' ἑνὸς ἄρξῃ σώματος, ὁδῷ βαδίζουσα τὸ λοιπὸν ὑπονέμεται πλῆθος. Καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ. Ὁ πυροφόρος, ὁ σιτοπῶν, ὁ νομίζων ἀκίνητα ἔχειν τὰ ἀγαθὰ, καὶ αὐτὸς ἐμπεσεῖται καὶ ἀλώσεται.

15 Καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀπομαθήσεται ἀνήρ· καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται Κύριος μόνος σαβαὼθ ἐν κρίματι.

Ὅρα πάλιν Θεοῦ κηδεμονίαν. οὐ γὰρ πρωτολεθρεῖν ἐργάζεται, οὐδὲ ὅλον ἐκ μέσου ἡμῶν αὐτῶν δυαρπάσαι ποιεῖ, ἀλλ' ἀφίησί τινας, ὥστε τὴν ἀμοιβὴν τῶν ἀπολλύντων γλυκέσθαι βελτίους. τοῦτο γοῦν αἰνιττόμενος ἔφησεν, ὅτι ταπεινωθήσονται, τουτέστιν οἱ μένοντες, οἱ λοιμοὶ λιμῷ δυόμενοι. 16 Καὶ ὑψωθήσεται Κύριος σαβαὼθ ἐν κρί-

ματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ. Δύο ἡμῖν ἀγαθά, ὅτι καὶ ἐκεῖνοι τῆς φλεγμονῆς ἀπαλλαγήσονται, καὶ ἔσονται βελτίους, καὶ ὁ Θεὸς θαυμασθήσεται πᾶσι (τοῦτο γάρ ἐστιν, ὑψωθήσεται καὶ δοξασθήσεται) διὰ τῆς κολάσεως.

17 Καὶ βοσκηθήσονται ὡς διασκορπισθέντες ὡς ζῶα, καὶ ἐκ ἐρήμους τῶν ἀπειλημμένων ἄρτες φάγουσιν. Τὴν ὀλιγότητα τῶν ζώων ἀντίθετον τῶν ἀποληφθέντων, καὶ τὴν ὑπερβολὴν ἐρημίαν τῆς χώρας.

18 Οὐαὶ οἱ ὑπερασπιζόμενοι ἐκ ἀμαρτίας αὐτῶν ὡς σκηνίῳ μαχαιρῶν, καὶ ὡς ζυγῷ ἱματίου δαμάλεως τὰς δικαιοσύνας αὐτῶν. 19 Οἱ λέγοντες, Ὁ τάχος ἐπισπευσάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ισραὴλ, ἵνα γνῶμεν.

Τῶν ψευδοπροφητῶν ἀπειλουμένων συνεχῶς, καὶ τὰ φοβερὰ προσαφωνούντων, οἱ ψευδοπροφῆται πρὸς χάριν λαλοῦντες, καὶ τὰ ἥδιστα φθεγγόμενοι, καὶ μὴ σκέπτεσθαι ἐθέλοντες ἃ λέγουσιν εἶναι ψευδῆ, τὰ δ' αὐτῶν ἀληθῆ. πολλοὶ τοίνυν ἀπαγόμενοι ἠπίστουν καὶ αὐτοῖς τοῖς ῥήμασιν. Εἶτα ὅπως αἱ προφητεῖαι ὄχ ὁμοῦ τε ἐλέγοντο καὶ ὀξέβαινον (προφητείας γὰρ ἴδιον ἡ φύσις, τὸ πρὸ πολλοῦ χρόνου τὰ μέλλοντα σκοπεῖσθαι προσαφωνῆσαι) ἐπεὶ οὖν συνεχῶς μὴν ἔλεγον οἱ προφῆται σὸν λιμόν, σὸν λοιμοὺς, σὸν πόλεμον, ὅτι δὴ τῶν ἔργων αὐτὰ σὐκ ἐδείκνυον, πέως τὴν τοῦ χρόνου μέλλησιν ἀφορμὴν εἰς ἀπιστίαν λαμβάνοντες οἱ πολλοὶ τῶν ἠπατημένων ἔλεγον· ἐλθέτω τὰ λεγόμενα, εἰ ἀληθεύετε, ἐγλισάτω τὰ προσήματα, δείξατε ἡμῖν ὅτι τῶν ἔργων τὴν βουλὴν τοῦ Θεοῦ. ἐπεὶ οὖν τὴν αὐτὴν μακροθυμίαν σὐκ ὄφελον ἀπιστίας ἐποιοῦντο, καὶ σὐτοῦ ἕνεκα προσεπίθηκε αὐτῶν τοῖς ἁμαρτήμασι τό τε ἀπιστεῖν, τό τε ἐκ τὴν ἀπιστίαν ῥᾳθυμότεροι γίνεσθαι, εἰκότως αὐτοῦ ὁ προφήτης θρηνεῖ λέγων· ὅτι καθάπερ σκηνίῳ μαχρῷ, ὕπως ἔλκητε καθ' ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ αὔξητε ὑμῖν τὴν ποινήν. ὅπως γὰρ ἀπιστεῖτε τοῖς λεγομένοις ῥήμασι, λείπεται λοιπὸν τὴν ἐκ τῶν ἔργων ἐπανέχειν πίστιν ὑμῖν. ὥστε οἱ τὰ καλὰ ὑπερασπιζόμενοι, ὑμεῖς ἐστε, οἱ τοῖς λεγομένοις ἀπιστοῦντες. ἐκ τοῦτό φησιν, καὶ οἱ ὑπερασπιζόμενοι τὰς ἁμαρτίας αὐτῶν, τουτέστι τὴν αὐτόδοσιν τῶν ἁμαρτημάτων. ὡς σκηνίῳ μαχρῷ πόρρωθεν ἕλκητέ, φησι, τὴν ὠφελουμένην τοῖς ἁμαρτήμασιν ὑμῶν δίκην, καὶ ὡς ζυγὸν ἱματίου δαμάλεως σὐκ ὀκνεῖτε ὕσης· ἵνα εἴπῃ τὸ εὔτονον, τὸ μὴ ἀποσυρόμενον. ὡς ἐάν τις ἱματίῳ εὐτόνῳ ἐφελκύσαι τί, ὕπως ὑμεῖς ἐκ τῆς ἀπιστίας ἐφέλκετε καθ' ὑμῶν τοῦ Θεοῦ τὴν ὀργήν. Εἶτα λέγει καὶ πῶς ἐφέλκονται. οἱ λέγοντες, τὸ τάχος ἐπισπευσάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν. ὁ καὶ ἕτερος προφήτης ἐγκαλεῖ λέγων· Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. καὶ ἵνα τί ὑμῖν ἡ ἡμέρα αὕτη, καὶ αὕτη ὅτι σκότος καὶ οὐ φῶς, καὶ γνόφος σὐκ ἔχων φέγγος αὐτῆς; καὶ γὰρ καὶ σκεῖνοι ἀπιστοῦντες ἔλεγον, πότε ἥξει ἡ ἡμέρα τῆς καλάσεως καὶ τῆς λυμωρίας;

Αμὼς ε. ιη.

20 Οὐαὶ οἱ λέγοντες τὸ ποιηρὸν καλὸν, καὶ τὸ καλὸν ποιηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ.

Πάλιν περὶ τῶν αὐτῶν λαλεῖ. ὅπως τοὺς μὲν προφήτας ὑβριζόντων καὶ ἀπατεώνας ἔλεγον, τοὺς δὲ ψευδοπροφήτας ἐτίμων, καὶ ἀνέτρεφον τῶν προσημάτων τὴν τάξιν, παλαίει αὐτοῖς ὅτι τῇ κρίσει τῇ διεφθαρμένῃ· οὐαί, φησιν, οἱ λέγοντες τὸ ποιηρὸν καλὸν, τουτέστι τὴν ψευδοπροφητείαν, καὶ τὸ καλὸν ποιηρὸν, τὴν προφητείαν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. Εἰ γὰρ καὶ φορτικά, φησι, τὰ ῥήματα, ἀλλ' οὐδὲν γλυκύτερον τῶν προφητῶν, τῇ τῶν ῥημάτων ἀπειλῇ τὴν ἐκ τῶν προσημάτων ἀποκρουομένων πεῖραν. Εἰ καὶ γλυκέα τὰ τῶν ψευδοπροφητῶν, ἀλλ' οὐδὲν αὐτῶν πικρότερον, τῇ χάριτι τῶν λόγων τὴν

Αμ-

διὰ τῶν ἔργων ἐπαγόντων ἀπειλάς. ἰδοὺ προφήτης σοφίαν, πῶς διέστρεψεν αὐτῶν τὴν διάνοιαν. ὅπερ γὰρ τοῖς μὲν ὡς πικρότατα φθεγγομένοις ἀπροσείχον, τοῖς δὲ ὡς προσηνεστάτοις, καὶ γλυκύτητα πολλὴν ἔχουσιν, ἔφησεν, ὅτι τοιοῦτόν μοι οἶνόν ἐστι· πολὺ τῶν προφητῶν ὁ μέλι, πολὺ δὲ τῶν ψευδοπροφητῶν ἡ παρία. οὕτω καὶ ὅπου τοὺς φωτὸς καὶ τὸ σκότος ἀλλήλοις ἐναντία λέγων μεταχειρίζεσθαι φησιν. ἐγὼ μὲν γὰρ πρὸς τὴν πλάνην ἠγανάκτησα, ἐγὼ δὲ πρὸς τὴν ἀλήθειαν ἐκεκραγώμην· καὶ ἐγὼ μὲν τῷ ζόφῳ τῆς αἰχμαλωσίας μονονουχὶ ταῖς χερσὶν ἁψάντες προσεδόμεθα, ἐγὼ δὲ ὅπως ἐν τῷ φωτὶ τῆς ἐλευθερίας ἀναπαύσωμαι, πάντα ἐποιησάμην. ἐπεὶ οὖν ταῖς ἐναντίαις περὶ τούτων δόξαις εἴχομεν καὶ ταῖς ἀντικρούσαις, εἰκότως αὐλοὺς διηρθρώσατο λέγων, ἐγὼ μὲν τὸ φῶς σκότος, ἐκ δὲ τὸ σκότος φῶς. 21 Οὐαὶ ἐγὼ σοφοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

Οὐ μικρὸν καὶ τοῦτο ἐλάφισμα, τὸ σοφὸν εἶναι νομίζειν ἑαυτόν, καὶ τοῖς ἑαυτῶν λογισμοῖς τὸ πᾶν ἐπιτρέπειν. ἐκ γὰρ ἐντεῦθεν ἐκρίνοντο ἔξω. τοῦτο καὶ ὁ Παῦλος τοῖς ἔξω φιλοσόφοις ἐγκαλῶν ἔλεγεν, Ὅτι φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν· ἐκ ὁ παρομοιώσας λόγος πάλιν φησὶν, Εἶδον δὲ ἔφθασεν δοκοῦντα εἶναι σοφὸν πρὸς ἑαυτὸν, ἐλπίδα ἢ ἔχει μᾶλλον ἄφρων αὐτός. τοῦτο καὶ Παῦλος ἐγκαλῶν πάλιν λέγων, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. καὶ πάλιν, Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός. μὴ τῇ οἰκείᾳ σοφίᾳ, φησὶ, μηδὲ τοῖς ἑαυτῶν ἐπιτρέπων λογισμοῖς, ἀλλ' ἐκείνους κατεύνασας, ἐκδιδόντα τῷ ψυχῷ τὴν τοῦ πνεύματος διδασκαλίαν. ἐπεὶ οὖν καὶ τοῦδε Ιουδαίοις τοιοῦτοί τινες ἦσαν, ἐπαφορῶντες μὲν τῶν προφητῶν ὡς ποιμένων καὶ αἰπόλων, βουλόμενοι δὲ σοφίζεσθαι οἴκοθεν, ὃ καὶ ἀπιστίας αὐτοῖς ἐπόθεσις ἐγίνετο καὶ δὴ καταφρονῆσαι τῶν λεγομένων, εἰκότως αὐλοὺς θρῆνος λέγων· καὶ φησὶν Οὐαὶ οἱ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

22 Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν οἱ οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. Μὴ θαυμάσῃς, εἰ τοσοῦτον μακρὸν ποιούμενος λόγον μέθης εἰπών, πάλιν τὸν αὐτὸν ἐπιμελεμφόμενος λέγει. ὅπερ γὰρ χαλεπὸν τὸ ἔλκος καὶ δύσιατον, διὰ τοῦτο καὶ συνεχῶς ἐπιμπλᾷ ἔδει. χαλεπὸν δὲ καὶ δύσιατον, ὃ μὴ δοκεῖ τοῖς πολλοῖς ἁμάρτημα εἶναι, πολλῶν ἁμαρτημάτων χαλεπώτερον ὄν, καὶ μυρία βλασφήμων νοσήματα. διὰ φησιν· οἱ οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. διπλοῦς ὁ κρημνός, τυραννὶς μέθης, καὶ δυναστείας ἐπήρεια. πᾶσι μὲν γὰρ ἀνθρώποις λογισμοῦ χρεία, μάλιστα δὲ τοῖς ἐν ἀξιώμασι καὶ δυναστείαις οὖσιν, ὥστε μὴ καθάπερ ἀπάκλων ὑδάτων ῥύμῃ φέρεσθαι, ἀλλὰ τῆς λογικῆς ἐπιφερομένους ὄγκῳ καταχρημνίζεσθαι.

23 Οἱ δικαιοῦντες ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου ἀφέντες ἀπ' αὐτοῦ. Διπλοῦν τὸ ἔγκλημα πάλιν, τὸ τὸν ἐπαθύμιον ἀφιέναι, καὶ τὸν ἀνθύμιον καταδικάζειν. ἑκατέρα ἁμαρτήματος ἡ ῥίζα, δωροδοκία.

24 Διὰ τοῦτο ὡς φάγεται καλάμη ἀπὸ ἀθράκος πυρὸς, καὶ συγκαυθήσεται ἀπὸ φλογὸς ἀνημμένης. Τὸ τῆς ὑμνῳδίας ταχύ, τὸ εὔκλεον τῆς κολάσεως παιδίσκει, διὰ τῆς εἰκόνος τὴν πανωλεθρίαν αὐτῶν δηλῶν. ἄπαντα γὰρ ταῦτα ἡ φλὸξ ἐκ ἀνθράκες καὶ ἡ καλάμη καὶ τὰ ἐξῆς ἡμῖν προδήλωσεν. Ἡ ῥίζα αὐτῶν ὡς χοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς χονιορτὸς ἀναβήσεται. Τὰ πεπηγότα καὶ τὰ βέβαια ἀπολεῖται, καὶ διαχυθήσεται τὰ λαμπρὰ, καὶ τὰ φαιδρὰ οἰχήσεται καὶ διαῤῥυήσεται. Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου σαβαὼθ ποιεῖν, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου παρώξυναν. Λόγιον τὸν νόμον λέγει.

25 Καὶ ἐθυμώθη Κύριος σαβαὼθ ὀργῇ ὅτι τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ

αὐτὸ ἐπ' αὐλοὺς, ⁊ ἐπάταξεν αὐλούς. ⁊ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγίνετο τὰ θηρίων μέγα αὐτῶν, ὡς κοπρία ἐν μέσῳ ὁδοῦ, καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Ἐντεῦθεν ἀρίτης) χαλεπὸν, ὡς οὐδὲ ταφῆναι τὰ σώματα συγχωρήσει τοῦ θεοῦ θηρίων, ἀλλ' ἵνα ⓐ ζῶντες ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τῆς οἰκείας ἀποτίμωνται τι κακίας. καὶ ὅρα πῶς χαλεπώτερον Ⓦ λέγων ἐπέθηκεν. οὐ γὰρ εἶπεν, ὅτι οὐκ ἐτάφησαν, ἀλλ' ὅτι κόπρου πάσης ἀτιμοτέρους ἐρρίμμένοι ἦσαν ⓐ τετελευτηκότες, ὃ τοῖς ζῶσι φορτικώτερον ἀπόντων εἶ) δοκεῖ, καὶ τῆς τελευτῆς αὐτῆς χαλεπώτερον. καὶ ὃ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησὶν, ἐπιεικέστεροι γεγόνασι, ἀλλὰ τοῖς αὐλοῖς ἐπιμένουσιν. ἐπεὶ οὖν οὐδὲν βελτίους ἐγένοντο, ἀπειλᾷ πάλιν αὐλοῖς τοῦ χαλεπωτάτου ἐκείνου πληγοῦ τοῦ τῶν βαρβάρων. διὸ καὶ ἐπάγει λέγων·

26 Τοιγαροῦν ἁρπᾷ σύσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρὰν. Ἵνα μὴ τῆς ὁδοῦ τὸ μῆκος εἰς ῥᾳθυμίαν αὐτοὺς ἐμβάλλῃ, φησὶν ὅτι οὕτω τῷ Θεῷ ῥᾴδιον ἀγαγεῖν αὐτοὺς, ὡς τὸ σύσημον αἴροντι, καὶ τοὺς προκεκινδυνευκότας καὶ ἑτοίμους ἐξάγοντι πρὸς παράταξιν, ὅπερ καὶ ὅτε τῶν ἵππων ἅπτεται τῶν ἀμαλλοτρόφων. ὁμοῦ τε γὰρ τὸ σύμβολον τῆς ἀφέσεως αἴρει), καὶ ἅμα τοὺς βοηθοὺς ἐκπηδῶσιν θᾶττον. δύο τοίνυν ἐνταῦθα ὁ προφήτης ἀρίτης), ὅτι καὶ βάσκολον αὐτοῦ ἐλθεῖν, τοῦ Θεοῦ καλοῦντος, καὶ πάλαι δὴ ἦλθον, εἰ μὴ ἡ πολλὴ κατέσχεν αὐλοῖς μακροθυμία. Εἶτα τῇ ἐπεξηγήσει πλείονα τοῦ βάσκολίου ἐνδείκνυ) λέγων· Καὶ συνελᾷ αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς.

Μὴ θαυμάσῃς), εἰ τοῦ Θεοῦ μακροθύμου, οὕτω παχυτάταις χέρσιν λέξεσι. πρὸς γὰρ τὸν δύσκολον τῶν ἀκουόντων σημαίνει τὰ ῥήματα, ἐν βουλόμενος δεῖξαι μακρὰ πάντων, ὅτι καὶ τῷ Θεῷ ῥᾴδιον τοῦτο, ⁊ ὅτι πάντως ἀποτείσουσι). διὸ καὶ ἐπήγαγε λέγων· Καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. 27 Οὐ πεινάσουσι, οὐδὲ κοπιάσουσι, οὐδὲ νυστάξουσι. Ταῦτα ἐναρμονίως εἴρηται. πῶς γὰρ ἐνῆν μήτε πεινῆν μήτε καθεύδειν αἰθέριος ὄντας, καὶ τοῦ κοπιᾶν λοιπὸν εἶναι λέγειν; ἀλλὰ τὸ ταχὺ τῆς γραπτῆς, τοῦ δυσκολίαν, τοῦ ταχύτητα, ὅπερ ἔφθην εἰπών, διὰ πάντων ἐνδείκνυ).

Οὐδὲ λύσωσι ταῖς ζώναις αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν Ⓐ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν·

28 Ὧν τὰ βέλη ὀξέα ὅτι, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· Ⓐ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, Ⓐ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες.

29 Ὀρυάσουσιν ὡς λέοντες, ⁊ προσέξουσιν ὡς σκύμνοι λεόντων.

30 Καὶ ὀπτιλήψεται καὶ βοηθήσει ὡς θηρίον, καὶ σκυλᾷ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτούς. καὶ βοήσει) δὲ αὐτοῦ τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς Ⓦ γῆν καὶ ὄψονται σκότος, καὶ εἰς τὸν γῦρον κάτω· ⁊ ἰδοὺ σκότος σκληρὸν, σκότος ἐν τῇ ἀποικίᾳ αὐτῶν. Διὰ πάντων Ⓦ λόγων ἐξώγκωσε, καὶ Ⓦ φόβου ἐπῆρε, καὶ μάχῃ ἔπαρσε διηνυθμένος, ἅμα μὲν τῆς γνώμης, τὰ δὲ τῆς ἰσχύος, τὰ δὲ τῶν ὅπλων, τὰ δὲ τῶν ἁρμάτων, ὥστε τῷ πλήθει τῶν λεγομένων πολλὴν ποιῆσαι τὴν ἀγωνίαν, καὶ τῇ σαφηνείᾳ τῶν εἰκόνων ἐμφανῆ τὰ φαντάσματα αὐτῶν ἀπεργάσῃ. διὸ καὶ λέουσι αὐτοὺς παραβάλλει, καὶ οὐδὲν ἐνταῦθα ἔστι τοῦ παραδείγματος, ἀλλὰ καὶ φωνὴν ἀναπλάττει καὶ ὁρμὴν τοῦ θηρίου, καὶ ὀπτιλήψεται τῇ μεταφορᾷ, καὶ πολλὴν ποιήσεται τὴν ἔμφασιν. καὶ ἐπιτείνων ὅτι θαλάσσῃ ἐξάγει Ⓦ λόγῳ, λέγων, ὅτι τοσοῦτος ἔσται ὁ θόρυβος, τοσαύτη ἡ ταραχὴ, ὅση δὴ γίνοιτο μεγαλομανὴς θαλάσσης καὶ κύματα διεγειρούσης· καὶ πάντα κινεῖ ζόφον, αὔξων Ⓦ φόβον, ὥστε μὴ δεηθῆναι αὐτοὺς τῆς διὰ τῶν φαντασμάτων πείρας. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ὁ παρασκηνήσας ἔσται, φησὶν, οὐκ ἀπὸ

τῆς

τῆς γῆς, οὐκ ἀπὸ τῶν ἀρχόντων· ἀλλ' ἔρημοι ἦσαν τῆς ἀνωθεν συμμαχίας, καὶ τῆς κάτωθεν βοηθείας, ἐκωλύθησαν] τοῖς πολεμίοις. σκότος ἦν ἐν γῇ φησι, δι' ἀπὸ τῆς συμφορᾶς αὐτοῖς ἐγίνοντο, ἀλλ' ὡς τῆς ἀκτῖνος ἀφανιζομένης, ἀλλὰ τῆς ἀληθείας τῶν παχόντων ἐν τῇ μέσῃ τῇ μεσημβρίᾳ αὐτοῖς φωτὸς σκότος ὁρώντων· ὅπερ τοῖς ὀλιγωρήσασι καὶ ἀμελήσασι συμβαίνειν ἔοικε. καὶ ἵνα μάθῃς, ὅτι ἀπὸ τῆς φύσεως τοῦ ἀέρος τὸ σκότος ἦν, ἀλλὰ τῆς ἐκείνων ἀληθείας, ἐπήγαγε· σκληρὸν σκότος ἐν τῇ ἀπωλείᾳ αὐτῶν.

## ΚΕΦΑΛΑΙΟΝ ς.

1 ΚΑὶ ἐλθὼν τὸν ἑαυτοῦ, καὶ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. Τί δήποτε τοῦτ' κεφ. ς.
μὴ ἄλλως χρόνους ἀπὸ τῆς ζωῆς τῶν βασιλέων, τοῦτον ἢ ἀπὸ τελευτῆς χρηματίζει νεῶ ὁ προφήτης; καὶ γὰρ ἔλεγεν, ἐλθὼν ἐν ταῖς ἡμέραις Ὀζίου, οὐδὲ ἐν τῇ βασιλείᾳ Ὀζίου, ἀλλ' ἐλθὼν, ἵνικα ἀπέθανε. Τί δήποτε ἐν τούτῳ ποιεῖ; καὶ οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλά τι ἀπόρρητον ἡμῖν αἰνίττεται). Τί οὖν τοῦτο ἐστιν; Ὀζίας ἐστὶ τῇ τῶν γεγλυμμένων ὑπερηφανίᾳ μεγίων, καὶ ὑπὸ τῆς ὑπηκοΐας ἐγκαυχώμενος, μείζων τῆς ἀξίας ἐφρόνησε· καὶ ὅπερ βασιλεὺς ὤν, ἐνόμισεν αὐτῷ προσήκειν ἱερᾶσθαι, καὶ ἐπεπήδησε τῷ ναῷ, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε, ἐν τοῦ ἱερέως κωλύοντος καὶ ἀπαγορεύοντος αὐτῷ τὸν ἐκτὸς εἴσοδον, οὐκ ἐνέμεινε τῇ μανίᾳ, ὀλίγου τοῦ ἱερέως ποιήσαντος λόγον. Ταύτης ἕνεκεν τῆς δυναστείας ἐπαφῆκεν αὐτῷ λέπραν ὁ Θεὸς κατὰ τοῦ μετώπου. βουληθεὶς γὰρ πλείονα τῆς ὕβρεως ἐμοὶ λαβεῖν, καὶ ἧς εἶχεν, ἐξέπεσεν. οὐ γὰρ δὴ μόνον ἱερωσύνην οὐ προσελάβετο, ἀλλὰ καὶ βασιλείου ἀξιώματος ἐκαίρτος, τῶν βασιλείων ἐξεβάλλετο, καὶ πάντα χρόνον ἐν οἴκῳ τινὶ κεκρυμμένος κατῴκει, τιμὴν αἰσχύνην οὐ φέρων. καὶ ὁ λαὸς ὑπερεπήδησεν ἅπας τῆς ἰδιώτης ὀργῆς, ὅτι τοῦ τοῦ Θεοῦ νόμους προσέβαλλον, καὶ τιμὴν ἱερωσύνην ὑβριζομένην οὐκ ἐξεδίκησαν. πῶς οὖν ὑπερεπήδησε τῆς ὀργῆς; ᾧ τιμὴν προφητείαν δύασα λιῶναι. ὀργιζόμενος γὰρ ἀεὶς ὁ Θεὸς πρὸς οὐδένος οὐδὲν ἀπεκρίνατο. ἀλλ' οὐ μέχρι πάντως τοῦτο ἐποίησεν, ἀλλὰ ᾧ μέτρῳ τῆς ζωῆς τοῦ βασιλέως καὶ μέτρῳ τῆς ὑμνῳδίας ὥρισεν. ὁμοῦ γοῦν ἐκείνου καταλύσαντος τὴν ζωὴν, καὶ ὁ Θεὸς τὴν ὀργὴν κατέλυσε, καὶ ἐξέφυγε πάλιν τῆς προφητείας ἀνέῳξε. Τοῦτο γοῦν ἀριθμούμενος ὁ προφήτης ὑπέμνησεν ἡμᾶς τοῦ χρόνου τῆς τελευτῆς οὗ βασιλέως. ὅπερ οὕτως ἄρχεται τῆς προφητείας, λέγων· Ἐλθὼν τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας
ὁ βασιλεύς, εἶδον ᾧ Κύριον καθήμενον. Καίτοιγε ὁ Χριστὸς φησι, Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς ᾧ κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ πάλιν, Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. καὶ πρὸς τὸν Μωϋσέα αὐτὸς φησιν, Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον μου, καὶ ζήσεται. πῶς οὖν οὗτός φησιν ἑωρακέναι τὸν Κύριον; Εἶδον γάρ, φησι, τὸν Κύριον. οὐκ εὐαρίθμητα τοῖς οὐ Χριστοῦ λέγων, ἀλλὰ καὶ σφόδρα ζητητά. ὁ μὲν γὰρ Χριστὸς τὴν ἀκριβῆ κατανόησιν φησιν, ἣν οὐδεὶς εἶδε (γυμνὴν γὰρ τὴν θεότητα καὶ ἀπερίφραστον τὴν οὐσίαν οὐδεὶς ἐθεάσατο, πλὴν τοῦ μονογενοῦς) ὁ δὲ προφήτης τὴν αὐτῷ δυνατὴν ἰδεῖν ἀπαγγέλλει. οὐδὲ γὰρ αὐτὸς, ὅ ἐστιν ὁ Θεὸς, ἰδεῖν ἠδυνήθη, ἀλλὰ σχήματι θέντα αὐτὸν θεωρᾷ, καὶ τοσοῦτον καταβάντα, ὅσον δυνατὸν ἦν τοῦ θεωρητοῦ ἀθέατα ἐκφῆναι. ὅτι γὰρ οὐ γυμνὴν εἶδε τὴν θεότητα, οὔτε αὐτὸς, οὔτε ἄλλος οὐδεὶς, ἀπ' αὐτῶν, ὧν ἀπαγγέλλουσιν, εὐδήλων. εἶδον γάρ, φησι, τὸν Κύριον καθήμενον. Θεὸς ἦν οὐ καθήμενος. σχήματι γὰρ ὁ σχηματισμός. καὶ οὐχ ἁπλῶς καθήμενον, ἀλλ' ὑπὲρ θρόνου. Θεὸς ἦν ὁ προεκτεινόμενος. πῶς γὰρ ὁ πάντα χωροῦν, καὶ τὰ πάντα πληρῶν, οὐ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς; ὅθεν δῆλον ὅτι συγ-

Ιωα. ιβ.

Ιωα. μ.

Εξοδ. κγ.

κατάβασις

καταβασις ἰῶ τὸ ὁρώμενον. οὕτω γοῦν ἕτερος προφήτης ἀντιβόμενος ἔλεγεν· οὐκ προσώπου τοῦ Θεοῦ, Ἐγὼ ὁράσεις ἐπληθυνα, τουτέστι, διαφόρους ὤφθην. Εἰ γὰρ αὐτὴ ἡ ὑσία γυμνὴ ἐφαίνετο, οὐκ ἂν διαφόρως ἐφάνη. Ἀλλ' ὅτι δι' ὧν καταβαίνων, νῦν μὲν τούτῳ τῷ ζώῳ, νῦν δὲ ἑτέρῳ τοῖς προφήταις ἑαυτὸν ἐδείκνυε, καταλλήλως τοῖς ὑποκειμένοις χαρακτῆρας σχηματίζων τοὺς ὄψεις, διὰ τοῦτό φησιν, ὁράσεις ἐπληθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. οὐχ, ὥσπερ ἡμεῖς, ἐφάνην, φησίν, ἀλλ' ὡμοιώθην προὸς ὃ δὴ ἰδεῖν ἠδυνάμην ἀνθρωπίνως. ὁρᾷς γοῦν αὐτὸν νῦν μὲν καθήμενον, νῦν δὲ ὡπλισμένον, νῦν δὲ τείχη πολιὰν ἔχοντα, νῦν δὲ ἐν ἄυρᾳ, νῦν δὲ ἐν πυρί, νῦν δὲ οὐκ ἂν ὀπιαθίων φαινόμενον, νῦν δὲ ὅτι τῷ χερουβὶμ, καὶ παρὸς μείναμεν ὑλῶν λαμπρότητα τὰ διαφανεστάτων τῶν ὄψει ἐξεικονιζόμενον. Ἵνος μὲν οὖν ἕνεκεν νῦν μὲν ὡπλισμένος φαίνεται καὶ ἡμαγμένος, νῦν δὲ ἐν πυρί, νῦν δὲ καὶ ὀπιαθια δεικνύς, νῦν δὲ ἐν ἀέρι νέφει, νῦν δὲ ἐν θρόνῳ, νῦν δὲ ὅτι τὰ χερουβὶμ, ἀ τοῦ πρώτου δὴ ἐστὶν λέγειν καιρὸν, ὥστε μὴ τὸ πρέπον τῷ ἔργῳ ἡδέσθαι μεῖζον· τέως δὲ ἀναγκαῖον ἐστὶ τῆς προὐσης ὄψεως διαλεχθῆναι. Ἵνος οὖν ἕνεκεν οὕτω φαίνεται νῦν ὅτι θεοῦ καθήμενος, καὶ μὴ τῶν σεραφὶμ; ἀεὶ πτηνὸν ἔδος μιμεῖται, ὅπερ καὶ προὸς ἀνθρώπους ἰῶ ὁ λόγος αὐτῷ. ὅπερ γὰρ ἀποφαίνει σκέφρειν μέλλει, ὑπὲρ μὲν ἄλλων προαγμάτων καὶ τῆς οἰκουμενικῆς ἀπάσης, ἔτι δὲ καὶ τῶν Ἱεροσολύμων, καὶ διπλοῦν λιθοι ψῆφον, τοῦ μὲν κόλασιν τῇ πόλει φέρουσαν ἐκ τοῦ ἔθνει πάντι, τοῦ δὲ εὐεργεσίαν τῇ οἰκουμένῃ, καὶ μεγάλας ἐπαγγελλομένου ἐλπίδας καὶ ζωὰς ἀθανάτους ἔθος δὲ τοῖς διδάζουσι ζοῦτα ποιεῖν μὴ λάθρα, ἀλλ' ἐφ' ὑψηλοῦ τοῦ βήματος καθημένους, πρέσωπον ἀπόντων, καὶ τῶν προπεπαμένων ζωντελουμένων τοῦτο ποιεῖ· τούτους καὶ αὐτὸς μιμούμενος, πρέσκεισεν αὐτῷ τὰ σεραφὶμ, καὶ ἐφ' ὑψηλοῦ καθῆται θεοῦ, καὶ οὕτω τοῦ ἀποφαίνειν ζαύτην σκέφρει. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀναμφία ὁ προὸς ἄγγελα, ἀλλὰ τοῦτο ἔθος αὐτῷ, καὶ ἐξ ἑτέρου προφήτου τοῦτο πειράσομαι ποιῆσαι φανερόν. καὶ γὰρ ἐπὶ τοῦ Δανιὴλ, ὅπερ καὶ σκῆφον ἵνα μεγάλων σκέφρειν ἔμελλε προὸς κολάσεων καὶ ἡμερείαν Ἰουδαίοις, καὶ τῶν ἀγαθῶν τῶν μελλόντων τῇ οἰκουμένῃ δίδοσθαι, καθέζεται θεὸς φαίνεται λαμπρὸς καὶ φειδαπὴς, καὶ δῆμος ἀγγέλων πρεσπικὸς, καὶ ἔθνη ἐξαπτέλων, καὶ ὁ μονογλυπὴς συγκαθήμενος, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμοὶ πυρὸς ἕλκονται, καὶ πολύτροπον χῆμα δικαστηρίου ζωιζεται. καὶ ἔστι καὶ ἕτερα συγγενῆ τοῖς ἐν ζωῇ λεγομένοις ἄπτυστα, ἃ καὶ σαφέστερον σκῆνος αὐτὰ ἀπαγγέλλει, ἅτε τῶν χρόνων ἐγγύτερον γινομένων, καὶ προὸς αὐτὰ λοιπὸν τὰ ὄμματα τῆς προφητείας ἀφικνουμένης. ἀλλὰ ζωῦτα τοῖς φιλοπόνοις ἀφέντες ζωαγαγεῖν καὶ διδασκάλοις, ἐκ τοῦ ἑκατέρας τῆς προφητείας κοινωνίαν καταμανθάνειν, ὅπερ ἔφην, τῆς προκειμένης ἡμεῖς ἀφώμεθα μετ' ἀκριβείας, ὡς δὴ οἱόντε ἦ, ῥᾴστην ἐκάστῳ δέκην ὑμνοῦντες. οὕτω γὰρ ἐκ ἡμῶν καὶ ὑμῶν σαφέστερα ἔσται τὰ εἰρημένα. Τί οὖν φησιν; Εἶδε Κύριον καθήμενον. τὸ καθῆσθαι ὅτι θεοῦ, σύμβολον ἀεὶ κρίσεώς ἐστιν, ὥσπερ ὁ Δαβὶδ φησιν, Ἐκάθισας ὅτι θεὸς ὁ κρίνων δικαιοσύνην· καὶ ὁ Δανιὴλ, Θεοὶ ἐτέθησαν, καὶ κριτήριον ἐκάθισε. Τὸ δὲ ἁπλῶς καθῆσθαι, ἑτέρου σύμβολον εἶναί φησιν ὁ προφήτης. τίνος δὴ τοῦτο; τοῦ παγίου, τοῦ μονίμου, τοῦ βεβηκότος, τοῦ ἀτρέπτου, τοῦ ἀτελευτήτου, τῆς ζωῆς τῆς ἀπεράντου. διὰ τοῦτό φησι· σὺ καθήμενος * τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα. σύ, φησι, μένων, ὢν, ζῶν, ἀεὶ ὡσαύτως ὤν. ὅτι γὰρ οὐ προὸς ὑδρας ἔλεγεν, ἢ διὰ τί διαστολὴ δῆλον ἐποίησεν. οὐ γὰρ εἶπεν, ἡμεῖς ἐσόμεθα, ἀλλὰ ἀπολλύμεθα. Τὸ δὲ ὅτι θεοῦ καθῆσθαι, τὸ κρίνειν δηλοῖ. διὰ τοῦτο αὐτὸν ὅπως ὁρᾷς καθήμενον ὅτι θεοῦ ὑψηλοῦ καὶ ἐπηρμένου. ἢ ἕτερον μὲν τοῦτο, ἕτερον δὲ σκῆνος ἀμφίπεται. καὶ γὰρ ὑψηλὸς ἰῶ ὁ θεός, τουτέστι, μέγας καὶ ὑπερ-

Ωσ. ιβ΄ ι.

Ψαλμ. θ. δ. Δαν. ζ. θ.

ις΄.

ὑπερμήκης· ⁊ ἐπηρμένος, τουτέστι καὶ ὑψηλὸς φαινόμενος ἀφάτῳ, ⁊ μετεώρως.

Καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ.

Ποῖος οἶκος, εἰπέ μοι; ὁ ναός. ὅπου γὰρ σκηνὴ καὶ ἔδρα, εἰκότως ⁊ ἐν τῇ ὑψηλῇ τῇ θαυμασίᾳ ταύτῃ σκηνῇ καθήμενος φαίνεται. δόξαν δ' ἐν ταῦθά φησι λαμπρότητα, φῶς ἀπόρρητον, ὃν ἐρμηνεύσαι τῷ λόγῳ μὴ δυνάμενος, δόξαν σκάλεστε, καὶ οὐχ ἁπλῶς δόξαν, ἀλλὰ Θεοῦ δόξαν.

2 Καὶ σεραφὶμ ἑστήκεισαν κύκλῳ αὐτοῦ. Τίνα λέγει ταῦτα τὰ σεραφίμ; δυνάμεις" ἀσώματοι τῷ ἄνω δήμων, ὧν τὴν ἀρετὴν καὶ τὴν μακαριότητα ⁊ ἀπὸ τῆς προσηγορίας ὅδε ἰδοῖ. τῇ γὰρ Ἑβραίων γλώττῃ ἔμπυρα σώματα ἑρμηνεύεται τὰ σεραφίμ. Τί οὖν σκ τούτου μανθάνομεν; ὃ καθαρὸν τῆς οὐσίας, ὃ ἀγχυπτον, ὃ διεγηγερμένον, ὃ χορηγόν, ὃ ἐνεργητικόν, ὃ ἀκηλίδωτον. οὕτω γοῦν καὶ ὁ προφήτης Δαβὶδ τῶν ἄνω δυνάμεων τὴν ἀποδοτικὴν ἁγιοποίαν βουλόμενος ἡμῖν ἐνδείξασθαι, καὶ ὃ ταχὺ τῆς ὑπηρεσίας καὶ σφοδρὰ ἐνεργὲς ἔλεγεν, Ο ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, ὃ ταχύ, ὃ καυστικόν, ὃ δραστήριον ἡμῖν δηλοῖ τῶν τοιχείων τούτων ἐνδεικνύμενος. διαὸτα καὶ αἱ δυνάμεις αὗται, καθαρᾶς τοῖς σώμασιν ἀνυμνοῦσαι Ⓦ δεσπότην, ἔργον τοῦτο ἔχουσαι διὰπαντὸς, ἀοφθαλμίας ἀναφέρουσαι, λειτουργίαν ἀδιάλειπτον. δείκνυσι γοῦν αὐτῶν τὸ ἀξίωμα καὶ τὸ πλησίον εἶ τοῦ θρόνου. καθάπερ γὰρ ὅτι τῶν βασιλέων τῶν ὅτι γῆς ⓐ ἐν μείζοσιν ἀξιώμασιν ὄντες, πρὸ αὐτοῦ ἑστήκασι Ⓦ θρόνου Ⓦ βασιλικοῦ· οὕτω δὴ καὶ αὗται αἱ δυνάμεις δηλοῖ τὴν ὑπερβάλλουσαν ἀρετὴν, τὸ ἄνω θρόνου κυκλοῦσι, τῆς ἀπορρήτου μακαριότητος ἀπολαύουσαι διηνεκῶς, καὶ ἐντευφοῦσαι τῇ μακαρίᾳ λήξει τῆς λειτουργίας ταύτης. Ψαλ. ργ. ϐ. Ἑβρ. α ζ.

Ἐξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τοὺς πόδας ἑαυτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, καὶ ταῖς δυσὶν ἐπετώντο.

3 Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Τί βούλεται ἡμῖν ταῦτα τὰ πρόσωπα, καὶ τί ἀνίτυπον ἡμῖν αἱ πτέρυγες; οὐ γὰρ δὴ πρόσωπα ὅτι ταῖς ἀσωμάτοις δυνάμεις ἐκείνας. ἀλλὰ πάλιν ὑπὸ παχυτέρων ῥημάτων ἀπορρήτά τινα ἡμῖν ὁ προφήτης ὑποδηλοῖ, συγκαταβαίνων μὲν τῇ ἀσθενείᾳ τῶν τότε ἀκροωμένων, ὅμως δὲ καὶ ὑπὸ τῆς συγκαταβάσεως πᾶσαν ὑπόνοιαν ἀναβαίνων, καὶ νοήματα μὴ ἀκριβείας ἡμῖν ἐνδεικνύμενος. Ἰδοὺ αἰνίττονται αἱ πτέρυγες; Τὸ ὑψηλὸν καὶ μεπάρσιον τῶν δυνάμεων τούτων. οὕτω καὶ ὁ Γαβριὴλ πετόμενος, καὶ σκ τῶν ὑπερανῶν καταβαίνων φαίνεται, ἵνα μάθῃς τὸ ταχὺ ⁊ κοῦφον. καὶ εἰ θαυμάζεις, εἰ ὅτι τῶν λειτουργικῶν δυνάμεων ταύτας ταῖς λέξεσι κέχρηται, ὅπουγε καὶ ἐπ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ οὐ πεφείσαντο τοιούτοις μεταχειρίσασθαι τοῖς συγκαταβάσεσιν; βουλόμενος γὰρ αὐτοῦ δεῖξαι καὶ τὸ ἀσώματον, καὶ τὸ ταχὺ ⁊ πανταχοῦ παρουσίας, φησὶν ὁ Δαβίδ· Ο περιπατῶν ὅτι πτερύγων ἀνέμων. καίτοιγε οὔτε ἄνεμοι πτέρυγας ἔχουσιν, οὔτε αὖθις ὅτι πτερύγων περιπατεῖ. πῶς γὰρ, ὁ πανταχοῦ παρών; ἀλλ', ὅπερ ἔφθιεν εἶπον, τῇ ἀσθενείᾳ ⁊ ἀκουόντων συγκαταβαίνων, ἀπὸ ⁊ ἐγχωρούντων ὑπῆγεν αὐτοῦ τὸν λόγον καὶ πάλιν τὸν βοηθεῖν αὐτοῦ βουλόμενος, καὶ τὸν σκ ταύτης ἀσφάλειαν ἐνδείξασθαι, ταῖς αὐταῖς κέχρηται λέξεσιν, οὕτω λέγων· Εν σκέπῃ ⁊ πτερύγων σου σκεπάσεις με. ἐνταῦθα μήποτε οὐ ὃ μεπάρσιον καὶ κοῦφον ἡμῖν αἰνίττεται μόνον ὁ προφήτης διὰ τῶν πτερύγων τούτων, ἀλλὰ καὶ ἕτερόν τι φειδωλές. δείκνυσι γὰρ, ὅτι εἰ καὶ συγκαταβασις ἐστὶ ὃ ὁρώμενον, ὥσπερ ἔστιν καὶ ἔστι, ἐνδεὲς αἱ ἄνω δυνάμεις πρὸς τὸ μέγεθος τοῦτο χωρῆσαι ἠδύναντο. ὃ γὰρ καλύπτειν τοὺς πόδας, ⁊ καλύπτειν τὰ νῶτα, σκπλητ-

ἴσ. ἀσωμάτως

ψαλμ. ριζ. ϐ.

ψαλμ. ιε. ι.

τομένων

τολμῶν ἰῶ, τεμουσῶν τ᾽ ἀγραπτίω, ὑ φερουσῶν τ᾽ ἀπὸ τ᾽ ὄρους πηδῶς ἀγραπτὴν ὀξὺ τῦτο καθάπερ τινὶ τειχίῳ, τῇ τ᾽ περύγων τροβολῇ ζωωσκίαζον ταῖς ἑαυτ᾽ ὄψις. ὑ ὥσ ἡμεῖς πάλαι εἰώθαμεν, ἢ βρεντῶν καταῤῥηγνυμένων, ἢ ἀγραπτῶν φαινομένων, ὅτι ὃ ἔδαφος κλπόμενοι, τῦτο δὴ ἐ σκίαν ἔπαθον. Εἰ γὰ τὰ στεφάνια, αἱ μεγάλαι ὑ ἀμαθεῖς δυνάμεις σκίαν, Θεὸν καὶ ἄνθρωπον, ὑ ὅτι ἀόρατος ὑκ ἠδυνήθησαν, ἀλλὰ ὑ ταῖς ὄψεσι ὑ τῶν ποδῶν σκάλυπτον, ὡς δῶ τραχήσατε λόγος τὸν μαθητὴν τ᾽ αὐτὸν Θεὸν εἰδέναι σαφῶς λεγόντων, ὑ τῶν ἀκηκοότων σκείνων τρεπεργαζομένων ὑσίαν; ταῖς δυσὶν ἐπέτηντο, ὑ σκέπασιν. ἵ ποτέ ὄντι τῦτο, ὃ ἐπέτηντο, ὑ τί τραπεμαῖναι βούλεται; ὅτι διηνεκῶς τρεῖ Θεός εἰσι, ὑ πρ᾽ αὐτ᾽ σὺκ ἀφίσανται, ἀλλ᾽ αὐτὴ αὐτῆς ἡ πολιτεία, τὸ διηνεκῶς εἰς αὐτὸν ἀεῖν, ὃ τραπτὸς βλέπειν Θεὸν ποιήσαντα. οὐ γὰ εἶπεν, σκέπασαι, ἀλλ᾽ σκέπασον, τῦτέστι διηνεκῶς τῦτο ἔργον ἔχυσιν ἕτερος τρεὸς τ᾽ ἕτερον. ὑ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος. τῦτο τὸν πεπαρμένον αὐτῶν συμφωνίαν δηλοῖ, ἐ τὸν μὴ πολλῆς ὁμονοίας βλέπειν. ἔστ᾽ ὁ ὕμνος σὺκ βλέπειν μόνον ὄντι, ἀλλὰ ὑ τρεφητεία τῶν καταληφομένων τὸν οἰκουμένην ἀγαθῶν, ὑ δογμάτων ἀκρίβεια. Ἵνος γὰ ἔνεκεν, σὺκ εἶπον ἅπαξ, ἐ ἐσίγησαν, σὐδὲ δεύτερον, ὑ ἔστησαν, σὐδὲ τρίτον, ὑ τρεστέθηκαν; σὺκ δῆλον, ὅτι τῇ τραιδὶ τὸν ὕμνον ἀναφέρουσα τῦτο ἐποίουν; ὅμ. τοι τῦτο ὁ μὲ Ἰωάννης τρεῖ τῦ γού φησιν Εἰρηναῖος, ὁ γὰ Λουκᾶς τρεῖ τῦ πνεύματος, ὁ γὰ τρεφήτης τρεῖ τῦ πατρός. ὑ τὰ ἑξῆς γὰ ταύτην ἡμῖν ἐμφαίνει τὴν ἔννοιαν. μὴ γὰ τὸν ὕμνον ἐπήγαγεν· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτῦ. ὅπερ ἰῶ τρεφητείας ἀκριβοῦς, τὸν μέλλουσαν γνῶσιν τροαναφωνοῦσι, δι᾽ ἧς ἡ οἰκουμένη τῆς δόξης σκεπλήσθη τῦ Θεοῦ. ὡς ὄντε παλαιοὶ, ὑ νῦνὶ ταῦτα ἐλέγετο, οὐ μόνον τὸ λοιπὸν τῆς οἰκουμένης μέρος, ἀλλὰ ὑ αὐτὴ τῆς Ἰουδαίας ἡ χώρα πολλῆς ἀσεβείας ἰῶ ἐμπεπλησμένη, ἐ σὐδεὶς σὐδαμοῦ τὸν Θεὸν ἐδόξαζε. ὑ μάρτυς αὐτὸς ὁ τρεφήτης λέγων, Ὅτι δι᾽ ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. πότε σῦν πλήρης ἐγένετο ἡ γῆ τῆς δόξης αὐτῦ; ὅτε ὁ ὕμνος σῶῖ εἰς τὸν γλῶ κατῆλθε, ἐ συγχορεύται τ᾽ ἄνω δυνάμεων ἀ κάτω γενόμενον σῶῖ θεσπεσι, ὑ μίαν τὴν μαγῳδίαν αὐτὴν ἠγάγετο, ὑ κοινὸν τὸν βλέπειν ἐποιήσαντο. Εἰ γὰ δύναιτο τῖ τρεὸς ταῦτα Ἰουδαῖος, δειξάτω, πότε πᾶσα ἡ γῆ τῆς δόξης αὐτῦ πλήρης ἐγένετο, ταύτης τ᾽ ἀπὸ τ᾽ γνώσεως; ἀλλ᾽ σὺκ ἂν ἔχοι δεῖξαι, κἂν μυριάκις ἀναισχυντῇ.

Ps. 8. xδ.

4 Καὶ ἐπήρθη ὁ ὑπερθυρον ἀπὸ τῆς φωνῆς, ἧς σκέπασον.

Εἶδες τρεφητείας εὐκολίαν, τὰ τρεάγματα ἀλλήλων ἐχόμενα. μὴ γὰρ τ᾽ ὕμνον ὕστον, ὑ ὁ πληρωθῆναι τὸν γλῶ τῆς δόξης αὐτῦ, ἐπαύσαντο τὰ Ἰουδαϊκὰ ἄσματα, ὅπερ ὑ αὐτὸ δηλ᾽ τ᾽ ἐπῳδὴν θῆναι ὁ ὑπερθυρον ἐδήλωσεν. ἐρημώσεως γὰ τύπῳ ὁ σημεῖον ἰῶ, ὑ διὰ ζωῆς τ᾽ ναοῦ. τοῦ ναοῦ γὰ ἀφανισθέντος, καὶ τἆλλα κατελύοντο πάντα. ὑ ἵνα μάθῃς, ὅτι ἡ καινὴ τὸν παλαιὸν ἔπαυσεν, ἀπὸ τῆς φωνῆς, φησι, ἐπήρθη ὁ ὑπερθυρον· τῦτέστιν ἀπὸ τ᾽ τρεσληφθῆναι τὸν δοξολογίαν ταύτην, ὑ λαμφαι τὸν χάριν, ὑ τὸν δόξαν σκιρθῆναι πάντα χορ᾽ τῆς οἰκουμένης, τὰ τῆς σκιᾶς σκποδὼν γέγονε.

Καὶ ὁ οἶκος σκεπλήσθη καπνοῦ. Ἐμοὶ καὶ τοῦτο δοκῇ σημεῖον εἶ τῆς ἁλώσεως τῆς αὐτῶν καταληφομένης, ὑ τ᾽ βαρβαρικὸν πυρὸς, καὶ τὸν χαλεπωτάτην ἐμπρησμόν.

5 Καὶ εἶπον· ὤ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἀνὴρ ὤν, ὑ ἀκάθαρτα χείλη ἔχων, ὑ ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· ὑ τὸν Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Ἐξέπληξε τρεφήτην ἡ ὄψις, ὅμ᾽ ἐνέσησεν, εἰς πολὺ

πολιτῶν φόβον ἐνέβαλε, τοὺς ἐξομολογήσει σκέπτεσθαι, ἀκριβέστερον τὴν οὐτέλειαν τῆς οἰκείας οὐσίας ὑπογνῶναι προσκύσασα. Τοιοῦτοι γὰρ οἱ ἅγιοι πάντες· ἐπειδὰν μείζονος ἀπολαύσωσι λαμπῆς, τότε ταπεινοῦνται μείζονας. οὕτω καὶ ὁ Αβραὰμ τῷ Θεῷ προσαλεγόμενος, γῆν καὶ σποδὸν ἑαυτὸν καλεῖ· οὕτω καὶ Παῦλος, ὅτε τῆς ὄψεως ἐκείνης κατηξιώθη, τότε ἔκτρωμα ἑαυτὸν ἐνόμισεν· οὕτω δὴ καὶ ὧδε ταπεινοῖ ἑαυτὸν, τοσοῦτον ἀπὸ τῆς φύσεως, λέγων· ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἀνδρὸς ὢν. Εἶτα ἀπὸ τῆς γνώμης, ὧδε ἀκαθάρτοις χείλη ἔχων. ἀκαθάρτα αὐτοῦ τὰ χείλη ἐκάλεσεν, ὡς ἔγωγε οἶμαι, τοὺς τῶν ἀγγέλων τὰ ἐμπύρων σωμάτων ἐκείνων, τῶν καθαρῶν δυνάμεων, τῆς ἀκριβεστάτης λειτουργίας ἐκείνης. καὶ οὐδὲ ἐν τούτοις ἔστη, ἀλλὰ καὶ ἐπὶ τοῦ λαοῦ πάντος ἐξομολογεῖται, ἐπάγων καὶ λέγων, ὅτι μέσῳ λαοῦ ἀκαθάρτα χείλη ἐχόντος ἐγὼ οἰκῶ. καὶ τίνος ἕνεκεν χείλη ὧδε τούτους αἰτιᾶται; ὁ ἀκριβῶς οἶδε φανερῶν. ἐπεὶ καὶ παῖδες τῆς τοῦτο αὐτὸ ἔλεγον ἀεὶ ὧδε τῇ καμίνῳ ὄντες· οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. καὶ πῶς, ὅπου ὑμνῳδίας ἦν χορὸς καὶ εὐφημίας, καὶ τοὺς ἄνω δυνάμεις ἑωρᾶτο τοῦτο ποιούσας, εἰκότως ὅτι τὰ χείλη τρέπει λέγει, τὰ μάλιστα τοὺς τῶν τοιούτων ἀγγελικῶν καλοῦμεν. ἀλλὰ τοὺς μὲν αὐτοῦ διὰ τοῦτο ἀκαθάρτα καλεῖ, τὰ δὲ τοῦ λαοῦ οὐχ οὕτως, ἀλλ' ὅτι πολλῆς ἀνομίας ἦσαν ἐμπεπλησμένοι. Εἶδον τὸν βασιλέα Κύριον εἶδον τοῖς ὀφθαλμοῖς μου. ἀγαθὸν τέως καὶ θρῆνος, φησὶν, ὅτι τοσοῦτος ἠξιώθην ἁμαρτίας ἄξιος ὤν, ὑπερβαινούσης μου τὴν ἀξίαν, ἀναβεβηκυίας μου τὴν φύσιν. ὅταν γὰρ λέγῃ, εἶδον, μὴ τὴν ἀκρίβειαν κατανοήσῃς νόμιζε, ἀλλὰ τὴν αὐτοῦ δυνατόν. ἐκ σκέψει, πόσον τῆς ἐξομολογήσεως ὁ κέρδος. κατηγόρησεν ἑαυτοῦ, καὶ βύθιος ἐκαθάρθη. ὅπου γὰρ ταῦτα εἶπε τὰ ῥήματα,

6 Ἀπεστάλη πρὸς μέ, φησὶν, ἓν τῶν σεραφὶμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου.

7 Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν, ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαιρεῖ. Τινὲς μὲν τῶν μυστηρίων τὰ μελλόντων σύμβολα ταῦτα εἶναί φασι, τὸ θυσιαστήριον, τὸ πῦρ τὸ ὑπερκείμενον, τὸ ἁρπαγησόμενον δυνάμει, τὸ ἐν τῷ στόματι δίδοσθαι, τὸ καθαίρειν τὰ ἁμαρτήματα. ἡμεῖς δὲ τέως τῆς ἱστορίας ἐχόμεθα, καὶ λέγομεν, ὅτινος ἕνεκεν τοῦτο γέγονεν). μέλλει πέμπεσθαι πρὸς ἡμᾶς τὸν Ἰουδαϊκὸν, φοβερὰ ἅπαντα καὶ ἀφορητα. πέμπεται τοίνυν τὰ σεραφὶμ, ὥστε φόβου καὶ πληρώσεως αὐτὸν ἐμπλῆσαι. καὶ ἵνα μὴ προσκάλλῃ), καθάπερ Μωϋσῆς, λέγων ἰσχνόφωνος εἰμὶ), καὶ Ἱερεμίας, νεώτερος εἰμὶ), οὕτω καὶ οὗτος ἀκάθαρτα χείλη ἔχειν καὶ μὴ δυνάσθαι ἀφθόγγως τοῖς λεγομένοις, ἔρχεται τὰ σεραφὶμ ἐκκαθαίροντα αὐτοῦ τὰ ἁμαρτήματα, οὐκ οἰκείᾳ δυνάμει (τοῦτο γὰρ παρὸς καὶ γοῦ καὶ ἀγίου πνεύματος μόνου) ἀλλ' ὑπαγόμενα καὶ δόσει τῶν ἀνθράκων. ὃ γὰρ εἶπεν, ἰδοὺ ἀφαιρεῖ ἐγώ· ἀλλ' ἰδοὺ τοῦτο ἀφαιρεῖται τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαιρεῖ δηλοῖ τὸ ὑπόταγμα τοῦ πέμψαντος. Τίνος ἕνεκεν ἐν τῇ λαβίδι τὰ σεραφὶμ ἔλαβε τὸν ἄνθρακα; ὃ γὰρ δὴ ἡ ἀσώματος δύναμις ἐγκαταναλίσκεσθαι ἔμελλεν ὑπὸ τῶν ἀνθράκων. Τίνος ἕνεκεν ταῦτα γέγονεν); δηλοῖ πολλὴν συγκατάβασιν. Διὰ δὴ τοῦτο ἐκ τοῦ θυσιαστηρίου λαμβάνει, ἵνα αἱ θυσίαι προσφέρωνται, καὶ καθαρμοὶ τῶν ἁμαρτημάτων. Εἰ γὰρ λέγοις, πῶς τὸ στόμα ἁπτικὸν τοῦ προφήτου; μάλιστα μὲν οὖν πῦρ ἀόρατον ἐν τοῖς φαινομένοις· ἄλλως γὰρ ὅταν ὁ Θεὸς ἐργάζηταί τι, μὴ πολυπραγμόνει, μηδὲ περιεργάζου. καὶ γὰρ ἐνεργοῦν ἐκ ἀόρατον πῦρ σώματον ὁμιλῆσαι, τὰ δὲ πυρὸς οὐκ ἐπιδείξατο. Εἰ δὲ ἔνθα καὶ μετάδεσις καὶ πίστα, τῆς οἰκείας ἐπελάθετο φύσεως ἡ φλὸξ,



Γεν. ιη. κ'.

ἰσ. ἐχώμεθα, ἰσ. λέγωμεν.

Βέο. γ. ἱερ. α.

ὶ θαυμάζεις, εἰ τῶ τοσαύτης παῤῥησίας γλωσσὰν ἐκέκτηντο, ἀλλ' οὐκ ἔχουσι τοῦτο τὸ πῦρ;

χ. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

χ. τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον· ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

χ. καὶ ἐπήρθη λέγων, Θεὸν οὐδεὶς ἑώρακε πώποτε. τί οὖν ἐρεῖ τῷ μεγαλοφωνοτάτῳ Ησαΐᾳ λέγοντι, Εἶδον Κύριον ὑψηλὸν καὶ ἐπηρμένον καθήμενον; καὶ ὁ Ἰωάννης

ὃ μάρτυρες ὧν τοῦτο αὐτῷ, ὃν ταῦτα εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ; τί δὲ ὁ Ἰεζεκιήλ; καὶ γὰρ καὶ αὐτὸς ὅτι τῶν χερουβὶμ καθήμενον αὐτὸν ὁρᾷ. διὰ δὲ τοῦ Δανιήλ; καὶ γάρ φησιν· ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο. διὰ δὲ καὶ αὐτῷ τῷ Μωϋσεῖ λέγωμεν, δόξον τὸν δόξαν σου, ὅπως γνωσῶ ἴδω σε; ὁ δὲ Ἰακὼβ καὶ ἀπὸ τούτου τὸν προφητεύειν ἔλαβεν, Ἰσραὴλ ὀνομασθείς. Ἰσραὴλ γάρ ὁ τὴν Θεὸν ὁρῶν ἐστι. καὶ ἕτεροι δὲ αὐτὸν ἑωράκασι. πῶς οὖν ὁ Ἰωάννης φησί, Θεὸν οὐδεὶς ἑώρακε πώποτε; δηλονότι ὅτι πρώτως ἐκφύσεως ἰδεῖν, οὐκ αὐτῆς τῆς οὐσίας γυμνῆς ὄψεως. εἰ γὰρ αὐτὸν ἑώρων τὸν φύσιν, οὐκ ἂν διαφόρως αὐτὸν ἐθεάσαντο. ἁπλῆ γὰρ ἦν καὶ ἀσχημάτιστος αὕτη καὶ ἀσώματος καὶ ἀπερίγραπτος· καὶ καθ' ὁμοίωσιν οὐδὲ ἔσχηκεν, οὐδὲ πεπόνθασι. ταῦτα γὰρ πρώτως σωμάτων. πῶς δὲ ἐστιν, αὐτὸς οἶδε μόνος. καὶ τοῦτο διὰ τοῦ προφήτου λέγει * ἔλεγε ἐμφανῶν· Ἐγὼ ὁράσεσιν ἐπληθύνθην, καὶ ἐν Ωσ. ιβ. ι.
χερσὶ προφητῶν ὡμοιώθην, τυπικῶς, συγκαταβαίνων· καὶ τοῦτο, ὅπερ ἤδη, ἐφαίνων. ὅτι γὰρ ἔμελλεν αὐτὸν ὁ υἱὸς δι' ἀληθείας φανήσεσθαι Χριστός, δῆλον ἦν καὶ τοῦ προεγύμναζεν ὁρᾶν τοῦ Θεοῦ τὴν οὐσίαν, ὡς αὐτοῖς δυνατὸν ἦν ἰδεῖν. ἐπεὶ αὖθις ὅπερ ἐστὶν ὁ Θεὸς οὐ μόνον προφῆται, ἀλλ' οὐδὲ ἄγγελοι εἶδον, οὔτε ἀρχάγγελοι. ἀλλ' ἐάν ἐρωτήσῃς αὐτούς, ἀκριβῶς προσεῖ μὴ τῆς οὐσίας οὐδὲν ἀποκρινομένους, δόξαν ἢ σὲ ὑψίστους ἀναπέμποντας τῷ Θεῷ, καὶ ὅτι γῆς ἐπιλάμπει, σὺ αἰθέριος βδοκιάζει καὶ πρὸ τῶν χερουβὶμ ἢ τῶν σεραφὶμ ἐπιθυμήσῃς μαθεῖν, τὸ μυστικὸν τοῦ ἁγιασμοῦ μέλος ἀκούσῃ, καὶ ὅλη πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. εἰ δὲ ἀνωτέρω δυνάμεις ὀφθείσης, οὐδὲν ἄλλο θρήσεις, ἢ ὅλη ἐν ἔργον αὐτοῖς ἐστι τὸ ἀνῦσαι τὸν Θεόν. Αἰνεῖτε γὰρ αὐτόν, φησι, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. μόνος δὲ ὁρᾷ αὐτὸν ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἡ γὰρ κτιστὴ φύσις ἅπασα πῶς καὶ ἰδεῖν δυνάται τὸν ἄκτιστον; εἰ γὰρ ἁπλῶς τῆς ποιασοῦν ἀσωμάτου δυνάμεως, καίτοιγε γλυπτῆς οὔσης, οὐ δυνάμεθα δέξασθαι θεωρίαν σαφῆ, καὶ τοῦτο πολλάκις ὅτι τῶν ἀγγέλων ἐδείχθη, πολλῷ μᾶλλον τῆς ἀσωμάτου καὶ ἀγλύπτου οὐσίας. διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· Ον εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται. ἆρ' οὖν τῷ πατρὶ μόνῳ τὸ ἀφαίρετον τοῦτο προσεστι, ᾧ ἢ ἐμῷ οὐκ ἔστι; ἀπατᾶ· ἀλλὰ καὶ ᾧ ἐμῷ·" ὅτι δὲ καὶ αὐτῷ, ἄκουε Παύλου τοῦτο δηλοῦντος καὶ λέγοντος, ὅτι εἰκὼν ἐστὶν οὗτος τοῦ Θεοῦ τοῦ ἀοράτου. εἰ δὲ τοῦ ἀοράτου εἰκών, καὶ αὐτὸς ἀόρατος· ἐπεὶ οὐκ ἂν εἴη εἰκών. "εἰ δὲ ἀλλαχοῦ φησι, Θεὸς ἐφανερώθη οὐ σαρκί, μὴ θαυμάσῃς· ὅτι ἡ φανέρωσις διὰ τῆς σαρκός, οὐ μέντοι καὶ τῆς οὐσίας γέγονεν. ἐπεὶ ὅτι καὶ αὐτὸς ἀόρατος, οὐ μόνον δὲ ἄνθρωποις, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσι, "δείκνυσιν ὁ Παῦλος· εἰπὼν γάρ, ὅτι ἐφανερώθη σαρκί, ἐπήγαγεν, ὅτι ὤφθη ἀγγέλοις. ὥστε καὶ τοῖς ἀγγέλοις τότε ὤφθη, ὅτε σὰρξ περιεβάλλετο· πρὸ τούτου δὲ οὐκ ἑώρων αὐτὸν ὕπως, ὅπερ καὶ αὐτοῖς ἀόρατος ἡ οὐσία ἐστίν. "καὶ πῶς, φησιν, ὁ Χριστὸς εἶπε, Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν Ματθ. ιη. ι.
διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς; τί οὖν, καὶ πρόσωπον ὁ Θεὸς ἔχει, καὶ ἐν οὐρανοῖς περιγράπτως; ἀλλ' οὐκ ἄν τις ὕπω μανείη, ὥστε ταῦτα εἰπεῖν. τί πρὸς οὖν ἐστὶ τὸ λεγόμενον; ὥσπερ ὅταν λέγῃ, Μακάριοι οἱ καθαροὶ τῇ Ματθ. ε. η.
καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, τὸν μὲν ἀφανοῦς ὄψιν φησὶ τὸν ἡμῖν δυνατὸν, καὶ τὸν ἔννοιαν τὸν περὶ Θεοῦ· ὕπω καὶ ὅτι τῶν ἀγγέλων σκληπτέον, ὅτι διὰ τὸν καθαρὸν αὐτῶν καὶ ἀγχυπνον φύσιν, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὸν Θεὸν ἀεὶ φαντάζονται. διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός. τί οὖν, πρώτης σὺν ἀγνοίας ἐσμέν; μὴ γένοιτο· ἀλλ' ὕπως ὑδεὶς οἶδεν, ὡς ὁ υἱός. ὥσπερ οὖν εἶδον αὐτὸν" πολλοὶ μὲν τὸν ἐγχωσθεῖσαν αὐγῆς ὄψιν, τὸν δὲ ὑσίαν οὐδεὶς ἐθεάσατο· ὕπως ἴσμεν πολλοὶ τὸν Θεόν, τὸν δὲ ὑσίαν οὐδεὶς οἶδεν, ὅ, τι ποτέ ἐστιν, εἰ μὴ μόνος ὁ γλυπτεὶς ἐξ αὐτοῦ. γνῶσιν μὲν οὖν ταῦτα, τὸν ἀκριβῆ λέγει θεωρίαν τε καὶ παλήψιν, καὶ τοσαύτην, ὅσην ὁ πατὴρ ἔχει πρὸς τὸν παῦ-

δός. καθὼς γὰρ γινώσκέ με ὁ πατήρ, κἀγὼ γινώσκω Ⓦ πατέρα. διὰ τί ὁ βαπτιστὴς ὅρα μᾶλλον ὅσης φιλοσοφίας τῆς " θεϊκῆς οὐσίας. Εἰ πὼν γὰρ, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, οὐκ εἶπεν, ὅτι ὁ υἱὸς ἰδὼν ἐξηγήσατο, ἀλλ' ἕτερόν τι πλέον τῆς ἰδεῖν ἔδωκεν, εἰπὼν, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. τοῦ γὰρ ἰδεῖν τὸ εἶναι τῷ κόλπῳ διαπαντὸς, πολλῷ πλέον ἐστίν. ὁ μὲν γὰρ ἁπλῶς ὁρῶν, ἢ πόθῳ ἀκριβεῖ τὸ φαινόμενον λαμβάνων ἔχει· ὁ δὲ τοῖς κόλποις διατελῶν, οὐδὲν ἀγνοήσειέ ποτε. " ἀκούων οὖν ὅτι οὐδεὶς γινώσκει Ⓦ πατέρα, εἰ μὴ ὁ υἱός, ἵνα " μὴ λέγῃς, ὅτι εἰ [ καὶ ] πλέον ἀπόντων οἶδε Ⓦ πατέρα, ἀλλ' ἀχ ὅσος ἐστὶν οἶδε· διὰ τοῦτο, ὅ τε βαπτιστὴς ἐν τῷ κόλπῳ αὐτὸν διαιτᾶσθαί φησι τοῦ πατρός, αὐτός τε ὁ Χριστὸς τοσοῦτον αὐτὸν εἰδέναι φησὶν, ὅσον ὁ πατὴρ Ⓦ υἱόν. ἐρώτησον οὖν τὸν ἀντιλέγοντα· ἄφες, εἰπέ, καὶ γινώσκει τὸν υἱὸν ὁ πατήρ; καὶ ἐρεῖ πόθεν, ἀν μὴ μάθῃ, ὅτι ναί. μὴ τοῦτο, καίτοι " ἐρώτα πάλιν τί ἦ, ἀκριβῆ τινα ὄψιν ἢ γνῶσιν αὐτὸν ὁρᾷ καὶ γινώσκει; καὶ τοῦτο ὅταν ἐστὶν οἶδε σαφῶς; πόθεν δὲ τοῦτο ἐρεῖ. " ἀπὸ δὲ τούτου λοιπὸν συνάγαγε τὴν ἀκριβῆ καὶ παλαιὰν. αὐτὸς γὰρ εἶπεν, Οὐχ ὡς γινώσκει με ὁ πατὴρ, οὕτω κἀγὼ αὐτὸν γινώσκω· καὶ ἀλλαχοῦ, οὐχ ὅτι Θεὸν ἵνα ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ. διὰ τοῦτο, ὅταν ἔφῃ, καὶ ὁ βαπτιστὴς τοῦ κόλπου μέμνηται, πόθεν ταῦτα διδάσκει τοῦ ἑνὸς ῥήματος τούτου ἡμῖν ἐμφαίνων, ὅτι πολλὴ τοῦ υἱοῦ ἡ συγγένεια καὶ ἡ ἑνότης, ὅτι ἀπαραλλακτος ἡ γνῶσις, ὅτι ἴσον ἡ δόξα. οὐ γὰρ " ἕτερόν ἐστιν ἐν τοῖς κόλποις αὐτοῦ ἔχειν ὁ πατήρ· ἀλλ' αὐτὸς ἐστὶν, δοῦλος ὢν καὶ τῶν πολλῶν εἷς, ἐν τῷ κόλπῳ " τοῦ ἑαυτοῦ. τοῦτο γὰρ υἱοῦ γνησίου μόνου, καὶ πολλῆς τῆς παῤῥησίας πρὸς τὸν πεπνυκότα χρωμένου, καὶ οὐδὲν ἔλαττον ἔχοντος. βούλει καὶ ὃ αἴδιον μαθεῖν; ἄκουσον τί φησιν ὁ Μωϋσῆς πρὸς τοὺς παῖδας. ἐρωτήσας γὰρ εἰ ἐρωτηθείη παρὰ τῶν Ἰουδαίων, τίς ὁ ἀπεσταλκώς αὐτὸν εἴη, " τί κελεύεται ἀποκρίνασθαι αὐτοῖς, ἤκουσεν· Εἰπὲ, ὁ ὢν ἀπέσταλκέ με. Ὁ ἦ, ὁ ὤν, τοῦ ἀεὶ εἶναι σημαντικόν ἐστι καὶ τοῦ ἀπαρχὴν εἶναι, καὶ τοῦ ὄντως εἶναι καὶ κυρίως. τοῦτο δὲ ὃ, ἐν ἀρχῇ ἦν, ἐμφαίνει, τοῦ ἀεὶ εἶναι δηλωτικόν ἐστι· τούτῳ ἦ καὶ ταῦτα κέχρηται φήσας ὁ Ἰωάννης, δεικνὺς ὅτι ἀπαρχὴν καὶ ἀϊδίως ἐν τῷ κόλπῳ τοῦ πατρός ἐστιν ὁ υἱός. ἵνα " γὰρ μὴ διὰ τὴν τοῦ ὀνόματος καινοτομίαν ἕνα τινὰ τῶν χαείλι γεγονότων υἱὸν εἶναι νομίσῃς αὐτὸν, πρόσθετον μὲν προσκεῖται ὁ ἀρ' ἑαυτοῦ, διορθοῖ δὲ αὐτὸν τῶν κτισμάτων. Εἰ δὲ μὴ τοῦτο ἀρκέσει, ἀλλ' ἔτι κἀτω κύπτῃς, τούτου καινοτέρου ἄκουε ὀνόματος, ὁ μονογενής. Εἰ δὲ καὶ μηδὲ τοῦτο πάλιν κἀτω βλέπεις, ἀ προσθήσομαι, φησὶ, καὶ αἰσθήσιν σοι ἀναῤῥήσειν εἰπὼν πρὸς ἃ Θεὸν, τὸ δὲ κόλπου λέγω, μόνον ἵνα μηδὲν ὑποπτεύσῃς ταπεινόν. Εἶδες φιλοσοφίαν καὶ ἡδεμονίαν διαπαντὸς; δύο ἄξια ῥήματα " θεοπρεπῶς εἶπεν ἑαυτῷ ὁ Θεός, ἵνα καὶ ἄπορον ἐκβάλῃς καὶ μέγα καὶ ὑψηλὸν ἐννοήσῃς καὶ σὺ κἀτω μηκέτι; εἰπέ γὰρ μοι. Υἱὸς ἔνεκεν ὁ κόλπος σοὶ δοκῶ προειλῆφθαι, τὸ παχὺ τοῦτο ὄνομα καὶ σαρκικόν; ἵνα σῶμα τὸν Θεὸν ὑποπτεύσωμεν; ἄπαγε, δαιμόνων φησὶ. Υἱὸς οὖν ἔνεκεν εἴρηται; Εἰ γὰρ μήτε ἡ γνησιότης τοῦ υἱοῦ προῖσαται διὰ τοῦτο, μήτε τὸ, μὴ σῶμα ἦ Ⓦ Θεοῦ, θεοπρεπῶς θεοσέβειαν τὸ ῥητὸν οὐδεμίαν χρείαν πληρῶν. Υἱὸς οὖν ἔνεκεν εἴρηται; ἐγὼ γὰρ ἀποκρίσομαί σοι τοῦτο πιθανόμενος. οὐκ ἐδήλωσεν, ὅτι διὰ οὐδὲν ἕτερον, ἀλλ' ἢ ἵνα ὑποπτεύσωμεν διὰ αὐτοῦ τὸ γνήσιον τοῦ μονογενοῦς, καὶ τὸ ζωαίδιον τοῦ πατρός; σκόπει ὁπόθεν ἐζήτησατο, φησι. Πῶς ἐζήτησατο; ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὅτι εἷς ἐστιν ὁ Θεός; ἀλλὰ τοῦτο μὲν καὶ ἀπὸ τῶν προφητῶν, καὶ Μωϋσῆς αὖθις καὶ κάτω βοᾷ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστί· καὶ ὁ Ησαΐας· Ἐμοῦ πρὸ ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεός, οὐδὲ μετ' ἐμὲ οὐκ " ἔσται. " τί οὖν πλέον ἐμάθομεν διὰ τοῦ υἱοῦ, ὡς ἐν τοῖς κόλποις ὄντος τοῖς πατρικοῖς; " τί διὰ τοῦ μονογενοῦς; πρῶτον μὲν καὶ αὐτὰ ταῦτα τῆς ἐνεργείας ἐστὶ τοῦ ἐκείνου ἐπειτα πολλῷ τρανοτέραν ἐδέξαμεθα τὴν διδασκαλίαν, διὰ ἐγνωμεν, Οτι πνεῦμα ὁ Θεὸς, καὶ δεῖ προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ ἔτι αὖθις τοῦτο, ὅτι Θεὸν ἰδεῖν ἀδύνατον· ὅτι οὐδεὶς αὐτὸν γινώσκει, εἰ μὴ ὁ υἱός· ὅτι πατὴρ ἐστὶ γνησίου μονογενοῦς.

χ. ἀκριβείας.
χ. ἵνα μὴ ἀκούσῃ ἴσα.
χ. μαθήσῃ.
χ. ἐρώμεθα.
χ. ἵνα δὲ τὰ συνεχῆ.
χ. τί ποτε δὲ καὶ ἡ ἀποκρίσις αὐτοῦ, καὶ ἐπὶ τοσοῦτον ἐκτείνεται.
χ. φήσιν.
χ. πάλιν.
χ. πῶς
χ. θεοπρεπῶς ἑαυτῷ λέγει
χ. ἔστι. χ. ἡμεῖς δὲ ὑπὲρ τοῦ ἐκείνου ἐπειτα πολλῷ τρανοτέραν ἐδέξαμεθα τὴν διδασκαλίαν, ἐν ἐγνωμεν, Οτι πνεῦμα ὁ Θεὸς, καὶ δεῖ προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· καὶ ἔτι αὖθις τοῦτο, ὅτι Θεὸν ἰδεῖν ἀδύνατον· ὅτι οὐδεὶς αὐτὸν γινώσκει, εἰ μὴ ὁ υἱός· ὅτι πατὴρ ἐστὶ γνησίου μονογενοῦς.

Ησ. μγ. α.
Ιωαν. ε. κζ.

γενοῦς.

γμους· καὶ τὰ ἄλλα ὅσα περὶ αὐτὸν διελέχθη. Ὃ δὲ ἐξηγήσατο, τὴν τεταπεινὴν καὶ σαφεστέραν διέκρινεν διδασκαλίαν, οὐ τοὺς Ιουδαίους μόνον, ἀλλὰ καὶ τοὺς ἅπασαν ἐποίησατο τὴν οἰκουμένην, καὶ κατώρθωσε. τοῖς μὲν γὰρ προφήταις οὐδεὶς Ιουδαῖος πώποτε προσεῖχον· τῷ δὲ μονογενεῖ υἱῷ τοῦ Θεοῦ πᾶσα ἡ οἰκουμένη καὶ ἐκρέμασε, καὶ ἐπείσθη. ἡ τοίνυν ἐξήγησις ἐν τούτοις τὸ σαφέστερον τῆς διδασκαλίας δηλοῖ· διὰ καὶ λόγος λέγεται, καὶ μεγάλης βουλῆς ἄγγελος.

Ἐπεὶ οὖν καὶ μείζονος καὶ τελειοτέρας κατηξιώθημεν τῆς διδασκαλίας, οὐκέτι δεῖ προφητῶν, ἀλλὰ διὰ τοῦ υἱοῦ λαλήσαντος ἡμῖν τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων, πολλῷ μείζονα καὶ ἀξίαν πολιτείαν ἐπιδειξώμεθα τῆς ἡμῶν. καὶ γὰρ ἄτοπον, αὐτὸν μὲν καταδεῆναι τοσούτου, ὡς μηκέτι δεῖσθαι τῶν δούλων ἡμῖν ἐθέλειν διαλέγεσθαι, ἀλλὰ δι' ἑαυτοῦ, ἡμᾶς δὲ τῶν προτέρων μηδὲν ἐπιδείξασθαι πλέον. σκιὰν μὲν οὖν, Μωϋσέα· ἡμᾶς δὲ Μωϋσέως ΗΘΙΚΟΝ
ΘΕΟΡΙΑ
δεσπότην διδάσκαλον ἔχομεν. Ταύτης οὖν τῆς τιμῆς ἀξίαν φιλοσοφίαν ἐπιδειξώμεθα, καὶ μηδὲν ἔχωμεν κοινὸν πρὸς τὴν γῆν. δεῖ γὰρ τοῦτο ἡμῖν ἀνώθεν ἐκ τῶν ὁρατῶν διδασκαλίαν ἐκόμισεν, ἵνα σκῆνος μεταχήσῃ τὴν δεῖνοιδη, ἵνα μιμηταὶ τοῦ διδασκάλου γενώμεθα καὶ δυνάμιν τὴν ἡμετέραν. πῶς δὲ ἔστι μιμεῖσθαι γένεσθαι Χριστοῦ; Εἰς τὸ κοινωφελὲς ἅπαντα πραγματευομένους, καὶ μὴ τὰ ἑαυτῶν ζητοῦντας. Καὶ γὰρ ὁ Χριστός, φησιν, Ρω. ιε. γ.
οὐκ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται, Ⓐ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ. μηδεὶς τοίνυν τὸ ἑαυτοῦ ζητείτω. οὕτω γάρ τις τὸ ἑαυτοῦ ζητῶν, δι' τοῦ τοῦ πλησίον σκοπῇ· καὶ γὰρ τὰ ἐκείνων ἡμέτερα· σῶμα ἐσμεν ἐν καὶ ἀλλήλων μέρη καὶ μέλη. μὴ τοίνυν ὡς διεσπασμένοι διακεώμεθα· μηδεὶς λεγέτω, ὁ δεῖνά μοι φίλος οὐκ ἔστιν, οὐδὲ συγγενής, οὐδὲ γείτων, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν· πῶς προσελθούσομεν; πῶς διαλέξομεν; Εἰ γὰρ καὶ μὴ συγγενὴς μηδὲ φίλος ἐστὶν, ἀλλ' ἀδελφός ἐστι τῆς αὐτῆς σοι μετέχων φύσεως, Ⓦ αὐτὸν ἔχων δεσπότην, ὁμόδουλος καὶ ὁμόσκηνος. ἐν γὰρ τῷ αὐτῷ γέγονε κόσμῳ. Εἰ δὲ τῆς πίστεως μετέχει τῆς αὐτῆς, ἰδοὺ σοι καὶ μέλος γέγονε. ποία γὰρ φιλία τοσαύτην ἔνωσιν ἐργάσασθαι δύναται δύο, ὅσην τῆς πίστεως ἡ συγγένεια; οὐ γὰρ ὅσον φίλους τοὺς φίλοις ἐπιδείκνυσθαι χρὴ τὴν ἑνότητα, τοσαύτην ἡμᾶς ἔχειν δεῖ τὴν πρὸς ἀλλήλους οἰκείωσιν· ἀλλ' ὅσον μέλος πρὸς μέλος. τοῦτο γὰρ τὸ βάθος τῆς φιλίας καὶ χείνωσίας ἀλλίως μείζονα οἰκείωσιν οὐκ δύναται τις εὑρεῖν ποτέ. ὥσπερ οὖν οὐκ δύναιο λέγειν, πόθεν μοι οἰκειότης καὶ ἑνότης πρὸς αὐτὸν (καταγέλαστον γὰρ τοῦτο) οὕτως οὐδὲ περὶ τῶν ἀδελφοὺ δυνήσῃ τοῦτο εἰπεῖν. Οἱ γὰρ πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, φησι." δεῖ δὴ εἰς a. Κορ. ιβ. γγ.
ἓν σῶμα; ὥστε μὴ διεσπάσθαι, ἀλλὰ τῇ πρὸς ἀλλήλους συνόδῳ καὶ φιλίᾳ, σώματος ἑνὸς ἀκολουθίαν δεικτέον. "μὴ δύναται καταφαγεῖν ὁ ὀφθαλμὸς τὴν χεῖρα, ἢ ἡ κεφαλὴ τοὺς πόδας." οὐδεὶς γὰρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐτήν. δεῖ δὴ καὶ τοὺς οἰκείους καὶ τὸν μίαν ἡμῖν τὸν κόσμον ἔδωκεν ὁ Θεός, πάντα δὲ ἴσα διένειμεν, ἵνα πᾶσιν ἥλιον, ἵνα ἐξέτεινεν ὄρεσφον, Ⓦ ὀρεινὸν, πέδιον αὐχένα τραπεζῶν, τὴν γῆν· ἔδωκε καὶ ἑτέραν ταύτης πολλῷ μείζονα τράπεζαν, ἀλλὰ καὶ ταύτην πέδιον (ἴσασιν Ⓐ συμμύσται τὸ λεγόμενον) ἵνα δεῖπνον ὑμνήσεως ἅπασιν ἐτοιμάσατο Ⓦ πνευματικὸν, μία πᾶσι πατεῖς ἡ ἐν τοῖς ὄρεσιν, οὐκ ἐν ποτηρίου τοῦ αὐτοῦ πάντες πίνομεν. ὁ τῷ μὲν πλουσιωτέρῳ καὶ ἡμιώτερον, τῷ πένητι δὲ τελεώτερον καὶ ἔλαττον ἐτοιμάσατο, ἀλλὰ πάντας ἐξίσης ἐκάλεσε. Τὰ ἐφήμερα ὁμοίως, τὰ πνευματικὰ ὁμοίως παρέσχε· πόθεν ἡ ἀνωμαλία πολλὴ καὶ τὸν βίον; οὐκ ἐκ τῶν τῶν πλουτούντων πλεονεξίας τε καὶ ἀλαζονείας. ἀλλὰ μή, ἀδελφοί, μηκέτι ταῦτα γινέσθω, μηδὲ τῶν καθολικῶν καὶ ἀνθρωπικωτέρων εἰς τὸ ἀνω συναγόντων ἡμᾶς, ἀπὸ τῶν γηίνων καὶ πρὸς τελῶν ἀφαιρώμεθα, πλοῦτον λέγω καὶ πενίας, καὶ συγγενείας σωματικῆς, καὶ ἕδρας καὶ φιλίας. Ταῦτα γὰρ πάντα σκιά, καὶ σκιᾶς ἀτελεστέρα, ἧς τοι σύνδεσμον ἔχουσι τῆς ἀγάπης ἄνωθεν.

τ῞τον οὖν φυλάττωμεν ἀρραγῆ, καὶ οὐδὲν ἐπεισελθεῖν δυνήσεται τῶν πονηρῶν καὶ βλασφήμων τῶν τοιούτων· τῶν πονηρῶν καὶ βλασφημιῶν τοιούτων· ἧς γένοιτο πάντας ἡμᾶς τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. χ. τῆς ἁγίας αὐτοῦ ἐκκλησίας

## Ομιλ. ιε'. 19 ΑΥΤΗ ΓΑΡ ΕΣΤΙΝ Η ΜΑΡΤΥΡΙΑ ΤΟΥ Ιωάννου, ὅτε ἀπέστειλαν πρὸς αὐτὸν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν, σὺ τίς εἶ.

Ἐπεὶ ἡ βασκανία, ἀγαπητὲ, δεινὸν καὶ ὀλέθριον τοῖς βασκαίνουσιν, οὐ τοῖς βασκαινομένοις. πρόσεστιν γὰρ αὐτοῖς λυμαίνεται καὶ διαφθείρει, καθάπερ ἰὸς τὸν θανατηφόρος, εἶτα διὰ πάντων αὐτῶν τὰς ψυχάς. Εἰ δέ που καὶ τοῦ φθονουμένου προσέβαλε, μικρὸν καὶ οὐδενὸς ἀξίαν βλάπτει, καὶ μείζονα τῆς ζημίας τὸ κέρδος ἔθυσαν. καὶ οὐκ ὀπὶ τῆς βασκανίας μόνον, ἀλλὰ καὶ ὀπὶ τῶν ἄλλων ἁπάντων, ὃν ὁ παθὼν κακῶς, ἀλλ' ὁ δράσας κακῶς, οὗτός ἐστιν ὁ τὸν βλαβέντα δοξάσας. οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν προσέταξεν ὁ Παῦλος τοῖς μαθηταῖς, Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε, λέγων· διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; οἶδε γὰρ ἀκριβῶς, ὃ τῷ πάσχοντι κακῶς, ἀλλὰ τῷ ποιοῦντι κακῶς, τὸν ὅλεθρον ἐπόμενον πάντα χρόνον. Ταῦτα δέ μοι πάντα διὰ τὴν βασκανίαν εἴρηται τὴν Ἰουδαϊκήν. οἱ γὰρ ἀπὸ τῶν πόλεων ἐκκλυστέντες πρὸς τὸν Ἰωάννην, καὶ τῶν ἁμαρτημάτων καταγνόντες τῶν οἰκείων, καὶ βαπτισάμενοι, ἀλλὰ μὴ τὸ βάπτισμα, καθάπερ ἐκ τινος μεταμελείας, πέμπουσιν ἐρωτῶντες αὐτὸν, σὺ τίς εἶ; ὅπως γνήσιμα τὰ ἐκείνων καὶ ὄφεις, καὶ εἴ τι τούτων χαλεπώτερον. γνῆσια ποιήσατε καὶ μοιχαλίς καὶ διεστραμμένη, μὴ βαπτίσασθαι, ὅτε τὸν βαπτίσαντα οὐ προσεργάζη καὶ πολυπραγμονεῖς; καὶ τί ταύτης τῆς ἀληθείας ἀληθέστερον γένοιτ' ἄν; πῶς ὄξιπτε; πῶς ὁμολογεῖσθε τὰ ἁμαρτήματα; πῶς ἐπετρέχετε τῷ βαπτίζοντι; πῶς αὐτὸν ἠρωτᾶτε περὶ τῶν προφητῶν; Ταῦτα γὰρ ὑμῖν ἄπρακτα ἀλήθως ἐπεφάνη, τοῦ ἔργου καὶ τῆς ὑποθέσεως ἀγνοοῦσιν. ἀλλ' οὐδὲν τούτων ἔλεγεν, οὐδὲ ἐνεκάλεσεν ὁ μακάριος Ἰωάννης, οὐδὲ ὠνείδισεν, ἀλλὰ μὴ ὑπειρχείας ἁπάσης ἀποκρίνεται πρὸς αὐτούς. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει, ἐκεῖνο μαθεῖν ἄξιον. ὥστε πᾶσιν αὐτῶν καταδηλον τοῦ κακουργήματος γέγεσθαι καὶ φανερόν. πολλάκις πρὸς Ἰουδαίους ἐμαρτύρησεν ὁ Ἰωάννης τῷ Χριστῷ, καὶ ὅτε ἐβάπτιζεν αὐτούς, συνεχῶς αὐτῶν πρὸς τοῦτον τὸν σκοπὸν ἐμέμνητο, καὶ ἔλεγε· ἐγὼ μὲν ὑμᾶς βαπτίζω ὕδατι, ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μού ἐστιν· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ἔπαθον * μὲν πρὸς αὐτὸν δυσμενέστερον πάθος. Εἰς γὰρ τὴν τοῦ κόσμου δόξαν ἐκπεπληγμένοι, καὶ * τὸ πρόσωπον βλέποντες, ἀνάξιον ἡγοῦμαι ἐνομίσθησαν αὐτὸν τῷ Χριστῷ. τὸν μὲν γὰρ Ἰωάννην πολλὰ τὰ διασκοποῦντα λαμπρὸν ἦν· καὶ πρόσωπον δὲ ἦν ἐπίσημον καὶ περιφανές. ἀρχιερέως γὰρ ἦν υἱός. ἔπειτα ἡ δίαιτα, καὶ ἡ σκληραγωγία, ἡ τῶν ἀνθρώπων πάντων ὑπερφυία. καὶ γὰρ ἐσθῆτος καὶ τραπέζης καὶ οἰκίας καὶ τροφῆς ἦν αὐτῆς ἀπαρίδων, καὶ τὴν ἔρημον τὸ ἔμπροσθεν διέτελεσε χρόνον. ὅτι ἦν τοῦ Χριστοῦ πρὸ τοιαυτίον ἦν. Τό τε γὰρ ἦν ὠφελές (ὃ καὶ πολλάκις αὐτῷ προσῆν φέρον, λέγοντες· οὐκ οἶδα ὅτι ὁ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ; καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς;) καὶ ἡ δοκοῦσα ἦν αὐτῷ πατρὶς εἶναι, τοσοῦτον ἐπονείδιστος ἦν, ὡς καὶ τὸν Ναθαναὴλ λέγειν· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; καὶ ἡ δίαιτα ἦν χοινή, καὶ τὰ ἱμάτια ἦν οὐδὲν πλέον τῶν πολλῶν ἔχοντα. ὅ γὰρ ἀπεκδύετο ζωνίον δερματίνιον, οὐδὲ ἀπὸ τειχῶν τὸ ἔνδυμα εἶχεν, οὐδὲ μέλι καὶ ἀκρίδας ἤσθιεν· ἀλλὰ

πᾶσιν ὁμοίως διηπᾶτο, ϗ συμποσίοις προσέκειντο πονηροῖς μὸ θεσπτῶν ϗ τελωνῶν, ὥστε αὐτοῦ ὅτι σπᾶσθαι. ὅθεν ϗ ζηλώσαντες Φ Ιουδαῖοι, ἀλλ' ἐκεῖνα αὐτῷ ὠνείδιζον, καθὼς ϗ αὐτός φησιν, Ηλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων ϗ πίνων, ϗ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος ⸀ οἰνοπότης, τελωνῶν φίλος ⸀ ἁμαρτωλῶν. ἐπεὶ οὖν ζηλωτὴς ὁ Ιωάννης ἀφ' ἑαυτοῦ τοὺς σκληρον αὐτοῦ προσέπεμπτο Ⓦ δοκιμῶντα πρὸς αὐτοὺς βουλόμενοι ϗ δυσχεραίνοντες ϗ βουλόμενοι τοῦτον μᾶλλον ἔχειν διδάσκαλον, φανερῶς μὲν τοῦτο οὐκ ἐτόλμησαν εἰπεῖν, πέμπουσι δὲ τοὺς αὐτοῦ τοσοῦτον ἀφεστῶτας ἀπὸ τῆς κολακείας αὐτοῦ ἐπιτιμᾶσθαι εἰς ὃ ἑαυτὸν ὁμολογῆσαι Χριστόν. ἵνα τοίνυν ἴωσιν ἐκπεφευγότες πέμπουσιν, ὡς ὅτι τοῦ Χριστοῦ. σκῆπτον μὲν γὰρ βουλόμενοι καταχεῖν, ὑποκρίσεως ἀπέσχοντο, ϗ Ηρῳδιανοὺς πάλιν, ⸀ τοιούτους ἴσως· σὺ εἶ ὁ ἱερεὺς ⸀ λευίτης, ⸀ οὐχ ἁπλῶς ἱερεύς, ἀλλὰ ⸀ οὗτος ἐξ Ιεροσολύμων, τυτὶς, ⸀ οὗτος ὀνομαστὸς (οὐδὲ γὰρ ἁπλῶς τοῦτα ἐπιστομίσαντο ὁ βαπτιστής) ϗ πέμπουσιν ἵνα ἐρωτήσωσι, σὺ τίς εἶ; ϗ μὴν ἡ γνῶσις αὐτοῦ πᾶσι καταδηλος ἦν, ὡς ϗ λέγειν ἀποροῦσι, τί ἄρα ὁ παιδίον τοῦτο ἔσται; ⸀ εἰς ὅλην τὴν ὀρεινὴν ὁ λόγος ἐξῆλθεν ⸀ οὗτος. ⸀ ὅτε προεῖπετο πάλιν ὅτι Ⓦ Ιορδάνης, πᾶσαι αἱ πόλεις αὐτεσπερώζησαν, ⸀ ἐξ Ιεροσολύμων ϗ οὐκ πάσης τῆς Ιουδαίας ἐπορεύοντο βαπτισθῆναι πρὸς αὐτόν. τί οὖν ἐρωτῶσιν ἡμῶν; ἢ οὐχ ὡς ἀγνοοῦντες (πῶς γὰρ, Ⓦ τοσούτοις ἔθνεσι γνώμενοι δῆλον;) ἀλλὰ βουλόμενοι εἰς τοῦτο, ὅπερ εἶπον, αὐτὸν ἀναγαγεῖν. ἄκουσον γοῦν πῶς ⸀ ὁ μακάριος οὗτος πρὸς τὴν ἀρχὴν μὲν ἦς ἠρώτων, ἢ πρὸς τὴν ἐρώτησιν αὐτὴν ἀπεκρίνατο. εἰπόντων γὰρ, σὺ τίς εἶ, οὐκ εἶπεν εὐθέως, ὅπερ ἐξ εὐθείας ἴσως εἶπεῖν· ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἀλλὰ τί; ὅπερ ὑπὲρ πλοῦτον ἦν, τοῦτο ἀφῆλεν. ἐρωτηθεὶς γὰρ, φησὶ, τίς εἶ,

20 Ωμολόγησε, ϗ οὐκ ἠρνήσατο· ⸀ ὡμολόγησεν, ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

Καὶ ὅρα σοφίαν βαπτιστοῦ· πλέον ⸀ αὐτὸ λέγει, ⸀ τὴν ἀρετὴν τοῦ βαπτιστοῦ δηλῶν, ⸀ τὴν ταπείνωσιν ϗ τὴν ἀνωτάτω τοῦ ὑπόνοιαν. τοῦτο οἰκέτου βουλόμενος μὴ μόνον μὴ ἁρπάζειν δόξαν δεσποτικὴν, ἀλλὰ ϗ σφόδρα ἐκκρούεσθαι διδάσκων τοὺς πολλούς. ἀλλ' Φ μὴ ὄχλου ἕνεκα ἀφελείας ⸀ ἀγνοίας ὅτι τοιοῦτόν ἦν τὸν ⸀ τοιοῦτον· ἢ τοι ⸀ ἀπὸ ταπεινοῦ γνώμης, ϗ ἃ εἶπον, ἠρώτων αὐτὸν, προσδοκῶντες, ὅπερ ἔφην, ἀπὸ τῆς κολακείας αὐτὸν βεβιασάσθαι εἰς ὅπερ ἐσπούδαζον. εἰ γὰρ μὴ τοῦτο προσεδόκων, οὐκ ἂν εὐθέως ἐφ' ἑτέραν ἦλθον ἐρώτησιν, ἀλλ' ἠγανάκτησαν ἂν ὡς ἀπατᾶσθαι ἀποκρινομένου ϗ οὐ πρὸς τὴν πόσιν, ϗ εἶπον ἄν· μὴ γὰρ τοῦτο ὑπωπτεύσαμεν; μὴ γὰρ τοῦτο ἐδεησόμεθα ἐρησόμενοι; ἀλλ' ὡς ἀλήθειαν ϗ καταφανεῖ ζηλούμενοι, ἐφ' ἑτέραν ἔρχονται, ϗ λέγουσι·

21 Τί οὖν, Ηλίας εἶ σύ; ϗ λέγει, οὐκ εἰμί. Καὶ γὰρ ⸀ τοῦτον προσεδόκων ἔχειν, καθὼς ϗ ὁ Χριστὸς φησιν. " ἐρωτῶσι γὰρ τοὺς μαθητὰς, πῶς οὖν Φ γραμματεῖς λέγουσιν, ὅτι Ηλίαν δεῖ ἐλθεῖν πρῶτον, αὐτὸς ἔλεγε, Ηλίας μὲν ἔρχεται, ϗ ἀποκαταστήσει πάντα. εἶτα ἐρωτῶσιν·

Ο προφήτης εἶ σύ; ϗ ἀπεκρίθη, οὔ. Καὶ μὴν προφήτης ἦν. τίνος οὖν ἕνεκεν ἀρνεῖται; πάλιν πρὸς τὴν ἀγνοιαν βλέπων τῶν ἐρωτώντων. προσεδόκων γὰρ ἵνα προφήτην ἔχειν ἀπ' ὃ λέγει Μωϋσέα· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Δευτ. ιη. ιε. Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε. οὗτος ἦν ὁ Χριστός. ἀπὸ τοιούτου οὖν λέγουσι, προφήτης εἶ σύ; ἵνα τῶν πολλῶν ἀπιστούμενοι· ἀλλὰ μὴ τὴν ἀρχὴν. ὁ προφήτης εἶ σύ; ἐκεῖνός, φησιν, ὁ πάλαι Μωϋσέως προσαναπεμφθείς; ἀπὸ δὴ τούτου ϗ οὗτος ἠρνήσατο, οὐ ὅ, προφήτης εἶ), ἀλλὰ ὅ, ἐκεῖνος ὁ προφήτης.

22 Εἶπον οὖν αὐτῷ, τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ; Ορᾷς τοὺς μὲν σφοδρότερον ἐπιχειροῦντας ϗ ἐπείγοντας, ϗ ἐρωτῶντας πάλιν,

λιν, ϗ οὐκ ἀφισαμθύς· ⓦ ἦ μετ' ὀπειχείας τοσότιον ζαὶ οὐκ ὄσας ὑποτοίας δυαγεσιῶτα, ϗ τότε τίνι ὄσαν πιθάνα;

23 Ἐγὼ γάρ, φησι, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ησαΐας ὁ προφήτης. Ἐπειδὴ γὰρ μέγα τι ϗ ὑψηλὸν ἐφθέγξατο περὶ τοῦ Χριστοῦ, ὡς πρὸς τὴν ἐκείνων ὑποτοίαν, ὅτι ⓦ προφήτην εὐθέως κατέφυγε, ἀξιόπιστον ϗ ὑποτεθῆναι ⓦ λόγον πιῶν.

24 Καὶ ⓐ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων, φησί·

25 Καὶ ἐπηρώτησαν αὐτὸν ϗ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε Ηλίας, οὔτε ὁ προφήτης; Ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι εἰς τοῦτο αὐτὸν ἐπαγαγεῖν ἠβούλοντο; ϗ τί δεῖ λέγειν μοι αὐτὰ οὐκ ἔλεγον, ἵνα μὴ καταφωσι γλώσσῃ) ἅπαντα. Εἶτα ὅπερ εἶπεν, οὐκ εἰμὶ ὁ Χριστὸς, πάλιν ἐκφέρει συσκιάσας βουλόμενος ἅπερ ἔνδον ἐτύρβαζον, ὅτι ⓦ Ηλίαν ἔρχονται ϗ ⓦ προφήτην. ὡς ἦ ἔφησε μηδὲ ἐκείνων ὡς εἰ), ἀποδυόμενοι λαπὸν, ϗ ὃ προσωπεῖον ῥίψαντες, γυμνῇ τῇ κεφαλῇ τὴν δολερὰν αὐτῶν ἐμφάνοισι γνώμην, λέγοντες· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς; Εἶτα πάλιν συσκιάσαι βουλόμενοι, ϗ τοὺς ἄλλους προσιδέασι, τὴν Ηλίαν, ϗ τὸν προφήτην. ὅπερ γὰρ χολαχεία ἠχθυσαν ὑποσκελίσαι, ἐγκλήματα προσεδόκησαν αὐτὸν δυνάσθαι αἰαγκάζειν εἰπεῖν ὅπερ οὐκ ἦν· ἀλλ' οὐκ ἴσχυσαν. ὦ τῆς δυοίας, ὦ τῆς ἀλαζονείας ϗ τῆς ἀκαιρεσυπουργίας. ἀπεσάλητε μαθησόμενοι παρ' αὐτοῦ τίς εἶη ϗ πόθεν, οὐχὶ καὶ νόμους αὐτῷ θησοντες. τοῦτο γὰρ πάλιν διαγκαζόντων ἦν ὁμολογῆσαι ἑαυτὸν Χριστόν. ἀλλ' ὅμως οὐδὲ νῦν ἀγανακτῆς, οὐδὲ λέγεί μοι τοιούτοις πρὸς αὐτοὺς οἷς εἰκός· ὑμεῖς ἐμοὶ δικαπάτεσθε ϗ νομοθετεῖτε; ἀλλὰ πολλῷ πάλιν τὴν ὑποτείχειαν ὑποδείκνυται.

χ. ὑποσκελίσαι αὐτὸν δυνάσθαι καὶ χαίροντες

26 Ἐγὼ μὲν γάρ, φησι, βαπτίζω ἐν ὕδατι· μέσος ἦ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε·

27 Οὗτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν· ὃ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος.

χ. ἱκανὸς

Τί ποτε ταῦτα λοιπὸν αὖ ἔχουσιν εἰπεῖν ⓐ Ιουδαῖοι; ἀπαραίτητος γὰρ καὶ ἐντεῦθεν ἡ κατ' αὐτῶν κατηγορία, ἀσύγγνωστος ἡ καταίρεσις· αὐτοὶ καθ' ἑαυτῶν τὸν ψῆφον ὑφηνεγκόμενοι. πῶς ϗ τίνι τρόπῳ; ἀξιόπιστον ἠγήσαντο εἰ) ⓦ Ιωάννου, ὃ ὅτως ἀληθῆ, ὡς μὴ μόνον ἑτέρους μαρτυροῦντα, ἀλλὰ καὶ αὐτῷ τοῦτο περὶ ἑαυτοῦ λέγοντα πιστεῦσαι. οὐδὲ γὰρ ἄν, εἰ μὴ ὕτω διέκειντο, ἔπεμψάν ποτε πρὸς αὐτὸν ἐκ τῶν ἑαυτῶν. ἴσμεν γὰρ ὅτι μόνοις ἐκείνοις μάλιστα τοῖς ἑαυτῶν λέγουσι πιστεύομεν, ὃς ἂν ἀπόντων ἀληθεστέρους εἰ) νομίζομεν. ϗ ὃ ὅτο μόνον ἐστὶ τὸ ἀποφεύγειν αὐτοὺς τὰ σώματα, ἀλλὰ ϗ ἡ γνώμη μετ' αὐτῶν πρὸς ἐδόκουν. ϗ γὰρ μετὰ πολλῆς ἐζήλουν τῆς προθυμίας πρὸς αὐτὸν, εἰ ϗ ὕστερον μετεβάλλοντο. ἅπερ ἀμφότερα δηλοῖ ὁ Χριστὸς ἐλέγχων· Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος ϗ ὑμεῖς ἠθελήσατε πρὸς ὥραν ἀγαλλιαθῆναι ἐν τῷ φωτὶ αὐτοῦ. ϗ ἡ ἀπόκρισις ἦ αὐτοῦ πάλιν ἀξιοπιστοτέραν αὐτὸν ἐποίει. ὁ γὰρ μὴ ζητῶν τὴν δόξαν τὴν ἑαυτοῦ, φησιν, ἀληθής ἐστι, ϗ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. οὗτος ἦ οὐκ ἐζήτησεν, ἀλλ' ἐφ' ἕτερον αὐτοὺς ἀπεπέμπετο· ϗ ⓐ ἀπεσταλέντες ἦ τὴν ἀξιοπίστων πρὸς αὐτοὺς ϗ τὰ πρωτεῖα ἐζήτουν· ὥστε μηδαμόθεν αὐτοὺς εἰ) καταφυγὼν μηδὲ προσαίτησιν εἰς τὸ ἀπιστεῖν, ὦ πίστις ἡ τοῦ Χριστοῦ. τίνος γὰρ ἕνεκεν οὐκ ἐδέξασθε τὰ εἰρημένα περὶ αὐτοῦ πρὸ τοῦ Ιωάννου; ὑμεῖς ἀπεσάλκατε τοὺς τὰ πρωτεῖα ἔχοντας, ὑμεῖς ἠρωτήσατε δι' αὐτῶν, ὑμεῖς ἠκούσατε ἅπερ ἀπεκρίνατο ὁ βαπτιστής· πᾶς ἐκεῖνοι πρεσβεύειν ἐπεδείξαντο, πάντα ἠρεύνησε, ϗ ὃς ὑπωπτεύσατε, πρόφασιν εἶπον· ϗ ὅμως μὴ ῥησιν πολλῆς ὡμολόγησε, μὴ εἰ) μήτε ὁ Χριστὸς, μήτε Ηλίας, μήτε ὁ προφήτης· ϗ οὐδὲ ἐν τοῦτο ἔστι· ἀλλὰ ϗ ἐδίδαξε τίς εἴη, ϗ διελέχθη περὶ τῆς ἰδίου βαπτίσματος φύσεως· ὅτι μικρὸν ϗ ἀτελὲς ϗ ὕδατος πλέον ἔχον οὐδέν." Εἶπε τὸν ἀφορμὴν τοῦ βαπτίσματος τοῦ

χ. ἀτελὲς

πρὸς

τοῦ τοῦ Χριστοῦ διδασκάλου· πρὸ πάντων * καὶ Ἡσαΐου τοῦ προφήτου μαρτυρούντων αὐτῷ καὶ τοῦ πολλοῦ τοῦ χρόνου, "τὸν μὲν Κύριον καλοῦντα, "τὸν δὲ ἄγγελον αὐτοῦ καὶ ὑπηρέτην ὀνομάζοντα. τί λοιπὸν ἔδει; καὶ πιστεῦσαι τοῖς μαρτυρηθεῖσι καὶ τοῦ προσκυνῆσαι, καὶ ὁμολογῆσαι Θεόν; ὅτι γὰρ καὶ καλαχείας ἦν ἡ μαρτυρία, ἀλλὰ ἀληθείας, ἐδείκνυ μὲν καὶ ὁ τόπος καὶ ἡ φιλοσοφία τοῦ μαρτυρήσαντος. δῆλον δὲ καὶ ἀπὸ τοῦδε. "οὐδεὶς πλησίον ἑαυτὸν τοσοῦτον πέφυκεν, οὐδὲ ἄξιον αὐτὸν τοσοῦτον ἡγήσασθαι ἕνεκα, ἕτερον ἑαυτοῦ διδάσκαλον ἑλέσθαι, καὶ ταῦτα τοσαύτης ὕλης· ὥστε οὐκ ἂν οὐδὲ ὁ Ἰωάννης μὴ Θεὸν ὄντα τὸν Χριστὸν ἑαυτοῦ τοσαύτης ἂν ἀξιῶσαι τῆς μαρτυρίας. Εἰ γὰρ καὶ ἀφ' ἑαυτοῦ ταῦτα ὡς μείζονα ἦσαν τῆς οἰκείας φύσεως διεκρούσατο, ἀλλ' οὐκ ἂν ἑτέρᾳ φύσει πάλιν αὐτὸν ἀνέθηκε ταπεινοτέρᾳ. μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. Εἰκὸς γὰρ ἦν αὐτὸν καὶ ἀναμεμίχθαι τοῖς λαοῖς, ὡς εἷς τῶν πολλῶν, ἅτε πάντα χοῦν τὸν ἀτυφον καὶ ἀκόμπαστον διδάσκων τα. Εἰδήσει δὲ τοὺς λαοὺς γνῶσιν λέγει τὴν ἀκριβῆ, οἵᾳ, ἧς ἐστι καὶ πόθεν. τὸ δὲ, ἐπίσω μου ἐρχόμενος, συνεχῶς ἐνθυμεῖται, μονονουχὶ λέγων· μὴ νομίσητε ἐμὲ πᾶν ὅσον τοῖς ἐμοῖς κρατεῖν βαπτίσματι. οὐκ ἀν' Εἷς τοῦτο τέλειον ἦν, ἕτερος ἀνῆλθε μεθ' ἐμὲ πρόφητης ἕτερος· ἀλλὰ πάντα τοῦτο ἐστὶν ἐκείνου καὶ προοδοποίησις. τὰ ἡμέτερα σκιὰ καὶ εἰκών· ἄλλον χρὴ τὴν ἀλήθειαν ὑπεδησόμενα παραγενέσθαι. ὥστε αὖθις τὸ ὀπίσω μου ἐλθεῖν, τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὸ ἀξίωμα. Εἰ γὰρ τοῦτο ἦν τέλειον, οὐκ ἂν δεύτερον ἐζητεῖτο τόπος. ἐμπροσθέν μου γέγονε· τοιοῦτον, ὑπερέχον, λαμπρότερον. Εἶτα, ἵνα μὴ νομίσωσιν ἀπὸ συγκρίσεως εἶναι τὸν ἀπροσκόπτου, ὃ ἀσύγκριτον παραστῆσαι βουλόμενος, φησὶν· ὃ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὰ ἱμάντα· τοιοῦτον, οὐχ ἁπλῶς ἐμπροσθεν γέγονεν, ἀλλ' οὕτως, ὡς ἐμὲ μηδὲ ἐν τοῖς ἑκάστοις τῶν τούτου δικαίων ἀριθμηθῆναι ἄξιον εἶναι. τὸ γὰρ ὑπόδημα λῦσαι, τῆς ἑκάστης δικαιοσύνης ἐστί.

Εἰ γὰρ Ἰωάννης οὐκ ἄξιος ἱμάντα λῦσαι, Ἰωάνης, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν ΗΘΙΚΟΝ
ἐν γέγονε· ποῦ ταξόμεθα ἡμεῖς ἑαυτούς; Εἰ ὁ τῆς οἰκουμένης διάπρυτος, μᾶλλον δὲ μείζων ("οὐκ ἐῶ γὰρ αὐτὸν, φησὶν, ἄξιον ὁ κόσμος) οὐδὲ ἐν τοῖς ἑκάστοις τῶν δικαιοπραγημάτων ἑαυτὸν καταλέγεσθαι φησὶν ἄξιον εἶναι), τί ἐροῦμεν ἡμεῖς μυρίων γέμοντες κακῶν; τοσοῦτον ἀπολείποντες τῆς ἀρετῆς τοῦ Ἰωάννου, ὅσον οὐδὲ ἡ γῆ τοῦ οὐρανοῦ; οὗτος μὲν οὖν οὐδὲ τὸ λῦσαι ἱμάντα τοῦ ὑποδήματος ἄξιον εἶναι ἑαυτὸν φησιν· οἱ δὲ τῆς ἀληθείας ἐξωθοῦντες τοσαύτῃ ἐμάνησαν μανίᾳ, ὡς καὶ τοῦ εἶδέναι αὐτὸν, ὡς αὐτὸς οἶδεν ἑαυτὸν, "ἄξιοις εἶναι λέγειν ἑαυτούς. τί ταύτης τῆς παραπληξίας χεῖρον; τί ταύτης τῆς ἀλαζονείας μανιχώτερον;
καλῶς τις ἔλεγε σοφὸς ἀνήρ· Ἀρχὴ ὑπερηφανίας, ὃ μὴ εἰδέναι Κύριον. οὐκ ἂν κατ- Sειρ. ι. ιδ.
τιμώρητο "ἀβούλως λέγων, οὐκ ὢν ἀβούλως πρότερον, εἰ μὴ τοῦτο ὃ νόσημα ἐνόσησε. τοῦτο αὐτὸν τῆς πρώτης ἐξέβαλεν ἐκείνης, τοῦτο εἰς τὴν γέενναν ἔπεμψε, τοῦτο τῶν κακῶν αἴτιον αὐτοῖς πάντων ἐγένετο. ἰχθὺν γὰρ καθ' ἑαυτὸ δικαιοῦσαι πᾶσαν ἀρετὴν ψυχῆς, καὶ ἐλεημοσύνῃ θύρη, καὶ θλίψει, καὶ νηστείαι, καὶ ὁπλοῖς. Τὸ γὰρ ὑπλῶν ἐν ἀν- Λκκ. ιϛ. ιβ.
θρώποις, ἀκάθαρτον, φησι, παρὰ Κυρίῳ. οὐκ ἄρα πορνεία μόνον, οὐδὲ μοιχεία μολύνειν εἴωθε τοὺς χρωμένους αὐτῇ, ἀλλὰ καὶ ὑπερηφανία, καὶ πολλῷ πλέον ἐκείνων. δικαίᾳ; ὅτι πορνεία μὲν, εἰ καὶ ἀσύγνωστον κακὸν, ἀλλ' ὅμως ἔχει τις τὴν ἐπιθυμίαν εἰπεῖν· ἀλαζονεία δὲ οὐδὲ αἰτίαν ἄν τινα δύοι τινὰ, οὐδὲ οἰκονομήσειέ ποτε πρόφασιν, δι' ἣν ἄν τύχοι σκιᾶς γοῦν συγγνώμης, ἀλλ' οὐδὲν ἕτερόν ἐστιν αὕτη, ἢ διαστροφὴ ψυχῆς καὶ νόσος χαλεπωτάτη, οὐδαμόθεν ἀλλοθεν πιπτομένη, ἢ ἐξ ἀνοίας. οὐδὲν γὰρ ἀνοητότερον ἀλαζόνος ἀνθρώπου, καὶ πλοῦτον ἢ παρεσκευασμένος, καὶ πολλὴν κεκτημένος τὴν ἔξωθεν σοφίαν, καὶ ἐν δυναστείᾳ καθεστηκώς, καὶ ἁπάντων ἐν ἀνθρώποις ἄξιον εἶναι δοκοῦντα ζηλωτὰ παρεφέρων. Εἰ γὰρ ὁ ὑπὲρ τοὺς ὄντως καλοὺς ἀλαζονευόμενος ἄθλιος καὶ ταλαίπωρος, καὶ πάντων ἐκείνων μυρίῳ ἀπόλλυσι, ὁ ἐν τοῖς μηδὲν ὢσιν ἐπαιρόμενος καὶ ἀπὸ τῆς σκιᾶς καὶ ὁ ἄνθος τοῦ χόρτου (τοῦτο γὰρ

γὰρ ὅστις ἡ πρόσοδος δόξα) φυσῶν ἑαυτὸν, πῶς οὐκ ἂν εἴη πάντων καταγελαστότερος, ταῦτ' ποιῶν, ὅπερ ἂν τις ποιήσειε πλωτὸς καὶ πένης, πόντια μὲν χρέων λιμῷ τηκόμενος, εἰ δὲ συμβαίη ποτὲ μίαν νύκτα χρησιν ὀπαρ ἰδεῖν, ἀφεὶς τοῦτο γαυρούμενος; ἀθλιε καὶ ταλαίπωρε, τῆς ψυχῆς σου διαφθειρομένης χαλεπωτάτῃ νόσῳ, καὶ τῷ ἐναντίῳ πεινόμενος πενίᾳ, μεγαφρονεῖς ὅλη χρυσοῦ ταλαντα ἔχεις τόσα καὶ τόσα; ὅλη πλῆθος ὑδραποδων; ἀλλὰ ταῦτα οὐ σά. ἀλλ' εἰ μὴ πείθῃ τοῖς ἐμοῖς ῥήμασιν, ἀπὸ τῆς πείρας τῶν παρελαβόντων μάθε. ἐγὼ δὲ οὕτω μεμύημαι, ὡς μήτε σὲ τῶν ἑτέροις συμβαινόντων ταῦτα παθεῖν, μικρὸν ἀνάμεινον, καὶ εἴσῃ ἀφ' ἑαυτοῦ τῶν εἰς σὲ συμβαινομένων, ὅτι σοι τούτων ὄφελος οὐδὲν, ὅτι ψυχορραγῶν, καὶ οὐδὲ ὥρας μιᾶς, οὐδὲ ῥοπῆς βραχείας κύριος ὤν, ἄλλων εἰς τὸν πλοῦτον αὐτὰ καταλείψεις, καὶ τούτους πολλάκις ὧν οὐκ ἐβούλεις. πολλοὶ γοῦν οὐδὲ ὀβολὸν ἀπολιπόντες τοῖς αὐτῶν ζωοχορηγήσαντι, ἀλλ' ἁπλοῦν ἀθεῖον βουλόμενοι μὴ αὐτῶν ἀπολαῦσαι, καὶ συγχωρούμενοι ὑπ' ἄλλων ἑλκόμενοι καὶ ἑτέροις αὐτῶν ὀξιζάμενοι, καὶ μετὰ βίας ἀναχωροῦντες, οἷς οὐκ ἐβούλοντο. ὅπερ ἵνα μὴ παθωμεν, ἐντεῦθεν ἤδη ἐρρωμένοι καὶ ὑγιαίνοντες διαπεμψώμεθα αὐτὰ πρὸς τὴν πόλιν τὴν ἡμετέραν. οὕτω γὰρ αὐτῶν ἀπολαῦσαι δυνησόμεθα μόνοι, ἑτέρους δὲ οὐδαμῶς· οὕτως εἰς ἀσυλον καὶ ἀσφαλῆ τόπον αὐτὰ ἀποθησόμεθα. ὃ γὰρ ὅστις, οὐκ ἔστιν οὐδὲν ἐκ τῶν δυναμένων αὐτὰ ἀφελέσθαι. οὐκ ἔστι θάνατος, οὐκ εἰσὶν ἀληθεῖς διαθῆκαι, οὐκ εἰσὶ διαδοχοι κληρων, οὐ συκοφαντίαι καὶ ἐπιβουλαὶ, ἀλλὰ πάντα ἀπελθόντα ἐντεῦθεν πολλαπλάσια ἐπιφερόμενον, διαπαντός ὅστις αὐτὰ καρπεύσεται. τίς οὖν οὕτως ἀθλιος, ὡς μὴ θελῆσαι τοῖς χρήμασιν ἐντυφᾶν τοῖς ἑαυτοῦ δι' ὅλου; μεταχωμίσωμεν ταῦτα ἡμῶν πλοῦτον, καὶ μεταθῶμεν ἐκεῖσε. οὐκ οἴκων ἡμῖν δεήσει, καὶ καμήλων, καὶ ὀχημάτων, οὐδὲ πλοίων πρὸς τὴν τοιαύτην μετάθεσιν (καὶ γὰρ καὶ ταύτης ἡμᾶς τῆς δυσκολίας ἀπαλλαξει ὁ Θεός) ἀλλὰ πάντων ἡμῖν διὰ μόνου, τῶν χωλῶν, τῶν δυσπόρων, τῶν ἀῤῥώστων. αὐτοὶ τὴν τοιαύτην εἰσὶν ἐγκεχειρισμένοι μετάθεσιν, οὗτοι τὰ χρήματα πρὸς ἐκπέμπουσιν εἰς τὸν οὐρανὸν, καὶ οἱ τοὺς τῶν τοιούτων χρημάτων κυρίους εἰς τὴν τῶν αἰωνίων ἀγαθῶν κληρονομίαν εἰσάγουσιν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. Βηθαβαρᾶ

Ομιλ. ξ. 28 ΤΑΥΤΑ ΕΝ ΒΗΘΑΝΙΑ ΕΓΕΝΕΤΟ ΠΕΡΑΝ τοῦ Ἰορδάνου, οὗπου ἦν Ἰωάννης βαπτίζων. 29 Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

ΜΕγα ἀγαθὸν παῤῥησία, καὶ τὸ ἐλευθεροστομεῖν καὶ πάντα δεύτερα τίθεσθαι τὴν ὁμολογίας τῆς εἰς τὸν Χριστόν· οὕτω μέγα καὶ θαυμαστὸν, ὡς τὸν γε τοῦ Θεοῦ τὸν μονογενῆ τοιοῦτον ἀνακηρύττειν ὅπου τοῦ Παῤῥησ. χάριτος οὐκ ἴσον ἡ ἀνάλυσις. σὺ μὲν γὰρ ὁμολογεῖς ὅπου τῆς γῆς, οὗτος δὲ ἐν τοῖς οὐρανοῖς· καὶ σὺ μὲν, ἀνθρώπων ὄντων, αὐτὸς δὲ ὅπου τοῦ παῤῥησ καὶ τῶν ἀγγέλων ἁπάντων. τοιοῦτος ὁ Ἰωάννης ἦν, οὐ πλήθους, οὐ δόξαν, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ὑφορώμενος, ἀλλὰ ταῦτα πάντα καταπατῶν, καὶ μετὰ τῆς παῤῥησιας ἐλευθερείας τὰ πρὸς τὸν Χριστοῦ πᾶσιν ἀνακηρύττων. διὰ γὰρ τοῦτο καὶ τοῖς τόποις ἐπισημαίνεται ὁ διαγελιστὴς, ἵνα τὴν παῤῥησίαν δείξῃ τοῦ μεγαλοφώνου κήρυκος. οὐ γὰρ ἐν οἰκίᾳ, οὐδὲ ἐν γωνίᾳ, οὐδὲ ἐν ἐρημίᾳ, ἀλλὰ τοῦ Ἰορδάνου καταβαίνων, ἐν μέσῳ τῷ πλήθει, παρόντων ἁπάντων τῶν ἀπ' αὐτοῦ βαπτιζομένων (βαπτίζονται γὰρ

ἐπέστησαν

ἐπέστησαν ⓘ Ιουδαῖοι) τῷ θαυμαστῷ ἐκείνῃ ἀνεκήρυξεν ὁμολογίᾳ τὸν Χριστόν, τῶν ὑψηλῶν ἐκείνων καὶ μεγάλων καὶ ἀπορρήτων γέμοντας δογμάτων, καὶ ὡς οὐκ εἴη ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. διὰ τοῦτό φησι, ταῦτα ἐν Βηθανίᾳ ἐγένετο ἐν Βηθανίᾳ· ὅσα οἱ τῶν ἀντιγράφων ἀκριβέστεροι ἔχει, ἐν Βηθαβαρᾷ φησιν. οὐ γὰρ Βηθανία πέραν τοῦ Ιορδάνου, οὐδὲ ὅπου τῆς ἐρήμου ἐκεῖ, ἀλλ' ἐγγὺς πως τῶν Ιεροσολύμων. οὗτοι δὲ τόπους καὶ δι' ἑτέρων αὐτῶν ὑπισημαίνεται. ὅπου γὰρ θαύματα καὶ παλαιὰ διηγήσασθαι ἔμελλεν, ἀλλὰ τοὺς μικρὰ συμβαίνοντας τοῖς χρόνοις, οὐδὲ πόλεις καὶ θεωμένους μάρτυρας ποιήσεται τῶν λεγομένων, καὶ ἀπόδειξιν καὶ ἀπὸ τῶν τόπων παρέχεται. διαῤῥᾴδην γὰρ ὅτι οὐδὲν πρὸς ἑαυτοὺς πεποιήκασι τοῖς λεγομένοις, ἀλλὰ τὰ ὄντα ἁπλῶς ἀπήγγελται μὴ ἀληθείας ὀφείλοντα, τῶν ἀπὸ τῶν τόπων μαρτυρίαν παραλαμβάνει, ἀπόδειξιν, ὅπερ ἔφην, οὐ τῷ τυχοῦσαν τῆς ἀληθείας ἐσομένην. τῇ ἐπαύριον βλέπει τὸν Ιησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. διενεύματο οὖν καὶ ⓘ διαγελάσαι· καὶ ὁ μὲν Ματθαῖος οὐδὲν φησὶν ἢ δεῦτε καὶ τὸν βαπτιστὴν Ιωάννην χρόνους ὕστερον ἐμπεπτωκότα, ἐπείγεται πρὸς τὸν ἑξῆς. " ὁ δὲ διαγελάσας [Ιωάννης] οὐ μόνον οὐκ ὑστέρησεν, ἀλλὰ τούτοις μάλιστα καὶ ἐνδοξότερος. καίτοι μὲν, μὴ ὂν ἐλθεῖν τὸν Ιησοῦν ἀπὸ τῆς ἐρήμου, τὰ μεταξὺ σιωπήσας, οἷς, ὅσα ὁ Ιωάννης ἐφθέγξατο, ὅσα ⓘ Ιουδαῖοι ἀποστείλαντες ἔλεγον, καὶ τὰ ἄλλα πάντα ζωντανοῖ, μετεπήδησεν αὐτίκα ὅτι ὁ δεσμωτήριος. ἀκούσας γάρ, φησιν, ὁ Ιησοῦς ὅτι παρεδόθη Ιωάννης, ἀνεχώρησεν ἐκεῖθεν. ὁ δὲ Ιωάννης οὐχ ὕστερος· ἀλλὰ τοῦ μὲν εἰς τὴν ἔρημον ὁδοῦ ἀπεσιώπησεν, ἅτε καὶ τοῦ Ματθαίου λεχθεῖσαν, τὰ δὲ μετὰ τὴν κάθοδον τὴν ἀπὸ τοῦ ὄρους γνωριμίᾳ διηγεῖται, καὶ πολλὰ διελθὼν τότε ἐπὶ γῆς. Οὔπω γὰρ ὡς βεβλημένος ὁ Ιωάννης εἰς τὴν φυλακήν. καὶ τίνος ἕνεκεν, φησι, νῦν προσέρχεται πρὸς αὐτὸν ὁ Ιησοῦς, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον τοῦτο ποιεῖ; ὁ μὲν γὰρ Ματθαῖος ἀναγκαίαν αὐτοῦ τὴν προοίμιον γεγονέναι φησὶ διὰ τὸ βάπτισμα." ἐπαίτει γὰρ ὁ Ιησοῦς, ὅτι οὕτω πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ὁ δὲ Ιωάννης καὶ πάλιν αὐτὸν προσγενόμενον ἔλεγε μὴ τὸ βάπτισμα, καὶ τοῦτο σύντομον" ἐδήλωσεν. ἐγὼ γάρ, φησι, τεθάρρηκα τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν. τίνος οὖν ἕνεκεν προσγίνεται πρὸς τὸν Ιωάννην; οὐδὲ γὰρ ἁπλῶς ἦλθεν, ἀλλὰ πρὸς αὐτὸν ἐπορεύετο. ἐρχόμενον γάρ, φησι, πρός αὐτὸν βλέπει αὐτόν. τίνος οὖν ἕνεκεν ἔρχεται; ὅπως αὐτὸς αὐτὸν ἐβάπτισε μὴ πολλῶν, ὥστε μηδένα ὑποπτεῦσαι, ὅτι ἀπὸ τῆς αὐτῆς αἰτίας, ἀφ' ἧς καὶ ⓘ ἄλλοι, πρὸς ⓜ Ιωάννην " ἠπείγετο, οἷς, ὡς ἁμαρτήματα ἐξομολογησόμενος, καὶ εἰς μετανοίαν λουσόμενος ἐν ᾧ ποταμῷ. Διὰ τοῦτο προσγίνεται, διδοὺς ἅμα τῷ Ιωάννῃ ταύτην πάλιν διορθώσασθαι τὴν ὑπόνοιαν. ἐν γὰρ τῷ εἰπεῖν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πᾶσαν ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν. οὐ γὰρ οὕτω καθαρὸς, ὡς καὶ τὰ ἑτέρων ἁμαρτήματα" ἀπολυέσθαι δυνάσθαι, ἐνδηλοῖ ὅτι οὐχ ὥστε ὁμολογήσασθαι ἁμαρτήματα παραγίνεται· ἀλλ' ὥστε δοῦναι ἀφορμὴν ἐκείνῳ τῷ θαυμαστῷ κηρυκι, καὶ δευτέραν φωνὴν τοῖς τὰ πρότερα ἀκηκοόσιν ἀκριβέστερον ἐνθεῖναι τὰ εἰρημένα, καὶ προσθεῖναι ἕτερα πάλιν. ὃ γάρ, ἴδε, εἴρηται, διὰ τὸ πολλοὺς πολλάκις ἐπιζητῆσαι αὐτὸν ἀπὸ τῶν εἰρημένων, καὶ ἀπὸ μακροῦ τοῦ χρόνου· διὰ τοῦτο πρόσωπα δείκνυσι αὐτόν, ἔλεγε· ἴδε, οὗτός ἐστιν ὁ πάλαι ζητούμενος, οὗτός ὁ ἀμνός. ἀμνὸν δὲ αὐτὸν καλεῖ, τῆς προφητείας ἀναμιμνήσκων Ιουδαίους τῆς Ησαΐου, καὶ τῆς σκιᾶς τῆς περὶ ⓜ Μωϋσέα· ἵν' ἀπὸ τοῦ τύπου μᾶλλον αὐτοὺς προσαγάγηται πρὸς τὴν ἀλήθειαν. σκῆνος μὲν οὖν ὁ ἀμνὸς ὄντως καθάπαξ ἁμαρτίαν ἔλαβεν· οὐδὲ γὰρ τῆς οἰκουμένης ἁπάσης. κινδυνεύσαν γὰρ αὐτοῖς ἀπολέσαι, ταχέως ἀπήλλαξε τῆς ὀργῆς τοῦ Θεοῦ. 30 Οὗτός ἐστιν, περὶ οὗ εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν. Ὁρᾷς καὶ ταῦθα πῶς ὁ ἔμπροσθεν ἑρμηνεύει; εἶπων γὰρ ἀμνόν, καὶ ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, ὅτι φησίν· ὅτι ἔμπροσθέν μου γέγονε, δηλῶν, ὅτι τοῦτο

Ιωαν. γ. κδ.

ἐστὶ

ἔστι δὲ ἔμπροσθεν, δὲ τῆς ἁμαρτίας λαβεῖν τὸν κόσμον, ὁ βαπτίσας ἐν πνεύματι ἁγίῳ. ἡ μὲν γὰρ ἐμὴ παρουσία πλέον οὐδὲν εἶχε τοῦ κηρύξαι τὸν κριτὴν τοῦ οἰκουμένης ἀνερεθίσαι, καὶ δὲ τὸ ὕδατος βάπτισμα προσδέξεσθαι· ἡ δὲ τούτου, δὲ καθ' ἕκαστα πρώτης αὐτὸν ἀφῆκας, καὶ χαίρεσθαι τοῦ προσκλήτου τὴν ἐπέρχεσθαι. διὰ τοῦτο ἔμπροσθεν γέγονά μου, τουτέστιν, ἐδείχθην μου λαμπρότερος, ὅτι προῆκτός μου ἦν. αἱρετικοὶ δὲ τοῦτον Παύλου τοῦ Σαμοσατέως τὴν μανίαν δεξάμενοι προῆκτὸν οὕτω φανερῶς ἀληθῆ μὴ διϊσάμενοι. χ. διαλεξ.

31 Κἀγὼ οὐκ ἤδειν αὐτόν, Φησιν. αὐτοπαθὲς τὸ τοῦδε τὴν μαρτυρίαν ἐργάζεται, δεικνὺς αὐτὴν οὐκ ἀπὸ προσώπου οὖσαν φιλίας, ἀλλ' ἐξ ἀποκαλύψεως θείας γεγενημένην. οὐκ ἤδειν γὰρ αὐτὸν ἐγώ, φησι. πῶς οὖν μὴ εἶης ἀξιόπιστος μάρτυς; πῶς δὲ ἕτερος διδάξῃ, αὐτὸς ἀγνοῶν; οὐκ εἶπεν, οὐκ οἶδα αὐτόν, ἀλλ' οὐκ ἤδειν αὐτόν· ὥστε τούτῳ μάλιστα ἀξιόπιστος ἦν γνώριστος. πῶς γὰρ ἂν ἐκαίνιστον ὃν ἀγνοούμενον;

Ἀλλ' ἵνα φανερωθῇ ὃν Ισραηλ, διὰ τοῦτο ἦλθον βαπτίζων ἐν ὕδατι. Οὐ τοίνυν αὐτὸς βαπτίσματος ἐδεῖτο, οὐδὲ ἄλλου τινὰ αἰτίαν εἶχεν ἐκεῖνο δὲ λαβεῖν, ἢ δὲ προοδοποιῆσαι τῇ εἰς Χριστὸν πίστει τοῖς λοιποῖς ἅπασι. διὰ γὰρ εἶπεν, ἵνα καθαρὸν οὐδὲ βαπτιζομένους, οὐδ' ἵν' ἀπαλλάξω ἁμαρτημάτων ἦλθον βαπτίζων· ἀλλ' ἵνα φανερωθῇ τῷ Ισραήλ. τί γάρ, εἰπέ μοι, τῷ βαπτίσματος χρείας οὐκ ἐκεῖνο κηρύξαι, καὶ παραγίνεσθαι οὐδὲ "ὄχλους; ἀλλὰ ῥᾳδίως ἅπαντας ἂν ἔσπευσαν. οὐδὲ γὰρ δὴ οὕτω σωφρόνως ἅπαντες, εἰ βαπτίσματος χρείας δὲ κήρυγμα ἐγίνετο, οὐκ ἂν ἔμαθον τὴν ἀπὸ τῆς συγκρίσεως ὑπεροχήν. δὲ γοῦν πλῆθος ὤχετο, οὐκ ἀκουσόμενον ὧν ἔλεγεν, ἀλλὰ τί; βαπτισθησόμενοι, ὁμολογοῦντες τὰς ἁμαρτίας αὐτῶν. προσελθόμενοι δὲ ἐδιδάσκοντο καὶ περὶ τοῦ Χριστοῦ, καὶ τοῦ βαπτίσματος τὸ "μέσον. καίτοι τοῦ Ἰουδαϊκοῦ τοῦτο σημαῖνον ἦν, ὃ δὴ τοῦτο πάντες ἐπέτρεχον· ἀλλ' ὅμως καὶ ὕστερος ἀπελεύσῃ. πῶς οὖν ἐγνώς αὐτόν; δηλονότι τῆς τοῦ πνεύματος καθόδου, φησίν. ἵνα δὲ μή τις νομίσῃ πάλιν, ὅτι τὸ χρεία καθίστηκε τοῦ πνεύματος, καθάπερ ἡμᾶς, ἄκουσον πῶς ὃ τούτου ἀναιρεῖ τὸν ὑποψίαν, διακρίνει, ὅτι ἡ τοῦ πνεύματος καθόδος ὑπῆρ τοῦ κηρύξαι τὸν Χριστὸν μόνον ἐγένετο. Εἰπὼν γὰρ, κἀγὼ οὐκ ἤδειν αὐτόν, ἐπήγαγον· χ. διάκρισιν. χ. ὄχλους ἐπὶ τὸν ὕδατος;

Ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, ἐκεῖνός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

Ὁρᾷς ὅτι τοῦτο ἔργον τοῦ πνεύματος ἦν, τὸ δεῖξαι τὸν Χριστόν; ἦν μὲν γὰρ καὶ ἡ τοῦ Ἰωάννου μαρτυρία ἀνύποπτος· βουλόμενος δὲ αὐτὴ ἀξιοπιστοτέραν ποιῆσαι, ἀνήγαγεν αὐτὴν ἐπὶ τὸν Θεόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ὅπερ γὰρ ἐμαρτύρησεν ὁ Ἰωάννης ὅτι μέγα ἦν καὶ θαυμαστόν, καὶ ἰσχυρὸν οὐδὲ ἀκούοντας ἐκπλῆξαι πρώτας, οἶδ, ὅτι τῆς οἰκουμένης ἁπάσης τὰς ἁμαρτίας λαμβάνει μόνος αὐτός, καὶ ὅλη προῆκτος τοσοῦτον ἀρκεῖ λύσειν τὸ δωρεᾶς τὸ μέγεθος· καταισχύνει λοιπὸν τοῦτον τὴν ἀποφασιν. ἡ δὲ καταισχύνη, ὅλη ὑιὸς ὄντι τοῦ Θεοῦ, καὶ ὅτι οὐκ ἐδεῖτο βαπτίσματος, καὶ ὅλη ἔργον τῆς τοῦ πνεύματος καθόδου γέγονε τὸ δεῖξαι αὐτὸν ποιῆσαι μόνον. οὐ γὰρ ἵνα τῆς τοῦ Ἰωάννου δυνάμεως πνεῦμα διδόναι, καὶ δηλοῦσι τοῦτο ἀπὸ βαπτιζόμενοι ὕστερ' αὐτοῦ λέγοντες· Ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν, ἀκηκόαμεν. οὐκ ἄρα τοῦ βαπτίσματος ἐδεῖτο ὁ Χριστός, οὐκ ἐκείνου, οὐχ ἑτέρου ἑνός, ἀλλὰ μᾶλλον τὸ βάπτισμα ἔλαβε τῆς δυνάμεως τοῦ Χριστοῦ. τὸ γὰρ ἐλλιπὲς, τοῦτο ἦν τὸ κεφάλαιον πάντων τῶν ἀγαθῶν, τὸ πνεύματος ἀξιωθῆναι τὸν βαπτιζόμενον. Διὰ τοῦτο οὖν τὴν τοῦ πνεύματος χορηγίαν προσέθηκε προλαμβάνουσος. Πρᾶξ. ιθ. β.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων· ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἔμεινεν ἐπ' αὐτόν.

33 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

ἀγίῳ. 34 Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. Σωσεχῶς
ἢ τὸ οὐκ ἤδειν αὐτόν, τί φησιν. " τίνος ἕνεκεν καὶ ἔρχῃ τί ; συγγενὴς αὐτῷ ἐστιν καὶ σάρκα. Ιδοὺ Λυκ. α. λε.
γὰρ, φησιν, Ελισάβετ ἡ συγγενής σου, καὶ αὕτη συνείληφεν υἱόν. ἵν' οὖν μὴ δόξῃ χα-
ρίζεσθαι ἔρχῃ τῷ συγγενεῖ, σωσεχῶς φησι τό, οὐκ ἤδειν αὐτόν· ἐπὶ καὶ λέγει ἢ τοῦτο
συνέβαινε. Ⓦ γὰρ ἅπαντα χρόνον ὑπὲρ τῆς ἐρήμου διέτριβε [ὧν] τῆς πατρῴας οἰκίας ἐκ-
τός. πῶς οὖν, εἰ οὐκ ἤδει αὐτόν, περὶ τῆς τοῦ πνεύματος καθόδου, καὶ εἰ τότε περιῆν αὐ-
τὸν ἐγνώρισε, περὶ τοῦ βαπτίσματος διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ
βαπτισθῆναι ; τοῦτο γὰρ τιμήεις τοῦ σφόδρα αὐτὸν εἰδέναι ἦν. ἀλλ' οὐκ ἔμενεν καὶ
περὶ πολλοῦ τοῦ χρόνου, ἐξ εἰκότως. τὰ μὲν γὰρ θαύματα, ὅσα ἦν παιδὸς ὄντος ἐτίνετο, οἷς,
τὰ περὶ τὸν μάγους, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, περὶ πολλοῦ συμβεβήκει τοῦ χρόνου, τὴν Ιωαν-
νου σφόδρα καὶ αὐτοῦ παιδὸς ὄντος· ἐν ᾗ τῷ μεταξὺ πολλοῦ γλωμαίνου τοῦ χρόνου, εἰκότως πᾶ-
σιν ἄγνωστος " ἦν· ἐπεὶ, εἰ γνώριμος ἦν, οὐκ ἂν εἶπεν, ἵνα φανερωθῇ τῷ Ισραὴλ, διὰ τοῦτο
ἦλθον βαπτίζων. ἐντεῦθεν ἡμῖν λοιπὸν δῆλον, ὅτι ἐξ τὰ σημεῖα οὐδενὶ, ἃ παιδικὴ εἰκῇ φα-
σι τοῦ Χριστοῦ, ψεύδη, καὶ πλάσματα ἰωνων ἐπεισαγόντων ὑστέρων ἐστίν. Εἰ γὰρ οὐκ περὶ τῆς ἀρχαί-
μους ἡλικίας ἦν μαρτυρῶν, οὐκ ἂν ὅτε Ιωάννης αὐτὸν ἐμηνύσατο, οὐδὲ ὁ λοιπὸν πλῆθος " ἐδεί-
κνυτο ἂν διδασκάλου τοῦ φανερώσοντος αὐτόν. νυνὶ δὲ αὐτὸς φησι διὰ τοῦτο βαπτίζειν ἦλθον,
ἵνα φανερωθῇ τῷ Ισραὴλ, " καὶ διὰ τοῦτο ἔλεγε πάλιν· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆ-
ναι. ὕστερον δὲ ἅτε σαφέστερον μαθὼν, τοῖς ὄχλοις αὐτὸν ἐκήρυττε, λέγων· οὗτός ἐστιν οὗ εἶπον·
ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν. ὅτι καὶ ὁ πέμψας με βαπτίζειν ἐν ὕδα-
τι, καὶ διὰ τοῦτο πέμψας με, ἵνα φανερωθῇ τῷ Ισραὴλ, αὐτὸς αὐτῷ καὶ περὶ τῆς τοῦ πνεύματος
καθόδου αὐτὸν ἀπεκάλυψε. διὸ καὶ πρὶν ἢ βαπτισθῆναι, ἔλεγεν· ὀπίσω μου ἔρχεται ὃς ἔμ-
προσθέν μου γέγονεν. διὰ τοῦτο ἤδει αὐτὸν περὶ τοῦ ἐλθεῖν ἐπὶ τὸν Ιορδάνην καὶ πρὸς βα-
πτίζειν· ἀλλ' ὅτε ἤμελλε βαπτίζεσθαι, τότε αὐτὸν ἔγνω καὶ διὰ τοῦτο τοῦ πατρὸς αὐτὸν ἀποκα-
λύψαντος δι' περὶ φήτη, καὶ τὸ πνεύματος δείξαντος βαπτιζόμενον Ιουδαίοις· διὰ δὲ καὶ ἡ καθόδος τὸ
πνεύματος γέγονεν. ἵνα γὰρ ἡ Ιωάννου μὴ καταφρονηθῇ μαρτυρία λέγοντος· ὅτι περὶτός μου ἦν,
καὶ ὅτι ἐν πνεύματι βαπτίζει καὶ ὅτι κρείττων τὸν οἰκουμένων καὶ ὁ πατὴρ φωνὴν ἀφίησιν ἀνακηρύττων
Ⓦ υἱόν, ἐξ τὸ πνεῦμα ἔπεισι, τὴν φωνὴν ἔλκει ὅπου τὴν κεφαλὴν τοῦ Χριστοῦ. ὅπου γὰρ
ὁ μὲν ἐβάπτιζεν, ὁ δὲ ἐβαπτίζετο, ἵνα μή τις τῶν πρόσθεν περὶ Ιωάννου νομίσῃ λέγεσθαι τὸ
εἰρημένον, ἔρχεται τὸ πνεῦμα διερρυσμένον τὴν τοιαύτην ὑπόνοιαν. ὥστε ὅταν λέγῃ, οὐκ
ἤδειν αὐτόν, Ⓦ ἔμπροσθεν λέγει χρόνου, ἀ " ἐγὼ τοῦ βαπτίσματος· ἐπεὶ πῶς αὐτὸν ἐκώλυε
λέγων, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι ; πῶς δὲ καὶ τοιαῦτα περὶ αὐτοῦ ἔλεγε ; πῶς δὲ
οὐκ ἐβαπτίσθησαν οἱ Ιουδαῖοι, φησι ; οὐδὲ γὰρ μόνος Ιωάννης εἶδε τὸ πνεῦμα ὡς εἶδεν περιστεράν.
ὅτι εἰ καὶ εἶδον, ἀλλὰ τὰ τοιαῦτα οὐχὶ τῶν τοῦ σώματος ὀφθαλμῶν δεῖται μόνον, ἀλλὰ περὶ
τούτων τοῦ καὶ διανοίας ὄψεως, ὥστε μὴ φαντασίαν περιπεῖν τὸ πεπραγμένον νομίσαι. Εἰ γὰρ θεω-
ματουργοῦντα ὁρῶντες, καὶ ἀπόλουσιν ταῖς ἰδίαις χερσὶ τὸν νεκροὺς καὶ τὸν τεθνηκότων, καὶ οὕτως
αὐτὸν περὶ ζωὴν ἐπαναγόντα καὶ ὑγείαν, τοσοῦτον ἐμέθυον ὑπὸ τῆς βασκανίας, ὥστε ἐ-
ναντία τοῖς ὁρωμένοις ἀποφαίνεσθαι· πῶς δὲ ἀπὸ τῆς βαπτίσεως τοῦ πνεύματος μείνῃς
ἀπεχρούσαντο τὴν ἀπιστίαν ; τινὲς δὲ φασιν οὐδὲ πάντας αὐτοὺς τεθεᾶσθαι, ἀλλ' ἢ μόνον Ιω-
άννην, ἐξ οὗ βλωμονέστερον ἀλλοιωμένους. Εἰ γὰρ καὶ ἀληθεῖς ὀφθαλμοῖς δυνατὸν ἦν
ἰδεῖν ὡς ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα κατιόν, ἀλλ' ὅμως διὰ τοῦτο πᾶσα ἀνάγκη πᾶσι
καταδῆλον εἶναι τὸ πεπραγμένον. καὶ γὰρ ἐξ Ζαχαρίας ἐν ἀληθεῖ εἶδεν πολλὰ τεθέαται, καὶ Δα-
νιὴλ ἐξ Ιεζεκιὴλ, καὶ κοινωνὸν τῆς θέας ἕνδεκα ἔχον· καὶ Μωϋσῆς ἦ πολλὰ εἶδε καὶ οἷα τῶν ἄλ-
λων οὐδείς· καὶ μεταμορφώσεως ἦ τὸ ὅτι διὰ ὁρᾶς διὰ πάντες " ἀπέλαυον οἱ μαθηταί· ἀλλ' διὰ δὲ
τὸ καὶ διὰ ἁμάρτησιν ὄψεως ἐκοινώνησε ἅπαντες. καὶ διὰ τοῦτο δηλοῖ σαφῶς ὁ Λουκᾶς εἰπών· ὃν ἔδειξεν
ἑαυτῷ

ἑαυτ" μάρτυσι τοῖς παρακεχειροτονημένοις ὑπὸ τῦ Θεοῦ. κἀγὼ ἑώρακα, καὶ μεμάρτύρηκα, ὅτι
οὗτός ἐστιν ὁ υἱὸς τῦ Θεοῦ. καὶ ποῦ ἐμαρτύρησεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τῦ Θεοῦ; ἀμφὸν μὲν γὰρ αὐτὸν
ἐκάλεσε, καὶ ὅτι πνεύματι βαπτίζειν ἤμελλεν. εἶπεν· ὑὸν ἦ Θεοῦ, ὥδαμοῦ. καίτοιγε
μὴ τὸ βάπτισμα τοῦτον αὐτὸν διαγράφοισιν εἰρηκότα ⓐ ἄλλοι διαπελισαὶ, ἀλλὰ τὰ με-
ταξὺ σιωπήσαντες, καὶ μὴ τῷ σύλληψιν Ἰωάννου γεγόμθαι τῦ Χεισοῦ θαύματα λέγου- 5
σιν· ἀφ' ὧν εὐχάριστος εἰκὸς, ὅλα καὶ ταῦτα καὶ πολλῷ ἕτερα πλείονα παραλελειπθέναι. καὶ
πῶτο αὐτὸς οὗτος ὁ διαπελισὴς πρὸς ὃν τέλει τῆς συγγραφῆς ἐδήλωσε. τοσῦτον γὰρ ἀπέ-
χουσι τῦ πλάσαι τι μέγα περὶ αὐτῦ, ὅτι τὰ μὴ δοκθέντα ἐπονείδιστα εἶ) πάντες" ὁμοφώνως καὶ ὁμοφώνως
καὶ μὴ ἀκριβείας ἕνεκεν ἁπάσης, καὶ οὐκ αὐθέρεσις ἐοικέναι αὐτῷ παραλιπόντα ὑδὲν τῶν τοι-
ούτων· τῶν ἦ χαλεπῶν, τὰ μὲν" ἄλλοις εἰάσαν, τὰ ἦ πάντες ἀπεσιώπησαν. ταῦτα δέ μοι 10 καὶ ἄλλων
οὐκ ἁπλῶς εἴρηται, ἀλλὰ πρὸς τινὰ τῶν ἑλλήνων διαιμωτίδων. ἐκεῖνοι γὰρ τῦτο τῦ φι-
λαληθοῦς αὐτῶν ἔσπε σῆμα, καὶ τῦ μηδὲν πρὸς χάριν λέγειν. ἵνα δειπνήσεται καὶ ταύτῃ μὴ τῶν
ἄλλων ὁπλίζεται τῇ τῶν λόγων ὑποθέσει πρὸς αὐτούς· ἀλλὰ πρόσεχετε. καὶ γὰρ ἄτοπον, ⓦ
μὴ ἰσχὺν μὴ ἀκριβείας ὑπὲρ τῆς τέχνης ἀγωνίζεσθαι τῆς αὐτῦ, καὶ ⓦ σκυτοτόμον, καὶ τῶν
ὑφαντῶν, ἵνα πάντας ἁπλῶς εἴπω τεχνίτας· τῶν ἦ χρισιανῶν εἶ) φάσκοντα, μὴ δυνάσθαι λέ- 15
γειν ὑπὲρ τῆς οἰκείας πίστεως. καίτοι σκῆνα μὲν πρόσφατα, εἰς χρήματα τινὰ
ζημίαν ἐνέγκαι· ταῦτα ἦ ἀμελούμενα αὐτὰ" ἡμῖν ἀφανίζει τὸν ψυχήν. ἀλλ' ὁ- χ. ἡμῶν
μως οὕτως ἀθλίως διακείμθα, ὡς ἐκείνοις μὲν ἅπασαν ἀποτέμνειν σπουδήν· τῶν ἦ ἀναγ-
καίων καὶ σωτηρίας ὑπάρξεως τῆς ἡμετέρας ὄντι, τούτων ὡς οὐδενὸς ἀξίων καταφρονῆν.
τοῦτο οὐκ ἀφίησι σοῦ ἔλλιπας τῆς οἰκείας ταχέως καταπλήσασα πλάνης. ὅταν γὰρ αὐλοὶ 20
μὲν ᾧ ψεύδει ζωισάμενοι πάντα πράττωσιν, ὥστε συσκιάσαι τῶν δογμάτων τὴν αἰχμήλωσιν·
ἡμᾶς ἦ, ⓐ τῆς ἀληθείας ἀπεφάνθαι, μηδὲ ἀφῆσαι τὸ σῶμα διαφθῆναι, πῶς ἂν πολλοὶ τῶν
δογμάτος καταγνώσονται τὴν ἀλήθειαν; πῶς οὐκ ἀπάτην καὶ μωρίαν τὰ ἡμέτερα ὑποπτεύσουσι; πῶς οὐ βλασφημήσουσι τὸν Χεισόν, ὡς ἕτερα καὶ ἀπατεῶνα, καὶ τῇ τῶν πολλῶν ἀ-
νοίᾳ πρὸς τὴν ἀπάτην ἀπολεξησάμθον; ταύτης δὲ ἡμᾶς ἄρτιοι τῆς βλασφημίας, οὐκ 25
ἐθέλοντες ἀγχυπνῆσι ὑπὲρ τοῖς ὑπὲρ εὐσεβείας λόγοις, ἀλλὰ πέρδικα διδύμοι ταῦτα, καὶ ταῖς
τῆς γῆς μελεμωνῖται. καὶ ὀρχησοῦ μὲν ἡδὺς ἐρᾷ, καὶ ἰσχύει, καὶ τοῦ τοῖς θείοις πυκθύοντος,
πάντα κινῆ καὶ περαγματεύεται), ὥστε ὑπὲρ τοῖς ἀγῶσι τοῖς ὑπὲρ αὐτῦ μὴ ἔλαττον ἔχειν ἀπελ-
θεῖν, καὶ μακροῖς ζωείεσυσιν ἐπαίνοις, πρὸς τὸς κατηχεσιῶντας αὐτῦ ἀπολογίαν ζωπθέν- χ. σκηπτο-
τας, καὶ μυείοις βάλλοντες σκώμμασι τοῦ ἀνταιτιωμένους· ὑπὲρ ἦ χρισιανισμοῦ" πρὸς ἐκει- 30 μένων
νους λόγων, πάντες καίπερ νέοισι, καὶ κρώπται, καὶ χασμῶνται, καὶ καταγελασθέντες διάκωφοῦ-
σι. καὶ πῶς οὐκ ἄξια ταῦτα μυείας ὀργῆς, ὅταν ὁ Χεισὸς ἀτιμότερος ὀρχησοῦ φαίνηται
πρὸς ὑμᾶς, εἰ γε ὑπὲρ μὲν τῶν ἐκείνοις πεπραγμένων μυείας ἀπολογίας μεμνητέκα-
τε, καίτοιγε πάντων ὄντων" αἰσχροτέρων, ὑπὲρ ἦ τῶν τῦ Χεισοῦ θαυμάτων, καίτοιγε τινὰ οἰ- χ. αἰσχῦ-
κειμένων ὑπεσασαμένων, οὐδὲ ἐνοήσατέ πω καὶ μεμνήσας διέκεισθε; πῖς βύομθα εἰς πα- 35
τέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, εἰς ἀνάσασιν σωμάτων, εἰς ζωὴν αἰώνιον. ἀλλ' τοίνυν ἔρηται
τις ἑλλήνων, τίς ποτέ ἐστιν οὗτος ὁ πατήρ, τίς ἦ ὁ υἱός, τίς ἦ τὸ πνεῦμα τὸ" ἅγιον; ἢ πῶς καὶ ὑ- χ. ἅγιον πνεῦ-
μεῖς, πρεῖς λέγοντες θεὺς, ἡμῖν ἐγκαλεῖτε πολυθεΐαν; τί ἐρᾶτε; πῖ ἦ ἀποκρινεῖσθε; πῶς ἀπο- μα λόγιον θεὸς
κρύσεσθε τὸν παρόντα λόγον τῶνδε; πῖ ἦ, ἂν σιγώντων ὑμῶν πάλιν ἐπενέγκῃ τὸ ἕ- καὶ ἡμῖν
τερον ζήτημα, τί δέ ἐστιν ὅλως ἀνάσασις, ἐρωτῶν; ἆρα γὰρ ἐν τούτῳ τῷ σώματι πάλιν ἀνα- 40
στησόμθα; ἆρα ἐν ἑτέρῳ παρὰ τῦτο; καὶ εἰ ἐν τούτῳ, πῖς χρεία αὖθις καταλυθῆναι; τί
παρὸς ταῦτα ἐρᾶτε; πῖ ἦ, δῦ λέγω· ἀμφότερα, καὶ μὴ ἐν τοῖς ἔμπροσθεν χρόνοις πρᾶγμέ-
νον ὁ Χεισός; ναὶ ἔδοξεν αὐτῷ προνοῆσαι τῶν ἀνθρώπων, ⓦ ἦ ἄλλον ἄπαντα χρόνον χ. καὶ ἕπερ
ἡμῶν καταφρόνει; ἢ καὶ ἄλλα ἔτι πρὸς τούτοις τούτων πλείονα ἀξιεπάξη; οὐδὲ γὰρ ἀναγκαῖ- ον

ον πολλὰ ἐφεξῆς ζητήματα πιθήτα, ζαὶ λύσεις ἀποσιγᾶν· ὥστε μὴ ζοῦ ἀφελεσίερος ζαὶ τὴ ῥᾳθολαθίᾳ. ἀρκεῖ γὰ ζ τὰ εἰρημένα τοῖς ὀ ἀποτινάξαι ὑμᾶς ⓦ ὕπνον. τί οὖν, αἰ ζαῦτα ὀζεταίζοντι, ὑμεῖς ὀ μηδὲ τῶ ῥημ ἐχ ὑπακοῦειν" δυνήσε ἁπλῶς τούτων, ἃ ἐγὰ μιχρὰν ἐποιησάμθα δίκιν, εἰπέ μοι, τοσαύτης πλαίης ἄξιοι ἠμόμθοι τοῖς ἐν τῷ σκό-
5 πει καθημένοις; ἐβουλόμιν, εἶγε σχολῆς ἀπολαύετε πολλῆς, εἰς μέσον ἀπάντων ὑμῶν μιαρᾶ τινος ἕλλινος φιλοσόφου βιβλίον καθ' ἡμῶν εἰρημένον ἀναγινῶν, ζ" ἑτέρου πάλιν παρεσθυτέρου τούτου, ἵν' ὕτω γνῶ ὑμᾶς δεδιωέρησα ἐχ τῆς πολλῆς νωθείας ἀπήγαγον. εἰ γὰ ἐκεῖνοι, ὥστε καθ' ἡμῶν εἰπεῖν τοσαῦτα, ἠγρύπνησαν· τίνος δ' εἰνεκεν ἡμεῖς συνῳόμεθα ἄξιοι, εἰ μηδὲ ζαὶ παρὰ ζολὰς καθ' ἡμῶν εἰσόμθα ἀποκρούσασθαι; τίνος ὀ ἕνεκεν ἐχ παρ-
10 ρησιαζόμθα; οὐχ ἀκούεις τοῦ ἀποσόλου λέγοντος· Ἑτοίμως ἔσχε παρὰ τοῖς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος; ἐχ ὁ Παῦλος" ὀ τὰ αὐτὰ θαμβῶ, λέγων· Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως. ἀλλὰ τί φασι παρὰ ζαῦτα ⓐ κηφή-
νων" ἀργότεροι; Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ· ἐχ ὁ πορδυόμενος ἁπλῶς, πορδύεται πεποιθώς. τοῦτο γὰ πάντων αἴτιον τῶν κακῶν, ὅτι ζαὶ τὰς μαρτυρίας τῶν γραφῶν παρὰ δέον ὑπίσανται θαμβάνειν ⓐ πολλοί. οὐ γὰ ⓦ αἰσχρὸν ἐν ζαῦτά φησιν, ζαὶ ⓦ ζαὶν εἰδότα, ἀλλὰ ⓦ ἀπόπεσον, ⓦ μὴ κακοῦργον, ⓦ ζωπόν. ἐπεὶ εἰ * τοῦτο ἦν, ἐφεστὼς ἦν" λέγειν, Γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις, ἐχ ἀκέραιοι ὡσεὶ περιστεραί. ἀλλὰ τί ζαῦτα χρὴ λέγειν, εἰς ζαὶν δέον ἀπάντων τούτων τοῦ λόγου; παρὰ γὰ τοῖς εἰρημένοις, ζαὶ ἄλλα ἡμῖν κατώρθωται, τὰ τοῦ βίου ἐχ τῆς ζωῆς λέγω, ἀλλὰ πάντοθεν ἄθλιοι, ζ καταγέλασοί
20 ἐσμεν, ζ αἰτιᾶσθαι μᾶλλον ἀεὶ παρέχομεν, διαβολὰς ὀ, ἐφ' οἷς αἰτιώμθα ἐχ ἐγκαλύμθα, ὀκνηροί. διὰ θαμβακαλῶ νῦν γνῶ ἡμῶν αὐτῶν ἡμουμένους μὴ μέχρι τῆς κατηγορείας ἵσασθαι μόνον (ὁ γὰ ἐκεῖνο τοῦτο ὀζιλεώσασθαι ⓦ Θεόν) ἀλλ' ἀρίζω πάντοθεν ἐπιδείξασθαι τὴν μεταβολήν, ἵνα εἰς δόξαν τοῦ Θεοῦ βιώσαντες, ἐχ αὖθι τῆς μελλούσης ἀπολαύσωμθα δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ὑπάρξαι χάριτι ζαὶ φιλανθρωπίᾳ τοῦ
25 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. ιη. 35 ΤΗ ΕΠΑΥΡΙΟΝ ΠΑΛΙΝ ΕΙΣΤΗΚΕΙ Ο ΙΩ-
πεφη κατ' αὐτὰς λαλῶ ἢ ὄ. πῶς οὖν αὐτῷ, ἡ οὐκ αὐτῷ; ὃ γὰρ εἶπεν, ἡ διδασκαλία αὕτη οὐκ ἔστιν ἐμή· ἀλλὰ τοῦ πέμψαντος εἶπεν, ὅτι ἐμὴ ὅστι, ἡ οἰκειωσάμενος αὐτὴν, τότε ἐπήγαγε, οὐκ ἔστιν ἐμή. πῶς οὖν τὸ αὐτὸ δυνάσται εἶ) ἡ αὐτῷ, ἡ οὐκ αὐτῷ; αὐτῷ μὲν, ὅτι ὡς μὴ διδασκόμενος ἔλεγε· οὐκ αὐτῷ δ', ὅτι τοῦ πέμψαντος ἡ διδασκαλία. πῶς οὖν λέγει· Πάντα τὰ ὅσα ἔχει ὁ πατὴρ ἐμά ὅστι, ἡ τὰ ἐμὰ αὐτῷ; Εἰ γὰρ ὅτι τοῦ πέμψαντός ὅστι, διὰ τοῦτο οὐκ ἔστι σὸ, φθόνος ἐκάνο· διὰ τοῦτο γὰρ ὠφέλει εἶ) σὸ. ἀλλὰ τὸ, οὐκ ἐμὴ, στοχάζου αὐτῷ ἡ τοῦ πέμψαντος μίαν εἶ) δηλοῖ τὴν διδαχήν· ὡσανεὶ ἔλεγε· οὐδὲν ἔχει πρόσλαγμβάνον, ὡς ἑτέρα οὖσα. Εἰ γὰρ ἡ ὑπόστασις ἄλλη, ἀλλ' ὅτω δὲ λέγω ἡ προσέχω, ὡς μὴ νομίζεσθαι ἑτέροι τινὶ παρὰ Ⓦ πατέρα, ἀλλὰ δι' οὗ ὅπερ ὁ πατὴρ εἶπεν, ἢ ἔπραξεν. Εἶτα ἡ ἄλλον ἐπάγει συλλογισμὸν ἀναντίρρητον, ἀνθρώπινόν τι παράγων εἰς μέσον, ἡ ἀπὸ τῶν ἐν ζωηθείᾳ παιδιῶν. Τί οὖν τοῦτο ἐστιν;

18 Ο ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ, Τουτέστιν, ὁ βουλόμενος ἰδίαν τινὰ σῆσαι διδασκαλίαν, δι' οὗπερ ἕτερον βούλεται, φησὶν, ἀλλ' ὥστε τὴν δόξαν αὐτὸς καρπώσασθαι. Εἰ δὲ ἐγὼ ὃ βούλομαι καρπώσασθαι δόξαν, ἵνος ἕνεκεν ἰδίαν τινὰ βάλλομαι σῆσαι διδασκαλίαν; ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τουτέστιν, ὁ ἴδιόν τι ἡ πρόσλαγμένον, δηλονότι τοῦτο λαλεῖ, ἵνα τὴν δόξαν αὐτοῦ σήσῃ. Εἰ δὲ ἐγὼ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶ, ἵνος ἕνεκεν οὐκ ἐλείμμαν ἕτερα διδάσκειν; ὁρᾷς ὅτι αἰτία τις ἐστὶν, δι' ἣν ἡ ἐκεῖνος ἔλεγε μηδὲν ἀφ' ἑαυτοῦ ποιῶν; τίς δὲ αὕτη; ἵνα πίστωσιν, ὅτι ὑπὲρ δόξης ἐφίεται τῆς τοῦ πολλῶν. δηλονότι τοῦτο ὅταν μὲν ταπεινὰ λέγῃ, ἐγὼ τὴν δόξαν τοῦ πέμψαντός ζητῶ, φησὶ, πάντα χοῦ πειθομένου βουλόμενος αὐτὸν, ὅτι ὑπὲρ δόξης ἐρᾷ. τῶν μὲν οὖν ταπεινῶν φθέγγεσθαι πολλαί εἰσιν αἰτίαι, οἷς, ὃ μὴ ἀγώνιστον νομισθῆναι, ὃ μὴ φιλόνεικον, ὃ σάρκα προσβεβλῆσθαι, ὃ ἀσθενεῖς τοὺς ἀκούοντας, ὃ διδάσκειν τοῦτο φιλοσόφως μετειάζειν ἡ μηδὲν πρὸς ἑαυτὸν λέγειν μέγα· τῶν δ' ὑψηλῶν φθέγγεσθαι μίαν εὕροις ἂν αἰτίαν, τῆς φύσεως τὸ μέγεθος. Εἰ γὰρ, ὅπου εἶπε, πρὸ τοῦ Αβραὰμ ἐγὼ εἰμι, ἐσκωδαλίσθησαν, τί οὐκ ἂν ἔπαθον, ἀεὶ ῥημάτων ὑψηλῶν ἀνθρώπων ὄντες;

19 Ου Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, ἡ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; τί με ζητεῖτε ἀποκτεῖναι; Καὶ ποίαν ἀκολουθίαν ἔχει τοῦτό, φησὶν, ἢ τί κοινὸν πρὸς τὰ προτερον εἰρημένα; δύο ἐγκλήματα ἐπήγαγεν· ἓν, ὅτι τὸ σάββατον λύει· ἄλλο, ὅτι πατέρα ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. ὅπερ γὰρ ὃ τῆς ἐκείνων ὑπονοίας ἦν, ἀλλὰ τῆς αὐτοῦ γνώμης, ἡ ὅπερ οὐχ ὡς Ⓐ πολλοὶ, ἀλλ' ἐξαιρέτως ἡ ἰδιαζόντως ἔλεγε, δῆλον ἐκάνθεν. πολλοὶ πολλάκις πατέρα εἶπον τὸν Θεὸν ἑαυτῶν· οἷς, Οτι Θεὸς εἷς ἔκτισεν ἡμᾶς, ἡ πατὴρ εἷς πάντων ἡμῶν· ἀλλ' ὃ προσέχει τοῦτο ἴσος ἦν ὁ λαὸς τῷ Θεῷ, ὅθεν οὐδὲ ἐσκωδαλίζοντο οὐχοῦντες. ὥσπερ οὖν ὅτε, οὐκ ἔστιν ἐκ Θεοῦ, ἔλεγεν, ἐπεὶ ἐθεράπευσεν αὐτοῦ πολλάκις, καὶ ὑπὲρ τῆς τοῦ σαββάτου λύσεως ἀπελογήσατο· οὕτω ἡ τοῦτο, εἰ τῆς ἐκείνων ὑπονοίας ἦν ἡ μὴ τῆς αὐτοῦ γνώμης, διώρθωσεν ἂν ἡ εἶπε· τί με νομίζετε ἴσον τῷ Θεῷ; οὐκ εἰμὶ ἴσος. ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ [ἡ] τοιοῦτον, ἡ ἀπέδειξεν, ὅτι ἴσος ὅστι τῷ ἐξῆς. Ὃ γὰρ, Ωσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς ἡ ζωοποιεῖ, οὕτω ἡ ὁ υἱὸς, καὶ, Ινα πάντες τιμῶσι Ⓦ υἱὸν, καθὼς τιμῶσι Ⓦ πατέρα, ἡ, Ωσπερ ἃ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ, ταῦτα πάντα τῆς ἰσοτιμίας ὅστι συσταπικά. ἡ πρὸς τοῦτο νόμιζε λέγειν· Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας. οὕτως οἶδε καὶ τὰς ἐν διανοίᾳ πονηρὰς ὑπονοίας ἐξελεῖν. ἐνταῦθα δὲ τοῦ τοῦ ἴσου ὑπονοιαν, ὃ μόνον οὐκ αἴρει, ἀλλὰ καὶ βεβαιοῖ. διὸ καὶ ἀλλαχοῦ εἰπόντων αὐτῷ, ὅτι ποιεῖς σεαυτὸν Θεόν, οὐκ ἀφῆκε τοῦ ὑπονοίαν, ἀλλὰ ἐβεβαίωσεν εἰπών· Ινα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει τῷ παραλυτικῷ· Αἶρον τὸν κράββατόν σου ἡ πορεύ-

Ιωαν. κ. ι.

Μιχ. ζ. ι.

Ιωαν. ε. κα.

Ματθ. ε. ιζ.

Ματθ. θ. ς.

τή. σχῆνο μὶ οὖν ὃ πρότερον ἐπέτεινε, ὃ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, δείκνις ὅτι οὐκ ἔστιν αὐτῇ θεος, ἀλλὰ καὶ ταῦτα λέγῃ, καὶ τὰ αὐτὰ σχείνῳ διδάσκει· λοιπὸν ἡ πρὸς τίνι τὸ σαββάτω λύσιν ἴσαται λέγων· ὁ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν τηρεῖ τὸν νόμον; ὡσανεὶ ἔλεγε· εἶπεν ὁ νόμος, ὁ φονεύσεις· ὑμεῖς δὲ φονεύετε, καὶ ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον. διὰ τί δὲ εἶπεν, οὐδεὶς; ὅτι πολλοὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι. ἐγὼ μὶ οὖν εἰ καὶ ἔλυσα Ⓦ νόμον, φησίν, ἀλλὰ δι' εὐσεβειαν σώσας· ὑμᾶς δὲ παραβαίνοντες ὅτι κακῶ. ὃ ἐμοὶ εἰ καὶ παράβασις ἰῶ, ἀλλ' ὅτι σωτηρία, καὶ οὐκ ἐγκαλῶ ὑφ' ὑμῶν τῷ τὰ μεγάλα παραβαινόντων ἐμὲ κρίνεσθαι. ὃ γὰρ ὑμέτερον, ἀνὰ δύο τὸ νόμος πρωτός. εἶτα καὶ ἐπαγωνίζεται, καίτοι πολλὰ καὶ πάλαι διελεγμένος· ἀλλὰ τότε μὲν ὑψηλότερον ἐς τῷ αὐξίδη τῶν αὐτῶν, νῦν δὲ ταπεινότερον. τί δήποτε; ὅτι οὐκ ἐβούλετο ζωγρῶν παροξύνειν αὐτούς. νῦν δὲ τὰ τῆς ὀργῆς ὅτι τέτατο, καὶ εἰς φόνον προῆσαν. διὸ μέσει δύο τούτοις καταγέλων αὐτούς· τῷ τε ἐλέγξαι αὐτὸ τὸ τόλμημα καὶ εἰπεῖν, τί με ζητεῖτε ἀποκτεῖναι; καὶ ὡς μετ' ὀλιγοστειχείας εἰπεῖν, μὴ δαιμόνιον, ὃς τίνι ἀληθῶν λελάληκε, καὶ ὧν δείξαι, ὅτι φονεύοντες οὐκ εἰσὶν ἄξιοι κρίνειν ἕτερον. σὺ δὲ ὅρα καὶ τῆς ἐρωτήσεως τὸ ταπεινὸν τῆς τῶ Χριστοῦ, καὶ τῆς ἀποκρίσεως σχείνων τὸ θρασύ. χ. δὲ χ. ἄνθρωπε, χ. ἀρχῶν

20 Δαιμόνιον ἔχεις, τίς σε ζητῷ ἀποκτεῖναι; Ὀργῆς τὸ ῥῆμα καὶ θυμοῦ καὶ ψυχῆς ἀναφωνήσης ὅτι ὧν παραδόξως ἐληλέγχθαι, καὶ περικαταπληττομένης αὐτῷ, ὡς φησιν. καθάπερ γὰρ λησταί τινες ἄδοντες ὅτι ταῖς ὁπλοθουλαῖς, εἶτα βουλόμενοι ἀφύλακτον ἐργάσασθαι Ⓦ ὁπλοθουλευόμενον, ἀφ' ἑαυτῆς σιωπῆς τοῦτο ποιοῦσιν· ὕπνω καὶ γάρ τοι. αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο, ὥστε μὴ ἀναφωνητοτέρους ποιῆσαι, πάλιν τῆς ἀπολογίας ἄπεται τῆς ὑπὲρ τοῦ σαββάτου, ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτούς. καὶ ὅρα πῶς σιωπᾷ. οὐδὲν θαυμαστόν, φησιν, εἰ ἐμοῦ παροχύνεσθε, ὅπου γε τοῦ νόμου, ὃν δοκεῖτε ἀκριβεῖν, καὶ οὗ νομίζετε παρὰ Μωϋσέως δεδόσθαι, παραχούετε. οὐδὲν οὖν καινόν, εἰ τοῖς ἐμοῖς ὑ προσέχετε λόγοις. ὅπερ γὰρ ἔλεγον, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί, δείκνυσιν ὅτι καὶ εἰς σχῆνον ὑβρίζον. καὶ γὰρ Ⓦ νόμον σχῆνος ἔδωκε, καὶ οὐκ ἤκουσαν.

21 Εν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. Σκόπει πῶς εἶθα ἀν ἀπολογήσασθαι δεῖ καὶ ὡς ἔγκλημα δείξαι, συλλογίζεται. τὸ γὰρ γεγονὸς, ὑ τὸ τοῦ παρόντος, ἀλλὰ τὸ αὐτῷ προσωπον εἰσάγει· ἓν ἔργον ἐποίησα. θέλει δεῖξαι, ὅτι τὸ μὴ ποιῆσαι, λῦσαι Ⓦ νόμον ἰῶ· καὶ ὅτι ὅτι πολλὰ τῶ νόμω κρείττονα· καὶ ὅτι ἐντολῶ ἰώμενον δέξασθαι Μωϋσῆς τοῦ νόμου, καὶ τοῦ νόμω κρείττονα. τοῦ γὰρ σαββάτου ἡ περιτομὴ κρείττων· καίτοι οὐκ ἔστι τοῦ νόμου, ἀλλὰ τῶν πατέρων. ἐγὼ δὲ καὶ τῆς περιτομῆς τὸ κρείττονα ἐποίησα καὶ χρῆσιν. εἶτα ὑ μέμνηται ἐντολῆς νομικῆς, οἶδ, ὅτι Ⓓ ἱερεῖς τὸ σάββατον βεβηλοῦσι, καθάπερ ἤδη εἶπεν, ἀλλ' οὐ μείζονος περιουσίας. τὸ δὲ θαυμάζετε, τοῦτο ἔστι, θορυβεῖσθε, ταράττεσθε. εἰ γὰρ ἔδει εἶναι βέβαιον Ⓦ νόμον, οὐκ ἂν ἡ περιτομὴ αὐτῷ κρείττων ἰῶ. καὶ οὐκ εἶπεν, ὅτι μείζον ἐποίησα τῆς περιτομῆς, ἀλλ' οὐ περιουσίας ἐλέγχει ὧν εἰπεῖν, χ. ἀλλὰ καὶ ὑπέξαιρε τὴν λέξιν, καὶ σὺ

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος. Ορᾶς ὅτι τότε μάλιστα ἴσαται ὁ νόμος, ὅταν αὐτὸν λύῃ; ὁρᾶς ὅτι ἡ τοῦ σαββάτου λύσις, τήρησίς ἐστι τοῦ νόμου; ὡς εἰ μὴ ἐλύθη τὸ σάββατον, ἀναγκη Ⓦ νόμον ἰῶ λυθῆναι· ὥστε καὶ ἐγὼ ἔσησα αὐτόν. καὶ οὐκ εἶπεν, ἐμοὶ χολᾶτε ὅτι μείζον περιτομῆς εἰργασάμην, ἀλλὰ τὸ γεγονὸς μόνον εἰπὼν, αὐθις τὴν κρίσιν ἐπέτρεψεν, εἰ μὴ περιτομῆς ἀναγκαιότερον ὁλόκληρος ὑγίεια. ἵνα σημεῖον λάβῃ ὁ ἄνθρωπος οὐδὲν πρὸς ὑγείαν ζωτελοῦν, λύεται νόμος, φησίν· ἵνα νόσον τοσαύτης ἀπαλλαγῇ, δυσχεραίνετε καὶ ἀγανακτεῖτε;

24 Μὴ κρίνετε κατ' ὄψιν. Τί ἐστι, κατ' ὄψιν; μὴ ὅπερ Μωϋσῆς μείζονα πρὸς ὑμῶν ἔχῃ τὴν δόξαν, ἀπὸ τῶ τῷ προσώπων ἀξιώματος φέρετε τὴν ψῆφον· ἀλλ' ἀπὸ τῆς τῷ πραγμάτων

πραγμάτων φύσεως. τοῦτο γὰρ ὅτι ὁ δικαίως κρῖναι. διὰ τί γὰρ οὐδεὶς ἐτόλμησε Μωϋσεῖ; διὰ τί οὐδεὶς ἠπείθησε χελιδόντι τὸ σάββατον λύεσθαι; ἆρα ὁ ἐντολῆς ἔξωθεν ἐπεισενεχθείσης τῷ νόμῳ; ἀλλ' ἐκ τοῦ οἰκείου νόμου ἀνέχεται ἐντολιῶν ἐνυλωτέρων, ἐνυλοτέρων, τί οὖν; ὁ ἐκ τοῦ νόμου εἰσενεχθεῖσαν, ἀλλ' ἔξωθεν, ὅπερ ὅτι μάλιστα θαυμαστόν· ὑμεῖς δὲ οὐ νομοθέται, πέρα τοῦ μέτρου ἐκδικεῖτε τὸν νόμον καὶ ἀμιώσετε αὐτόν. ἀλλὰ ἀξιοπιστότερος ὑμῶν ὅστις ὁ Μωϋσῆς, ὁ χελιδὼν λύειν τὸν νόμον παρὰ ἐντολὴν οὐ νομίμως. δῶρον εἰπεῖν, ὅλον ἄνθρωπον, δείκνυσι μεγαλοψυχίαν καὶ τὸ φειτομικὸν καὶ τὸ φειτομικόν; Ψυχή, φησι, πᾶσα, ἥτις ἐὰν μὴ φειτομηθῇ, ἐξολοθρευθήσεται. ἐγὼ δὲ οὐκ ἀπὸ μέρους κεκαχωμμένον, ἀλλ' ὅλον διεφθαρμένον ἀνέκρινα. μὴ κρίνετε [τοίνυν] κατ' ὄψιν. χωφρόπου. Γεν. ιζ. ιδ.

Τοῦτο πεπόμφαμεν μὴ τοῖς τότε εἰρῆσθαι μόνον, ἀλλὰ καὶ ἡμῖν, ὥστε μηδενὶ τοῦ πτωχοῦ ἕνεκα μόνον, ἀλλὰ πάντα μᾶλλον φθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα τοῦτο ποιεῖν. Εἴτε πένης, εἴτε πλούσιος ἢ τις, μὴ τοῖς φειδομένοις φείδεσθαι, ἀλλὰ τὰ φείδηματα ἐξετάζειν. Οὐκ ἐλεήσεις, φησί, πένητα ἐν κρίσει. Τί δή ὅτι τὸ λεγόμενον; μὴ καταλαλοῦ, μηδὲ ἐπιχαμφθῇς, φησίν, ἐὰν πένης ὁ ἀδικῶν τύχῃ. Εἰ δὲ πένητι χαρίζεσθαι δεῖ, πολλῷ μᾶλλον πλουτοῦντι. Ταῦτα δὲ λέγω, ὅτι φειδὼς τοῦ δικάζοντας μόνον, ἀλλὰ καὶ φειδὼς πάντας δεῖ θεῖναι, ὥστε μηδαμοῦ φθείρειν τὸ δίκαιον, ἀλλὰ πάντα χρὴ ἀκέραιον φυλάττειν. Ἀγαπᾷ, φησι, δικαιοσύνην ὁ Κύριος." ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν. μὴ δὴ μισήσωμεν τὰς ἑαυτῶν ψυχάς, μηδὲ ἀγαπήσωμεν ἀδικίαν. "πάντως γὰρ αὐτῆς ὁ κέρδος" νῦν μικρὸν καὶ οὐδέν· "ἀλλ' εἰς τὸ μέλλον μεγάλα ζημιοῖ· μᾶλλον δὲ οὐδὲ ἐν τούτῳ αὐτῆς ἀπολαυσόμεθα. ὅταν γὰρ μὴ ζωειδότος ποτηροῦ πεφθῶμεν, ἆρα καὶ κόλασις καὶ ἀμφεία τοῦτο; ἀγαπήσωμεν τοίνυν τὸ δίκαιον καὶ μηδαμοῦ" παραβλέψωμεν τὸν νόμον. τί γὰρ ὠνησόμεθα ἐκ τοῦ παρόντος καρπώσασθαι βίου, ἂν μὴ λαβόντες ἀρετὴν ἀπέλθωμεν; τί δὲ ἐκεῖ ἡμῖν φειδήσεται; φιλία καὶ συγγένεια καὶ ἡ τοῦ δεῖνος χάρις; καὶ τί λέγω, ἡ τοῦ δεῖνος χάρις; καὶ γὰρ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ ἔχωμεν πάντα, οὐδὲν ἡμᾶς ὠφελήσει τοῦτο, ὅταν ἀπὸ τῶν οἰκείων ἔργων ὦμεν φειδόμενοι. [ἀλλ'] ἑνὸς ἡμῖν δεῖ μόνου, ἀρετῆς τῆς κατὰ ψυχήν. αὕτη ἡμᾶς μόνη σώσασα δυνήσεται καὶ ἀπαλλάξαι τοῦ αἰωνίου πυρός· αὕτη φειδομένη εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΗΘΙΚΟΝ πάντη ὑμᾶς μόνον, χρὴ δὲ ἐγ. χαίρειν. ψυχήν; χαίρειν ἢ ἀπολωλέναι φασὶ μᾶλλ. καταβαλέσθαι Ψαλμ. μδ.

## Ομιλ. ν. 25 ΕΛΕΓΟΝ ΟΥΝ ΤΙΝΕΣ ΕΚ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΙΤΩΝ· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; 26 Καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. μήτι ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; 27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν.

Ὁ δὲν ἁπλῶς ἐν ταῖς θείαις γραφαῖς κεῖται· πολλάκις γὰρ εἰρημένα εἰσὶν ἀκριβῆ· διὸ πάντα μὴ ἀκριβείας ἐξετάζωμεν. ἔστι γὰρ ἀπὸ μιᾶς λέξεως ἔνεστιν ὁλόκληρον θύρσον νοῆσαι, οἷς δὴ καὶ νῦν ἡμῖν ὅστι χρείμενον. πολλοὶ γὰρ ἐκ τῶν Ἱεροσολυμιτῶν ἔλεγον· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. τί δήποτε προσκειται τῶν Ἱεροσολυμιτῶν; δείκνυσιν ὁ εὐαγγελιστής, ὅτι μάλιστα τῶν μεγάλων ἀπολελαυκότες σημείων οὗτοι πάντων ἦσαν ἐλεεινότεροι, οἳ τῆς θεότητος αὐτοῦ σημεῖον ἑωρακότες μέγιστον, ὃ πάντων τῇ κρίσει τῶν ἀρχόντων ἐπέτρεπον τῶν διεφθαρμένων.

εφθαρμένων. ἢ γὰρ μέγα σημεῖον, μαινομένους καὶ φονεύοντας καὶ πανδημεὶ ἁρπάζοντας καὶ ζητοῦντας ἀνελεῖν, καὶ κατέχοντας ἐν χερσὶ, ἡσυχάζειν ἐξαίφνης; Τίς γὰρ ἀπέτρεψε τοῦτο ἐποίησε; τίς ὁλόκληρον μανίαν οὕτως ἔσβεσεν; ἀλλ' ὅμως μὴ τοσαῦτα σημεῖα, ὅσα τοῖς ἀνοήτοις καὶ τοῖς μανίοις. οὐκ ἔστιν ὅτι οἱ ζητοῦσιν ἀποκτεῖναι; ὅσα πῶς ἑαυτοῖς κατηγορεῖσιν. οἱ ζητοῦσί, φησιν, ἀποκτεῖναι, καὶ οὐδὲν αὐτῷ λέγουσι. Καὶ οὐκ ἁπλῶς οὐδὲν αὐτῷ λέγουσιν, ἀλλὰ καὶ παρρησιαζομένῳ. ὁ γὰρ παρρησίᾳ λαλῶν καὶ μετ' ἐλευθερίας ἁπάσης, μᾶλλον αἰ αὐλοὶ πρόσωπον· ἀλλ' οὐδὲν ἐποίουν. μήποτε ἀληθῶς ἔγνωσαν, ὅτι οὗτός ἐστιν ὁ Χριστός; ὑμῖν τί δοκεῖ; ποῖον πρὸς αὐτὸν φέρετε ψῆφον; τὸν σαμαρίτην, φησί. διὰ τοῦτο ἔλεγον· ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν. ὦ τῆς πονηρίας, ὦ τῆς σαπρολογίας· οὐδὲ ταῖς τῶν ἀρχόντων ἔπονται ψήφοις, ἀλλ' ἑτέραν σκέψεως διεφθαρμένην, καὶ τῆς οἰκείας δυσίας ἀξίαν. οἴδαμεν αὐτὸν, φησι, πόθεν ἐστίν. Ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. Καὶ μετὰ τοῦτο ἄρχοντες ὑμῶν ἐρωτῶμενοι ἔλεγον, ὅτι ἐν Βηθλεὲμ γεννᾶται. καὶ πάλιν ἄλλοι λέγουσιν, Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσῆ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. οἴδαμεν πόθεν ἐστί, καὶ οὐκ οἴδαμεν πόθεν ἐστίν. ὅσα μεθυόντων ῥήματα. καὶ πάλιν· μὴ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός; οὐκ ἀπὸ Βηθλεὲμ τῆς κώμης; εἶδες μανιωμένων φῆφον; οἴδαμεν, καὶ οὐκ οἴδαμεν· ἀπὸ Βηθλεὲμ ἔρχεται ὁ Χριστὸς, ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. Τί ταύτης τῆς μάχης σαφέστερον; τοὺς γὰρ ἓν μόνον εἰρῶν, τὸ μὴ πειθῶνται. τί οὖν τοὺς τοιούτους ὁ Χριστός;

Ιωαν. θ. κθ.

χ. ὑπερβ.

28 Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμὶ, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Καὶ πάλιν· Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἤδειτε ἄν. πῶς οὖν φησιν αὐτοὺς καὶ εἰδέναι αὐτὸν, καὶ πόθεν ἐστί· καὶ πάλιν, μήτε αὐτὸν εἰδέναι, μήτε τὸν πατέρα; οὐκ ἀναμφιλογῶν (ἄπαγε) ἀλλὰ καὶ σφόδρα ἑαυτῷ ἀκολουθῶν. ἑτέρωθι γὰρ λέγει γνώσῃ, ὅταν λέγῃ, οὐκ οἴδατε, ὥσπερ ὅταν λέγῃ· υἱοὶ Ηλεὶ, υἱοὶ λοιμοὶ, καὶ οὐκ εἰδότες τὸν Κύριον. καὶ πάλιν, Ισραὴλ δέ με οὐκ ἔγνω. ὡς καὶ Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ἔστιν ἃ καὶ μὴ εἰδέναι εἰδόσι. Τοῦτο οὖν φησιν, Εἰ ἐμὲ οἴδατε, οἴδατε ὅτι τοῦ Θεοῦ υἱός εἰμι. Ὃ δὲ, πόθεν εἰμὶ, τὸν τόπον οὐ ζητοῦσά φησι. καὶ δῆλον ἐκ τῆς ἐπαγωγῆς· Καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· ἀγνοοῦσι γὰρ οὐ τοῦτο λέγων, τὸν τόπον τῶν ἔργων. [καθὼς Παῦλός φησι, Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.] οὐδὲ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα, ἀλλὰ κακίας καὶ πονηρᾶς γνώμης, ὅτι καὶ τοῦτο εἰδότες, ἀγνοεῖν βούλονται. πλὴν ποία ἀκολουθία ταῦτα; πῶς γὰρ ἐλέγχων αὐτοὺς, τὰ αὐτῶν φθέγγεται; εἰπόντων γὰρ ἐκείνων, τοῦτον δὲ οἴδαμεν πόθεν ἐστὶν, ἐπήγαγε, καὶ ἐμὲ οἴδατε. τί γὰρ εἶπον ἐκεῖνοι; ὅτι οὐκ οἴδαμεν; καὶ αὐτοὶ μὲν οὖν τοῦτο ἔλεγον, ὅτι οἴδαμεν. ἀλλ' ἐκεῖνοι μὲν, οἴδαμεν πόθεν ὅτι λέγοντες, οὐδὲν ἄλλο ἐσήμαινον, ἀλλ' ἢ ὅτι ἐκ τῆς γῆς ἐστι, καὶ ὅτι τοῦ τέκτονός ἐστιν υἱός· αὐτὸς δὲ αὐτοὺς ἀνῆγε εἰς τὸν οὐρανὸν, λέγων· οἴδατε πόθεν εἰμὶ, τουτέστιν, οὐκ ἐκ τοῦ θεοῦ ὄντα με νομοθετεῖτε, ἀλλ' ὅτι ὁ πέμψας με. Ὃ δὲ εἰπεῖν, ὅτι ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, τοῦτο ἀνίτεται, ὅτι ἠδέσαν ὅτι καὶ τὰ παρ' ἐκείνου ἀπέσταλτο, εἰ καὶ μὴ ἐξεκάλυπτον. διπλῆν γοῦν αὐτοῦ ἐλέγχει. καὶ ὅτι μὲ ἀκατ' ἰδίαν ἐλάλουν, ταῦτα εἰς μέσον ἤγαγε κρίζων, ὥστε αὐτοὺς ἀντερέσθαι· ἔπειτα καὶ τὰ κατ' ἰδίαν ἐξεκάλυπτεν· ὡσανεὶ ἔλεγεν, οὐκ εἰμὶ τῶν ἀπερριμμένων, οὐδὲ τῶν ἁπλῶς ἐλθόντων· ἀλλ' ἔστιν ἀληθὴς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. Τί ἐστιν, ἀληθὴς ὁ πέμψας με; Εἰ ἀληθὴς ἐστιν, ἐπ' ἀληθείᾳ ἔπεμψεν· Εἰ ἀληθὴς ἐστι, καὶ ἀπέσταλμένον εἰκὸς ἀληθῆ εἶναι. Ὃ ἑτέρως δὲ τοῦτο κατασκευάζει, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος λόγων. ὅπερ γὰρ ἔλεγεν· ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν

a. Βασ. β. ιϛ. Ησ. α. γ. Τιτ. α. ιε.

ἦν ὄϛι, δείκνυσι δὲ ἀντεῦθεν ἑαυτὸν τοῦ Χριστόν. δὲ γὰρ ἐκεῖνος τὸ, οὐδεὶς γινώσκει, πρὸς ἀνθρώπους ἔλεγεν ἀλλὰ τοῖς μαθηταῖς μόνοις, δὲ ἀντεῦθεν δείκνυσιν ἑαυτὸν ὄντα τὸν Χριστὸν, ὅτι πρὸς τὸν πατέρα ἦλθε, καὶ πάντα χρόνον τὴν γνῶσιν ἑαυτῷ μαρτυρῶν τοῦ πατρὸς, λέγων· οὐχ ὅτι τὸν πατέρα ἐωράκειν, εἰ μὴ ὁ ὢν πρὸς τὸν πατέρος. καὶ πρὸς ὠφέλειαν αὐτοῖς τὰ λεγόμενα· τὸ γὰρ εἰπεῖν, ὅτι οὐκ οἶδα τὸν αὐτὸν, καὶ τὸ ἐλέγξαι ὅτι εἰδότες παρασιωπῶσιν ἀγνοοῦντες, ἱκανὸν διδάσκειν καὶ παιδεύειν.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Ὁρᾷς ἀῤῥήτους ἀοράτως κατεχομένους, καὶ τὸν θυμὸν αὐτῶν χαλινούμενον; Τί γὰρ ἦν μὴ εἶπεν, ὅτι κατεῖχεν ἀῤῥήτους ἀοράτως, ἀλλ' ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ; δυνάμενος ἀσφαλέστερον ἠθέλησε φεύγεσθαι καὶ ταπεινότερον ὁ εὐαγγελιστὴς, ὥστε αὐτὸν καὶ ἀνθρώπινον ὑποπτεύεσθαι. διὰ γὰρ τὸ πάντα χρόνον ὑψηλὰ λέγειν, τοῦτο ἔνεκεν ταῦτα παραιτεῖται. ὁπόταν γὰρ λέγῃ, ὅτι πρὸς αὐτόν εἰμι, οὐχ ὡς προφήτης μανθάνων λέγει, ἀλλ' ὡς ὁρῶν αὐτὸν καὶ μετ' αὐτοῦ ὤν.

29 Οἶδα γὰρ αὐτὸν, φησὶν, ὅτι ἐγὼ πρὸς αὐτόν εἰμι. Ὁρᾷς πῶς ἀνω καὶ κάτω καταισχύζει δ', ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, καὶ ὁ πέμψας με ἀληθής ὄϛι, πρὸς σκληρὸν μαχόμενος, τὸ μὴ νομισθῆναι ἀλλότριον τοῦ Θεοῦ; καὶ σκόπει πόσον τῆς ταπεινότητος τῶν ῥημάτων τὸ κέρδος. μετὰ γὰρ ταῦτα πολλοί, φησὶν, ἔλεγον·

31 Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησε; Πόσα σημεῖα; καὶ μικρὰ τεία ἐστὶ σημεῖα, τὸ τοῦ οἴνου, καὶ τὸ τοῦ παραλυτικοῦ, καὶ τὸ τοῦ υἱοῦ τοῦ βασιλικοῦ· καὶ οὐδὲν διηνήσαντο πλέον ὁ εὐαγγελιστής. ὅθεν δῆλον, ὃ πολλάκις εἶπον, ὅτι τὰ πολλὰ παρεκέχυσι, καὶ ὑπὲρ τούτων ἡμῖν διαλέγεται, ὑπὲρ ὧν οἱ ἀρχηγοὶ σκανδάλου. ἐζήτουν δὲ αὐτὸν πιάσαι καὶ δῆσαι. τίνες; καὶ τὸ πλῆθος, ὃ τῆς ἀρχῆς ὂν ἐφιέμενον, οὐδὲ βασκανίας ἀλόγου δυναμένου. ἀλλὰ ⓐ ἱερεῖς. ⓐ γὰρ τὸ πλῆθος ἔλεγεν· ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; πολλοῦ ἀλλ' οὐδὲ αὕτη ἐστὶν ὑγιὴς ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου. τὸ γὰρ λέγειν, ὅταν ἔλθῃ, ὑπὸ σφόδρα πεπεισμένων ἐστὶ τοῦτο εἰς Ⓦ Χριστόν. ἢ τοῦτο οὖν ὄϛιν ἐστὶν, ἢ ὅτι κατὰ σωφρονοῦντα εἶπεν τὰ τῶν ἀρχόντων. ὡς γὰρ τῶν ἀρχόντων αἰνούντων καὶ κατασπαζόντων δείξας οὐκ ὄντα αὐτὸν Ⓦ Χριστὸν, φανερὸν μηδὲ εἰς αὐτὸν Ⓦ Χριστὸν μὴ τούτου βελτίων ἔσται ἐκεῖνος; ὅταν ἀεὶ λέγω, ὅτι ⓐ παχύτεροι, οὐκ ἀπὸ διδασκαλίας, οὐδὲ ἀπὸ δημηγορίας, ἀλλ' ἀπὸ σημείων σκάζονται.

32 Ἠκουσαν ⓐ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος, καὶ ἔπεμψαν ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν. Ὁρᾷς ὅτι τὸ σαββάτου ἡ λύσις προφάσεως ἦν; ὃ δὴ μάλιστα αὐτοῖς ἔδακνε, τοῦτο ἦν. σκανδαλοῦντα γὰρ οὐδὲν ἐζήτουν ἐγκαλεῖν, ὅτε τοῖς ἐρημίταις, ὅτε τοῖς περιαγωγίμοις, ἀλλὰ τὸν ὄχλον ἐβούλοντο πιάσαι αὐτόν. δὲ αὐτοὶ μὲν οὐκ ἐτόλμων, τὸ κίνδυνον ὑφορώμενοι· οὗτοι δὲ μαχόμενοι ἀπέστελλον σκεύους. ὢ τῆς τυραννίδος δὲ τῆς μανίας· μᾶλλον δὲ ὢ τῆς ἀνοίας. αὐτοὶ πολλάκις ὑπεχειρήσαντες καὶ οὐκ ἰσχύσαντες, τοῖς ὑπηρέταις δὲ προσκόμα ἐπέτρεψαν, ἁπλῶς Ⓦ θυμὸν αὐτῶν μαραναύοντος· καίτοι πολλὰ διελέχθη καὶ σὺν τῇ χολυμβήθρᾳ, καὶ οὐδὲν τοιοῦτον ἐποίησαν, ἀλλ' ἐζήτησαν μὲν, οὐκ ἐπεχείρησαν δέ. σκανδαλοῦντα γὰρ οὐκ ἐπὶ φέρουσι, τοῦ ὄχλου μέλλοντος αὐτῷ προσχρέχειν. τί οὖν ὁ Χριστός;

33 Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. Διαναμένων δὲ ὑπακούσαι καὶ φοβῆσαι οὐδὲ ἀνχύοντας, ῥήματα φθέγγεται ταπεινοφρονοῦντα γέμοντα· ὡσανεὶ ἔλεγε, τί κατασπάζεσθέ με ἀνελεῖν καὶ διῶξαι; μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ κατασπάζόντων με κατέχειν δυνήσομαι. εἶτα ἵνα μή τις ἀπάτην κοινὸν νομίσῃ, ὃ ἐπὶ μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι (καὶ γὰρ τοῦτο ἐνόμισαν) ἵν' οὖν τοῦτο μή τις νομίσῃ, καὶ ὅτι οὐδὲν σπεύδω μετὰ τελευτὴν, ἐπήγαγε· 34 Καὶ ὅπου εἰμὶ ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Εἰ γὰρ ἔμελλεν ἀναπομένειν τῷ θανάτῳ, ἐδύνατο

ἀπελθεῖν.

ἀπελθεῖν. οὐκ ἦλθε πάντες ἄπιμεν. ὃ μὲν οὖν ἀφελέσθαι πλῆθος ἐπέκαμπτε τὰ λεγόμενα, ὃ δὲ θρασύτερον ἐφόβει, ὃ δὲ φιλομαθέστερον ἀνῆδεν ἐποίει τοὺς τινὰ ἀκροάσειν, ὡς ὀλίγου λοιπὸν ὑπολιπομένου χρόνου, καὶ οὐκ εἰς ἀεὶ ταύτης ἀπολαύσας τῆς διδασκαλίας. καὶ οὐκ εἶπεν ἁπλῶς, σὺν ταῦτά εἰμι, φησί, μεθ' ὑμῶν εἰμι, τοιαῦτα, καὶ διώκητε, καὶ ἐλαύνητε, μικρὸν χρόνον ἔτι παύσομαι τὰ ὑπὲρ ὑμῶν οἰκονομῶν, καὶ τοὺς σωτηρίαν λέγων καὶ παραινῶν ὑμῖν. Καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Φοβῆσαι τοῦτο ἐχθρὸν ἰδὼν καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν. καὶ γὰρ ὅτι σὺν χειρὶ αὐτὸν καταφήσονται δηλοῖ. ζητήσετε γάρ με, φησιν, καὶ μόνον οὐκ ὀπτιλήσεσθε, ἀλλὰ καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε. καὶ που ἐζήτησαν αὐτὸν οἱ Ἰουδαῖοι; λέγει ὁ Λουκᾶς, ὅτι ἐκόπτοντο γυναῖκες ἐπ' αὐτῷ. εἰκὸς γὰρ καὶ ἄλλους πολλοὺς καὶ θαύματος, καὶ τῆς πόλεως ἁλισκομένης, μεμνῆσθαι τοῦ Χριστοῦ καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τινὰ παρρησίαν ζητῆσαι τοῦ αὐτοῦ. ταῦτα δὴ πάντα ἐπήγαγε, βουλόμενος αὐτοὺς ἐφελκύσασθαι. καὶ γὰρ ὃ μικρὸν χρόνον εἶπε λειπόμενον, καὶ ὃ μετὰ τινα ἀναχώρησιν ποθητὸν ἔσεσθαι, καὶ ὃ μὴ δυνάσθαι λοιπὸν αὐτοὺς θύρσαι, ἐχθρὰ πάντα πεῖσαι προσελθεῖν. εἰ μὲν γὰρ μὴ ἔμελλε ποθητὴ εἶναι ἡ παρουσία, οὐδὲν μέγα αὐτοῖς ἐδόκει λέγειν. πάλιν δέ, εἰ ἔμελλε ποθητὴ εἶναι, δυνατὸν ἦν αὐτοὺς θύρσαι, ἀλλ' οὐτως αὐτοὺς ἐθορύβησε. πάλιν, εἰ πολὺν ἔμελλε χρόνον παρεῖναι, καὶ οὕτως ὕπνοι ἂν ἐγίνοντο. νυνὶ δὲ πρώτον αὐτοὺς συναγελάζει καὶ φοβεῖ. ὃ δέ, ὑπάγω πρὸς τὸν πέμψαντά με, δεικνύων ὅτι οὐδεμίαν αὐτῷ γινομένην βλάβην ἀπὸ τῆς βουλῆς ταύτης, καὶ ὃ πάθος ἑκούσιον. δύο τοίνυν παρρησίας, ὅπου μὲν μικρὸν ἀπελθεῖν χρόνον, καὶ ὅπου οὐχ ἥξουσι πρὸς αὐτόν· ὅταν οὐκ ἐν αἰθεσπίσαις ἁγνοίαις, τὴν ἑαυτοῦ τελευτὴν προεῖπεν. ὅθεν καὶ ὁ Δαβὶδ λέγων· γνώρισόν μοι, Κύριε, ὁ πέρας μου καὶ τὸ ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ· καὶ ὅλως οὐδεὶς ἐστὶν ὁ μαθὼν ὅτο. οὐκ ἦν δὲ ἑνὸς καὶ δύο ἕτερον πιστεῦσαι. ἐγὼ δὲ οἶμαι καὶ πρὸς τοῦτο παρρησίας τοῦτο αἰτήσεσθαι, καὶ πρὸς αὐτοὺς τὸν λόγον ἀποτείνειν· ᾧ μάλιστα αὐτοὺς ἐπεσπάσατο, δείξας ἑαυτὸν εἰδότα τῆς ἀφίξεως τὴν αἰτίαν· ὡσανεὶ ἔλεγε, μεῖνατε μικρόν, καὶ ἀπελεύσομαι.

35 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι; καὶ μάτην τοῦτο ἐπιθυμοῦντες ἀπαλλαγῆναι, τοῦτο πάντα προσάπτοντες ὥστε μὴ βλέπειν αὐτόν, οὐκ ἐχρῆν τοῦτο ζητεῖν, ἀλλ' εἰπεῖν, ὅπου δ' ἀσμένιζόμεν, καὶ πότε γάρ τοῦτο ἔσται; ἀλλ' ἔπαθόν τι πρὸς τὰ λεχθέντα, καὶ ζητοῦσι πρὸς ἑαυτοὺς ἀνοήτως ὑποπτεύοντες, ποῦ μέλλει πορεύεσθαι;

Μὴ εἰς τὴν διασπορὰν τῶν ἑλλήνων; Τί ὅτι, διασπορὰν τῶν ἑλλήνων; οὕτω τὰ ἔθνη ἐκάλουν οἱ Ἰουδαῖοι, διὰ τὸ πάντα χοῦ διεσπάρθαι, καὶ ἀδεῶς ἀλλήλοις ὑπομίγνυσθαι. τοῦτο γὰρ καὶ αὐλοὶ λοιπὸν τὸ ὄνειδος ὑπέμενον. διασπορὰν γὰρ ἦρε καὶ αὐλοί. τὸ γὰρ παλαιὸν, ἅπαν τὸ ἔθνος εἰς ἓν συνείλεκτο, καὶ οὐκ ἦν ἀλλαχοῦ Ἰουδαῖον θύρσαι, ἀλλ' ἢ ἐν Παλαιστίνῃ μόνῃ. πρὸς δὴ τοῦτο διασπορὰν τοὺς ἕλληνας ἐκάλουν, ὀνειδίζοντες καὶ μεγαλαυχοῦντες ἐφ' ἑαυτοῖς. τί οὖν ἐστιν, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς δυνάσθε ἐλθεῖν; ἐκείνοις γὰρ πάντες ἐπεμίγνυντο τότε, καὶ πανταχοῦ τῆς οἰκουμένης ἦσαν Ἰουδαῖοι. οὐκ ἂν οὖν, εἰ τοὺς ἕλληνας ἐδήλωσεν, εἶπεν, ὅπου δύνασθε ἐλθεῖν. εἰπόντες δὲ, μὴ εἰς τὴν διασπορὰν τῶν ἑλλήνων μέλλει πορεύεσθαι; οὐκ εἶπον καὶ λυμαίνεσθαι αὐτούς, ἀλλὰ διδάσκειν. οὕτως ἤδη κατεφρόνησαν τοῦ ὀργῆς, καὶ τοῖς λεχθεῖσιν ἀπίστευσαν. οὐκ ἂν δὴ, εἰ μὴ ἀπίστησαν, ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος.

ΗΘΙΚΟΝ Ἀλλὰ ταῦτα μὲν εἴρηται πρὸς ἐκείνους· δίος δὲ μὴ καὶ πρὸς ἡμᾶς καιρὸν ἔχῃ τὰ λεχθέντα, ὅπου ὅπου ἐστὶν, ὑ δυνάμεθα ἀπελθεῖν ἀπὸ τοῦ βίου ἡμῶν τὸν ἀμαρτημάτων γέμοντα.

Ioan. 13. 33. πρὸς μὲν γὰρ τοὺς μαθητὰς φησι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· πρὸς δὲ ἡμᾶς δέδοικα μὴ τοὐναντίον λεχθῇ, ὅπου ὅπου εἰμὶ ἐγὼ, ὑ δυνάσθε ἐλθεῖν. ὅταν γὰρ τὰ ἑαυτοῦ

ἐνδυτία τῶ προσαγμῦ προσπίωμεν, πῶς δυνησόμεθα ἀπελθεῖν ἐκεῖ; ἡ γὰρ καὶ κῦ τὸν παρόντα βίον, εἴ τις τῶν πραττευομένων ἀνάξια προσποι τῦ βασιλέως, οὐ δυνήσεται τ βασιλέα ἰδεῖν, ἀλλά, τῆς ἀρχῆς προσαλυθείσης, πλὴ ἐφάπλω ἐποχήσεται κόλασιν. ὅτε οὖν ἁρπάζωμεν, πλεονεκτῶμεν· ὅτε ἀδικῶμεν, πλήπλωμεν· ὅτε μὴ ἐλεημοζωίω ἐργασώμεθα, ἃ δυνησόμεθα ἀπελθεῖν ἐκεῖσε, ἀλλὰ ἡ πεισόμεθα ὃ γέγονε ταῖς πρθένοις. ὅπου γὰρ ἰῶ, οὐκ ἐδυνήθησαν εἰσελθεῖν, ἀλλ' ἀνεχώρησαν σβεσθεισῶν αὐτῶν τῶν λαμπάδων· τουτέστι, τῶ χαρίσματος αὐτὰς καταλιπόντος. πλὴ γὰρ φλόγα ἐκείνλω, ἰῶ βίθεως ἐδυζόμεθα τῆ τ πνεύματος χάριτι, ἀν μὴ βουλώμεθα, σφοδρότεραν ἐργασόμεθα· ἀν δὲ μὴ βαλώμεθα, ταχέως αὐτλὼ ἀπολέσομεν. σβεσθείσης δὲ ἐκείνης, οὐδὲν ἕτερον, ἀλλ' ἢ σκότος ἐπὶ ταῖς ἡμετέραις ἔσται ψυχαῖς. ὥσπερ γὰρ χαμένης τῆς λαμπάδος πολὺ τὸ φῶς· οὕτω σβεσθείσης οὐδὲν ἕτερον, ἀλλ' ἢ γνόφος ἔσται. διὸ φησι, τὸ πνεῦμα μὴ σβέννυτε· σβέννυται δ', ὅταν ἔλαιον μὴ ἔχῃ, ὅταν αἱρέμα σφοδροτέρας ἰς ἐμβολὴ γλώτας, ὅταν ζωέχηται καὶ πενοχωρῆται (ἡ γὰρ ὕλη σβέννυ) πῦρ) ζωέχει) ὑπὸ Φροντίδων βιωτικῶν, ἡ σβέννυ) ὑπὸ ἐπιθυμίας πονηρᾶς. οὐδὲν γ' αὐτλὼ προσ τοῖς ἐρημίοις ὕλη σβέννυσιν, ὡς ἀπὸ ψυχροσίας καὶ ὠμότης καὶ ἁρπαγή. ὅταν γὰρ προσ τῶ ἔλαιον μὴ ἔχειν ἐπ ὕδωρ ἐπεμβάλωμεν ψυχρόν (τῦτο γάρ ἐστι ἡ πλεονεξία, ἀπο ψύχουσα διὰ τῆς ἐπιθυμίας τῶν ἀδικημένων ταῖς ψυχάς) πόθεν δυνήσεται ἀναφθῆναι λοιπόν; ἀπελθησόμεθα τοίνυν τέφραν τε καὶ κόνιν φέροντες ἐπ πολλῶ ἔχοντες ⟨W⟩ καπνὸν κατηφρημένα ἡμῶν, ὅτι λαμπάδας ἔχοντες ἀπεσβέσαμεν. ἔνθα γὰρ μὴ ἦν καπνός, ἀνάγκη πῦρ εἶ) ὃ σβεσθέν. ἀλλὰ μὴ γένοιτο ἵνα τοιούτων ἀκούσωμεν τ φωνῶ τ, οὐκ οἶδα ὑμᾶς. πόθεν γ' ταύτην ἴσμεν ἀκῦσαι τ φωνῶ, ἢ ὅταν πέντα ἰδόντες, ὡς οὐκ ἰδόντες αὐτὸν διαφεύγομεν; ὅταν ἡμᾶς ἀγνοήσωμεν τὸν πεινῶντα Χριστόν, ἀγνοήσει ἡμᾶς ἡ αὐτὸς ἐλέου δεομένους. ἐπ δικαίως. ὁ γὰρ προσιδὼν τὸν θλιβόμενον, ἡ μὴ δοὺς οὐκ τῶν αὐτῶν, πῶς ζητήσει λαβεῖν οὐκ τῶν οὐκ αὐτῶν; διὸ, παρακαλῶ, πάντα ποιῶμεν ἡ πραγματευώμεθα, ὥστε μὴ ἐκλιπεῖν ἡμᾶς τὸ ἔλαιον, ἀλλὰ κοσμῆσαι ταῖς λαμπάδας, ἐπ ζωεισελθεῖν τῶν νυμφίων εἰς τὸν νυμφῶνα· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι ἡ φιλανθρωπίᾳ τ Κυρίου ἡμῶν Ἰησῦ Χριστοῦ, δι' οὗ ἐπ μεθ' ἁ δόξα, σὺν ᾧ ἁγίῳ πνεύματι, νῦν ἐπ ἀεί, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. να. 37 ΕΝ ΔΕ ΤΗ ΕΣΧΑΤΗ ΗΜΕΡΑ ΤΗ ΜΕΓΑΛΗ τ ἑορτῆς, εἱστήκει ὁ Ἰησῦς, ἡ ἔκραζε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω προς μέ, ἐπ πινέτω. 38 Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τ κοιλίας αὐτῦ ῥεύσουσιν ὕδατος ζῶντος.

Οις προσιόντας ᾧ θείᾳ κηρύγματι ἡ τῇ πίστ προσέχοντας, τὸν τῶν διψώντων ἔρωτα ἐπιδείκνυσθαι χρὴ, ἡ τοσαύτην ἀνάπτειν ἐπιθυμίαν ἐν ἑαυτοῖς. ὅτω γὰρ δυνήσονται ἡ ταλεσόμενα μὴ πολλῆς καταφρονεῖν τ φυλακῆς. ἡ γὰρ οἱ διψῶντες, ἐπειδὰν κύλικα λάβωσι, μὴ πολλῆς αὐτ ἔλκωσι τ προθυμίας, ἡ τότε δίψαν παύονται. οὕτω τοίνυν ἡ οἱ τ θείων ἀκούοντες λογίων, εἰ διψῶντες προσλάβοιεν, ἀδὲ πόλε καμῶν), ἕως ἀν ἐκπίωσιν. ὅτι γὰρ ἀεὶ χρὴ διψᾶν ἡ πεινῆν, Μακάριοι, φησι, οἱ πεινῶντες ἡ διψῶντες τ δικαιοσύνην. ἐπ σὺν ταύτᾳ φησιν ὁ Χριστός· εἴ τις διψᾷ, ἐρχέσθω προς μέ ἡ πινέτω. οὐ λέγει τοιοῦτόν ἐστιν· ἀδένα δύναται ἡ βίᾳ ἐφέλκεσθαι· ἀλλ' εἴ τις ἔχει προθυμίαν πολλήν, εἴ τις ἐκκαίεται τῇ πόθῳ, τοῦτον ἐγὼ καλῶ. ἵνας γ' ἕνεκεν ἐπεσημήνατο ὁ εὐαγγελιστὴς, ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ; ἡ γὰρ καὶ ἡ πρώτη καὶ ἡ τελευταία, μεγάλη ἦν.

Matth. 5. 6.

ζαὶ γὰρ μᾶλλον εἰς πυφλωὶ ἀνήλισχεν. Ἵνος οὖν ἔνεκεν ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ λέγῃ ὅτι ἐν αὐτῇ πολῖται ἦσαν συγκεχροτημένοι. τῇ μὲν γὰρ πρώτῃ ἀπεχώρησεν, καὶ τὸν αἰτίαν εἶπε πρὸς τοὺς ἀδελφούς. ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τι τοιοῦτον λέγει, ὥστε μὴ ἐκλυθῆναι τὰ λεχθέντα, μελλόντων αὐτῶν εἰς πυφλωὶ ἰέναι. τῇ δὲ ἑβδόμῃ, ὅτε ἀνεχώρησεν οἰκαδε, ἐφόδια αὐτοῖς δίδωσι πρὸς σωτηρίαν, καὶ κράζει, τοῦτο μὲν τὸν προφητείαν αὐτοῦ ἐμφαίνων· τοῦτο δὲ δεικνὺς τὸν πολιτῶν ὄχλον. καὶ δηλῶν ὅτι πρὸς τοῦ νοητοῦ διελέγετο πόματος, ἐπάγει· ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. κοιλίαν
Ψαλ. λθ. ιε. δὲ τοῦδα τὴν καρδίαν φησὶ, καθάπερ καὶ ἀλλαχοῦ φησι· Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. καὶ ποῦ εἶπεν ἡ γραφή, ὅτι ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος; ἀδαμοῦ. τί οὖν ὅτιν, ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή; ἐκλαβεῖν ἐπιστίξαι δεῖ, ἵνα ἡ ὃ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τῆς αὐτοῦ ἀποφάσεως. ὅπερ γὰρ ἔλεγεν πολλοί, οὗτός ὅστιν ὁ Χριστός· καὶ, ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει; δείκνυσιν, ὅτι διορθωμένων δεῖ τὴν γνώσιν ἔχειν, καὶ οὐκ ἀπὸ τῶν σημείων μόνον, ὡς ἀπὸ τῶν γραφῶν πιστεύεσθαι. πολλοὶ γοῦν αὐτῶν καὶ θαυματουργοῦντα ἰδόντες, οὐκ ὡς Χριστὸν ἐδέχοντο· ἔμελλον δὲ λέγειν, ὅτι οὐχὶ αἱ γραφαὶ λέγουσιν, ὅτι ὁ Χριστὸς ἀπὸ τοῦ σπέρματος τοῦ Δαβὶδ ἔρχεται; καὶ ταῦτα δοῦλα καὶ κάπηλα ἔγραφον. δείξας τοίνυν βουλόμενος, ὅτι οὐ φεύγει τὴν ὀργὴν τούτων ἀποδειξιν, πάλιν αὐτοὺς εἰς τὰς γραφὰς παραπέμπει. καὶ γὰρ αὖ ἔλεγεν, ἐρευνᾶτε τὰς γραφάς· καὶ πάλιν, Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ· καὶ, Μωϋσῆς ὑμῶν κατήγορός· καὶ ἐνταῦθα, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι, τὸ διαφυλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος· ὅπερ ἀλλαχοῦ φησι, πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον, τουτέστι, πολλὴν ἔξει χάριν. ἀλλαχοῦ μὲν οὖν ζωὴν αἰώνιον λέγει· ἐνταῦθα δὲ, ὕδωρ ζῶν. ζῶν δὲ λέγει, ὃ ἐνεργεῖ ἀεί. ἡ γὰρ τοῦ πνεύματος χάρις, ἐπειδὰν εἰς ἄγγειόν εἰσέλθῃ καὶ ἱδρυνθῇ, χ. ἱδρυθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ λιμπάνεται οὐδὲ κενοῦται οὐδ' ἴσα). ὁμοῦ τοίνυν καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλοῖ, καὶ τὸ ἄφατον τῆς ἐνεργείας, πηγαῖς καὶ ποταμοῖς ἐκάλεσεν· οὐχ ἕνα ποταμόν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ, τὴν πλημμύραν ἄγει τοῦ ἅλλεσθαι πρὸ-
Ιωαν. β. ιδ. σεσιν. καὶ ἴδοι τις ἂν τὸ λεγόμενον σαφῶς, εἰ τὴν σοφίαν τοῦ Στεφανοῦ, εἰ τὴν Πέτρου γλῶτταν, καὶ τὴν Παύλου ῥῆμα ἐννοήσειε, πῶς οὐδὲν αὐτοῦ ἔφερεν, οὐδὲν ὑφίστατο, οὐ δήμων θυμός, οὐ τυραννίων ἐπιθυμασάσεις, οὐ δαιμόνων ὀπίσω λαί, οὐ θάνατοι καθημερινοί· ἀλλ' ὥσπερ ποταμοὶ πολλῷ ῥοίζῳ φερόμενοι, οὕτω πάντα παρεσύροντο ἀπήνεις. 39 Ταῦτα δὲ ἔλεγε περὶ τοῦ πνεύματος, φησὶν, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες. οὔπω γὰρ ἦν πνεῦμα ἅγιον. Πῶς οὖν οἱ προφῆται προεφήτευσαν, καὶ τὰ μυεῖα ἐνήργασαντο θαύματα; ἀπόστολοι μὲν γὰρ, οὐ πνεύματι
Ματθ. ιβ. κζ. ἐξέβαλον, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ, ὡς αὐτὸς φησιν· Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; ὅτε δὲ ἔλεγε, δηλοῖ ὅτι οὐ πάντες πνεύματι ἐξέβαλον προ-
τοῦ προ- παρὰ τοῦ θεοῦ, ἀλλὰ τῇ παρ' αὐτοῦ ἐξουσίᾳ. ὅτε γοῦν αὐτοὺς ἔμελλε πέμπειν, τότε ἔλεγε· λάβετε πνεῦμα ἅγιον· καὶ πάλιν· ἦλθεν ἐπ' αὐτοὺς πνεῦμα ἅγιον, καὶ τότε τὰ σημεῖα ἐποίουν· ὅτε δὲ ἔπεμπεν αὐτοὺς, οὐκ εἶπεν, ἔδωκεν αὐτοῖς πνεῦμα ἅγιον· ἀλλ' ἔδωκεν αὐτοῖς ἐξουσίαν,
Ματθ. ι. η. λέγων, Λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. ὅπερ δὲ τῶν προφητῶν, οὐδεὶς πάντων ὡμολόγηται, ὅτι πνεύματος ἁγίου δόσις ἦν· ἀλλ' ἕως αὐτοῦ ἡ χάρις συναλθοῦσα καὶ ἀποσᾶσα, καὶ ἀπὸ τῆς γῆς ἀπολιποῦσα, ἀπὸ τῆς ἡμέρας
Ματθ. κγ. λη. ἐκείνης, ἀφ' ἧς ἐρρήθη, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ τοῦ ἐκείνης δὲ, ἀρχὴν ἐλάμ- 40
βανεν αὕτη ἡ ἀποδημίς. οὐκέτι γὰρ προεφήτης πρὸς αὐτοὺς ἕως, οὐδὲ ἐπιστηρίζει αὐτῶν τὰ ἄ- χ. δῶμα
για ἡ χάρις. ἐπεὶ οὖν ἀνέζαλτο μὲν τὸ πνεῦμα τὸ ἅγιον· ἔμελλε δὲ λοιπὸν ἐκλείπειν δαψιλῶς, ταύτης δὲ τῆς ἀφθονομῆς ἀρχὴ μὲν ἦν ἐν τοῖς μαθηταῖς, καὶ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων (καὶ γὰρ θαυμαστέα ἕως ἡ δωρεά, ὡς ὅταν λέγῃ· οὐκ οἴδατε ποίου

πνεύματος

πνεύματός ἐστε· καὶ πάλιν, ὑμεῖς γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ γὰρ οἱ παλαιοὶ δικαίως μὲν πνεῦμα εἶχον, ἄλλοις δὲ ὑπῆρχον· οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν) ὅπερ οὖν τοῦτο ἔμελλον λαμβάνειν τὸ χάρισμα, ὥστε δὲ ἐδόθησαν, δηλοῖ τοῦτό φησιν· ὥστε γὰρ ἦν πνεῦμα ἅγιον. ἐπεὶ οὖν ὁ Κύριος περὶ τούτης λέγει τῆς χάριτος, ὁ εὐαγγελιστὴς ἔλεγεν· ὥστε γὰρ ἦν πνεῦμα ἅγιον, τουτέστι, δοθέν, ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν καλοῦσι τὴν σωτηρίαν. ὅπερ γὰρ ἐχθροὶ ὄντες καὶ ἁμαρτωλοὶ καὶ ὑστεροῦμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοσυλεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἐστὶν ἀπόδειξις· δῶρον δὲ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς εὐπρεπεστάτοις· ἔδει τοίνυν τοῦτο γενέσθαι τοῦ Χριστοῦ ἡμᾶς θυσίαν, καὶ τοῦ ἁγίου αἵματος αὐτοῦ ῥανῆναι εἰς τὴν γῆν καταλυθῆναι, καὶ γενέσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τοῦ δωρεάν. Εἰ γὰρ ὅτε τῆς ἐπαγγελίας τοῦτο γέγονε τοῖς Ἀβραάμ, πολλῷ μᾶλλον ὅτε τῆς χάριτος. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· Εἰ γὰρ οὐκ νόμῳ κληρονόμοι, κεκένωται ἡ πίστις· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. ὃ δή λέγει τοιοῦτόν ἐστιν· ἐπηγγείλατο ὁ Θεὸς ᾧ Ἀβραάμ καὶ τῷ σπέρματι αὐτοῦ δώσειν τὴν γῆν· ἀλλ' ἀνάξιοι ἦσαν τῆς ἐπαγγελίας οἱ ἐκ νόμου, καὶ δι' οἰκείων οὐκ ἠδυήσαντο διαρεῆσαι πόνων. διὰ τοῦτο εἰσῆλθεν ἡ πίστις, σπέρμα αὐχοῦσα, ἵνα τὴν χάριν βεβαιώσῃ, καὶ μὴ διαπέσωσιν αἱ ἐπαγγελίαι. καὶ λέγει· διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν. διὰ τοῦτο κατὰ χάριν, ὅπερ ἐξ ἱδρώτων οὐκ ἴσχυσαν. τίνος οὖν ἕνεκεν εἶπεν, κατὰ χάριν φάς, οὐκ ἐπάγει τὴν μαρτυρίαν; ὅτι διεφθαρμένη αὐτῶν ἡ γνώμη ἦν.

40 Οἱ μὲν γὰρ ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης·

41 Ἄλλοι δὲ ἔλεγον, ὅτι πλανᾷ τὸν ὄχλον· ἄλλοι δὲ ἔλεγον,

42 Οὐκ ἐκ τῆς Γαλιλαίας ἔρχεται ὁ Χριστός, ἀλλὰ ἀπὸ Βηθλεὲμ τῆς κώμης.

Ἄλλοι δὲ ἔλεγον, ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί. καὶ διαφορᾶς ἦν ἡ γνώμη, ἅτε ἐκ πλήθους τεταραγμένου. οὐδὲ γὰρ ἀκριβῶς προσεῖχον τοῖς λεγομένοις, οὐδὲ τοῦ μαθεῖν εἶχον πόθον. διὰ δὴ τοῦτο τούτοις μὲν οὐδὲν ἀποκρίνεται· καίτοι λέγουσι· μὴ οὐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; ἢ Ναθαναὴλ σφοδρότερον εἶπόντα καὶ πληκτικώτερον, οὐκ Ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι, ἐπῆνεσεν ὡς ἀληθῶς Ἰσραηλίτην. ὅτοι μὲν γὰρ, καὶ τοὺς τὸν Νικόδημον εἰπόντας, ἐρεύνησον καὶ ἴδε, ὅτι οὐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται, καὶ μαθεῖν ζητοῦντες ἔλεγον, ἀλλ' ἁπλῶς διατείναντα τὴν περὶ τοῦ Χριστοῦ δόξαν. οὐχ ὅσιος δὲ ἀληθείας ὢν ἐραστής, καὶ τὰ παλαιὰ ἀκριβῶς πρώτα θαυμάζων, τοῦτο ἔλεγεν· ἀλλὰ δὲ προφήτης ἐν μόνον ἑώρων, ὃ διατείναντα ὅτι ὁ Χριστὸς ἐστι. διόπερ αὐτοῖς οὐδὲν ἀπεκάλυπτεν. οἱ γὰρ καὶ ἑαυτοῖς ἐναντία λέγοντες, καὶ ποτὲ μὲν, οὐδεὶς γινώσκει πόθεν ἔρχεται· ποτὲ δὲ, ἀπὸ Βηθλεέμ, φανερὸν ἦν ὅτι καὶ μαθόντες ἠναντιώθησαν. ἔστω γάρ, τόποι ἠγνόουν, ὅτι ἀπὸ Βηθλεέμ, διὰ τὴν ἀναστροφὴν τὴν ἐν Ναζαρὲθ (καίτοι οὐδὲ τοῦτο συνῳκείωτο εἶχεν· ἦν γὰρ ἐκεῖ ἐτέθη) ἀλλὰ τὸ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατρείας Δαβίδ; πῶς οὖν ἔλεγον, οὐκ ἀπὸ τοῦ σπέρματος Δαβὶδ ἔρχεται ὁ Χριστός; ἀλλὰ καὶ τοῦτο ἐκείνῳ συσκιάσαι ἐβούλοντο, κακουργίας ἅπαντα φερόμενοι. ὅτου δὲ ἕνεκεν καὶ προσελθόντες εἶπον· ὅτι τὰ μὲν ἄλλα πάντα θαυμάζομεν, κελεύεις δέ σοι πείθεσθαι καὶ τὰς γραφάς, εἰπὲ πῶς αἱ αὐταὶ γραφαὶ λέγουσιν, ὅτι ἀπὸ Βηθλεὲμ δεῖ τὸν Χριστὸν ἐλθεῖν, σὺ δὲ ἀπὸ τῆς Γαλιλαίας ἀφίξαι; ἀλλ' οὐδὲν τούτων εἶπον, ἀλλὰ πάντα ποικίλως φθέγγου. ὅθεν γὰρ ἐζήτουν, καὶ δεῖν μαθεῖν βουλόμενοι, οὕτως ἐπήγαγεν ὁ εὐαγγελιστής·

44 Ὅτι τινὲς ἤθελον πιάσαι αὐτὸν, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας αὐτοῦ.

Εἰ γὰρ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἱκανὸν ἦν εἰς κατάνυξιν ἄγειν· ἀλλ' οὐ κατενύγησαν, καθὼς φησιν ὁ προφήτης· Διεκλάσθησαν, καὶ οὐ κατενύγησαν. τοιοῦτον γὰρ ἡ πονηρία, οὐδενὶ βούλεται εἴκειν, προσέχει μόνον, ὥστε ὅπως ἀθυμήσωσιν αὐτοῖς. ἀλλὰ

Ρω. δ. ιδ.

Ψαλμ. λδ. ιθ.

Παρειμ. κεφ. κζ. τί φησιν ἡ γραφή; Ο ὀρύσσων βόθρον ᾧ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· ὅπερ καὶ τότε γέγονεν. αὐλοὶ μὲν γὰρ ἐβούλοντο αὐτὸν ἀνελεῖν, ὡς δὴ σβεννύοντες τὸ κήρυγμα· γέγονε δὲ τοὐναντίον. τὸ μὲν γὰρ κήρυγμα ἀνῆκε τῇ τοῦ Χριστοῦ χάριτι· ἐκεῖνον δὲ πολὺν ἐσβέσθη καὶ ἀπόλωλε, καὶ πατρίδος καὶ ἐλευθερίας καὶ ἀδείας καὶ λατρείας ἐξέπεσον, καὶ πάσης ἀπεστερήθησαν εὐημερίας, καὶ γεγόνασι δοῦλοι καὶ αἰχμάλωτοι.

ΗΘΙΚΟΝ Ταῦτα οὖν εἰδότες, μηδέποτε ἐπιβουλεύωμεν ἑτέροις, μανθάνοντες ὅλοι καθ' ἑαυτὸν ἀκριβάζεσθαι τὸ ξίφος, καὶ βαθυτέραν ἑαυτοῖς διδάσκωμεν τὴν πληγήν. ἀλλ' ἐλύπησέ τις, καὶ βούλῃ αὐτὸν ἀμύνασθαι; μὴ ἀμύνῃ· οὕτω γὰρ ἀμύνασθαι δυνήσῃ. ἐὰν δὲ ἀμύνῃ, οὐκ ἠμύνω. καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον, ἀλλ' ἀληθῆ λόγον. πῶς, καὶ τίνι τρόπῳ; ὅτι σὺ μὴ ἀμυνόμενος, ᾧ Θεὸν αὐτὸν καθιστᾷς ἐκδικητήν· ἀμυνόμενος δέ, οὐκέτι. Ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. εἰ γὰρ οἰκείους ἔχομεν, καὶ πρὸς ἀλλήλους διενεχθέντες μὴ τῆς δίκης καὶ τῆς κολάσεως ἡμῖν παραχωρήσωσιν, ἀλλ' ἑαυτοῖς ἐπιτρέψωσιν, καὶ μυριάκις προσέλθωσιν, ὑ μένοι οὐκ ἀμυνόμεθα, ἀλλὰ καὶ ἀγωνακτοῦμεν, δραπέτας λέγοντες καὶ μαστιγίας, τὸ πρῶν ἡμῖν ἐπιτρέψαι ἐκείνῳ· ὅπερ δὲ καὶ αὐτοὶ προσλαβεῖν ἤμισυες, μηδὲν ὀφέλει λοιπόν· πολλῷ μᾶλλον ὁ Θεός, ὁ παραγελάσας αὐτῷ παραχωρῆσαι ἀπόντων, τοῦτο ἐρεῖ. πῶς γὰρ οὐκ ἄτοπον, ὅταν μὲν παίδων τῶν ἡμετέρων τοσαύτην ἀπαιτῶμεν φιλοσοφίαν καὶ ἀνοχήν· τῷ δὲ δεσπότῃ μὴ παραχωρῶμεν, ὧν βουλόμεθα σὺν οἰκέται ἡμῖν παραχωρῆσαι; ταῦτα δὲ λέγω πρὸς τὸ προτεθυμῆσθαι ὑμᾶς καὶ τὴν ἀλλήλων κόλασιν. ἐπεὶ τοίνυν ἀληθῶς φιλοσοφοῦντα, σοφὸν τοῦτο χρὴ ποιεῖν· ἀλλὰ συγγινώσκειν καὶ ἀφιέναι τὰ ἁμαρτήματα, εἰ δὲ μὴ ἐκεῖνο ἵνα τὸ μέγα ἐπάθλιον, τὸ ἀφεῖναι ἀντὶ τούτων λαμβάνειν. Εἰ γάρ, εἰπέ μοι, καταγινώσκεις τῶν ἁμαρτημάτων, τίνος ἕνεκεν καὶ αὐτὸς ἁμαρτάνεις, καὶ τοῖς αὐτοῖς προσπίπτεις; ὕβρισε; μὴ ἀνθυβρίσῃς· ἐπεὶ σαυτὸν ὕβρισας. ἔπληξε; μὴ ἀντιπλήξῃς· ἐπεὶ ὃ διαφθορὰν ἤδη μοι. ἐλύπησε; μὴ ἀντιλυπήσῃς· ἐπεὶ τὸ κέρδος ἤδεν, ἀλλὰ γέγονας ἐκείνων πάλιν ἴσος. ὅταν αὖτ' ἐντείλαι δυνήσῃ, ἂν μὴ παραύτικα ἐκβλήσῃ καὶ ἐπιλάθῃ, ὅταν αὖτ' καταδίσαι, ὅταν αὖτ' ἐγκόλαψαι τὴν ὀργήν. ἤδεις κακῶς κακοὶ ἴατα, ἀλλ' ἀλαθῶ τὸ κακόν. Ταῦτα πρὸς Ἕλληνάς τινες φιλοσοφοῦσιν. αἰσχυνθῶμεν τοίνυν, εἰ πρὸς Ἕλληνας τοὺς ἀνοήτους; τοσαύτης οὔσης τῆς φιλοσοφίας, ἡμᾶς ἐλάττους φαινόμεθα. πολλοὶ ἠδικήθησαν, καὶ ἐνέγκαμεν· πολλοὶ ἐσυκοφαντήθησαν, καὶ οὐκ ἠμύναντο· ἐπεβουλεύθησαν, καὶ ὑπερετήσαντο. δέος δὲ μακρόν, μὴ μείζους ἡμῶν τινες πρὸς ἀρετὴν ὦσι καὶ βίον εὑρεθῶσι, καὶ σφοδροτέραν ἡμῖν τὴν κόλασιν ἐργάσωνται. ὅταν γὰρ μὲν θυμάτων μετειληχότες, μὲν βασιλείαν προσδοκῶντες, μὲν ὑπὲρ τῶν ἀρρήτων φιλοσοφοῦντες, μὲν [μὴ] δεδοικότες γέενναν, μὲν κεκλυόμενοι ἄγγελοι γίνεσθαι, μὲν μυστηρίων ἀπολαύοντες, μηδὲ εἰς τὴν αὐτὴν ἐκείνοις φθάσωμεν ἀρετήν, "ποίαν ἕξομεν συγγνώμην; Εἰ γὰρ Ιουδαίοις ὑπερβαίνειν χρὴ (Ἐὰν γὰρ μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη, φησί, πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν) πολλῷ μᾶλλον ἕλλησι. Εἰ Φαρισαίους, πολλῷ μᾶλλον τοὺς ἀπίστους. Εἰ γὰρ μὴ ὑπερβαίνωμεν ἡμῶν τὴν ἐκείνων πολιτείαν, ἀποκέκλεισται τὰ τῆς βασιλείας· ὅταν καὶ ἑλλιῶσιν Φαρισαίους χείρεις, πῶς ἕξομεν τούτης ὑπευθύνους; πᾶσαν τοίνυν πικρίαν καὶ ὀργὴν καὶ θυμὸν ἐκβάλωμεν. Τὰ αὐτὰ λέγω, ἐμοὶ μὲν οὐκ ὀκνηρῶν, ὑμῖν δὲ ἀσφαλές. καὶ γὰρ καὶ ἰατροὶ τῷ αὐτῷ πολλάκις χρῶνται) φαρμάκῳ· καὶ ἡμεῖς δὲ παυσόμεθα τὰ αὐτὰ σήμερον, ἀναμιμνήσκοντες, διδάσκοντες, παραλαμβάνοντες. καὶ γὰρ πολὺς τῶν βιωτικῶν περισπασμὸς ὁ ὄχλος, καὶ λήθην ἡμῖν ἐμποιῶν, καὶ διδασκαλίας δεῖ ἡμῖν συνεχοῦς. ἵν' ὃν μὴ μάθωμεν, μηδὲ εἰκῇ σπουδάσωμεν, τοῦτο συλλεγόμενα, τὸν ἀπὸ τῶν ἔργων ἐπιδείξωμαι παραχώμενα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ καὶ παρὰ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ.

Ρσ. ιβ. ιθ.

Ματθ. ε. κ.

φιλιππ. γ. α.

χ. διαλυόμενοι χάριτι

χ. πῖαν ὁ ἐλπίδα ἔξομεν.

Ομιλ. νβ. 45 ΗΛΘΟΝ ΟΥΝ ΟΙ ΥΠΗΡΕΤΑΙ ΠΡΟΣ ΤΟΥΣ ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ ἔλεγον αὐτοῖς ὄχλοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν; 46 Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ἄνθρωπος.

Ὑδὲν τῆς ἀληθείας σαφέστερον, οὐδὲν ἁπλούστερον, ἐὰν μὴ κακουργῶμεν ἡμεῖς· ὥσπερ οὖν κακουργούντων οὐδὲν δυσκολώτερον. ἰδοὺ γὰρ οἱ μὲν Φαρισαῖοι καὶ οἱ γραμματεῖς, οἱ δοκοῦντες εἶναι σοφώτεροι, ζωὸν ἀεὶ τὸν Χριστὸν ὑπὸ βλεπόντων ἔνεκεν, καὶ θαύματα ὁρῶντες, καὶ γραφὰς ἀναγινώσκοντες, οὐδὲν ἀπῴδουν, ἀλλὰ καὶ ἐβλάσφημησαν· οἱ δὲ ὑπηρέται, οὐδὲν τούτων ἔχοντες εἰπεῖν, ἀπὸ μιᾶς μόνης δημηγορίας ἐκφρώδησαν, καὶ ἀπελθόντες ὥστε αὐτὸν δῆσαι, ἐπεμπλήσθησαν δεδεκότες τὸ θαύμα. διὰ τοῦ ζωοῦν ὁ αὐτὸν θαυμάσαι μόνον ὄντα, ὅτι σημείων οὐκ ἐδεήθησαν, ἀλλ' ἀπὸ τῆς διδασκαλίας μόνης ἐάλωσαν (διὰ γὰρ εἶπον, ὅτι οὐδέποτε ἐθαυματούργησεν ἄνθρωπος οὕτως· ἀλλὰ τί; οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος) διὰ τοῦτο τὸν ζωοῦντα αὐτὸν μόνον ὄντα θαυμάσαι, ἀλλὰ καὶ τὸν προφήσαντα, ὅτι τοιοῦτος οὗτος ἀποστείλαντας ταῦτα ἔλεγεν, τοιοῦτος οὗτος Φαρισαίους, τοιοῦτος οὗτος πολεμοῦντας καὶ πάντα ἀνάπαλιν τούτου τοιαῦτα. ἦλθον γάρ, φησιν, οἱ ὑπηρέται, καὶ λέγουσιν αὐτοῖς οἱ Φαρισαῖοι· διὰ τί οὐκ ἠγάγετε αὐτόν; ὃ γὰρ ἐλθεῖν, πολλῷ μεῖζον ἦν τοῦ μεῖναι. τότε μὲν γὰρ ἀπηλλάγησαν διὰ τῆς τούτων ἐπαρθείας· νυνὶ δὲ κήρυκες γίνονται τῆς τοῦ Χριστοῦ σοφίας, καὶ μείζονος ἐπιδείκνυνται τοῦ προφήσαντος· καὶ διὰ λέγουσιν, οὐκ ἠδυνήθημεν διὰ τοῦ ὄχλου, ὅτι ὡς τοιοῦτος τοιοῦτος ἦν· ἀλλὰ τί; διὰ τοῦτο ἐλάλησεν οὕτως ἄνθρωπος. καίτοιγε ἠδυνάσθησαν ἐκείνῳ εἰπεῖν τοῦ ἀπολογήσασθαι· ἀλλ' ἐμφαίνουσιν ἑαυτοῖς τοῦ ὀργισθῆναι μᾶλλον. τοῦτο γὰρ διαζόντων ἐκείνων μόνον ἰδεῖν, ἀλλὰ καὶ τούτων κατηγορούντων, ὅτι ἐπεμψαν δήσοντας αὐτὸν οὗτοι, διὰ ἀκούειν ἐκείνου. καίτοιγε οὐδὲ μακρὰς ἤκουσαν δημηγορίας, ἀλλὰ βραχείας. ὅταν γὰρ ἡ δικαία ἀδίκους ᾖ, οὐδὲ μακρῶν λόγων δεῖ. τοιοῦτον γὰρ ἡ ἀλήθεια. τί οὖν οἱ Φαρισαῖοι; δέον κατηφυγάσαι, τὸ ἐναντίον ποιοῦσιν, ἀντεγκαλοῦσιν αὐτοῖς,

47 Μὴ καὶ ὑμεῖς πεπλάνησθε, λέγοντες; Ἐπὶ αὐτοῦ κολακεύουσι, καὶ διὰ καταφοείκως κέχρηται τοῦ λόγῳ, δεδοικότες μὴ τέλεον ἀποχρησθῶσιν· ἀλλὰ τὸν θυμὸν ἐμφαίνουσι, καὶ μᾶλλον φειδοῦς φθέγγονται. δέον γὰρ ἐρωτῆσαι, τί ἐλάλησε, καὶ θαυμάσαι τὰ λεχθέντα, τοῦτο μὲν διὰ ποιοῦσιν (ἤδεισαν γὰρ ὅτι ἀλωσιν εἶχεν) ἀπὸ τοῦ τεκμηρίου σφόδρα αὐτοῦ συλλογίζονται.

48 Διά τί γὰρ οὐδείς, φησι, τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν; Τοῦτο οὖν τοῦ Χριστοῦ ἐγκαλοῦς, εἰπέ μοι, καὶ διὰ τοὺς ἀπιστήσασιν;

49 Αλλ' ὁ ὄχλος, φησίν, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν.

Αὕτη γὰρ ὑμῶν ἡ μείζων κατηγορία, ὅτι ὁ μὲν ὄχλος ἐπίστευσαν, ὑμεῖς οὐ πιστεύσατε. καὶ μὴν καὶ τοὺς γινωσκόντων τὸν νόμον ἐποίουν ὄχλοι· πῶς οὖν ἐπάρατοί εἰσιν; ὑμεῖς γὰρ ἐπάρατοι, οἱ μὴ τηροῦντες τὸν νόμον, οὐκ ὄχλοι οἱ τῷ νόμῳ πειθόμενοι. ἐγρεῖν οὐκ ἀπὸ τῶν ἀπιστούντων ἀφαιρεῖν τὸν ἀπιστούμενον. διὰ γὰρ ὀρθὸς ἔσται οὗτος. ἐπεὶ δὲ ὑμεῖς ἠπιστήσατε τῷ Θεῷ, καθὼς Παῦλος φησι· Τί γάρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν Ρω. γ. γ. πίστιν τοῦ Θεοῦ καταργήσει; μὴ γένοιτο. καὶ γὰρ οἱ προφῆται αὐτοῖς ἀεὶ ἐνεκάλουν λέγοντες· Ακούσατε ἄρχοντες Σοδόμων· καὶ, οἱ ἄρχοντές σου ἀπειθοῦσι. καὶ πάλιν· Οὐχ Ησ. α. ι. ὑμῶν ἐστὶ γνῶναι τὸ κρίμα; καὶ πολυτρόπως σφοδρύνεσθαι ἐπιτίθενται αὐτοῖς. τί οὖν; καὶ τῷ Μιχ. γ. α.

χ. πάλιν ὑμῶν

Θεῷ τὶς ἐγκαλέσει δλλὰ τοῦτο; ἄπαγε. ἐκείνων γὰρ τοῦτο τὸ ἔγκλημα. ποῖον δ' ἄν ἄλλο ἦς ποιήσεις σημεῖον τοῦ μὴ γινώσκειν ὑμᾶς νόμον, ἢ τὸ μὴ πιθεσθαι; ὅπερ ἦν εἶπον, ὅτι μὴ τῶν ἀρχόντων ἦς ὅπίς θυσεν εἰς αὐτόν, ἢ ὅτι μὴ γινώσκοντες νόμον· ἀκολούθως αὐτῶν καθαίρεται ὁ Νικόδημος, ὅπου λέγων·

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον; χρῆμα

Δείκνησι γὰρ αὐτοὺς μήτε γινώσκοντας νόμον, μήτε ποιοῦντας νόμον. Εἰ γὰρ ἕκαστος μὲν οὐδένα κελεύει ἀποκτιννύναι ἀνθρωπον μὴ πρότερον ἀκούσαντας, ὅτι ἦν ἀρὴ ἀκούσαι ὅπὶ τοῦτο ὥρμησαν, πολλαπλάσιοι εἰσὶ τοῦ νόμου. ἢ ὅπερ εἶπον, οὐδεὶς τῶν ἀρχόντων ὅπίς θυσεν εἰς αὐτόν, ἀλλὰ τοῦτο ὅπισημαίνεται ὁ εὐαγγελιστὴς, ὅτι εἷς ἦν ἐξ αὐτῶν, δείκνησι ὅτι ἐκ ἀρχοντες ὅπίς θυσαν εἰς αὐτόν. προῆρηνται μὲν γὰρ οὐδέπω τὴν προφητείαν ἐπεδείκνυντο· πολὺ ἀφειστήκεσαν τῆς Χριστοῦ. ὅρα δὲ πῶς ἢ μετὰ φιλοτιμίας ἔλεγχον ἐπάγει. ὑμεῖς γὰρ εἶπεν, ὑμᾶς δὲ βούλεσθε αὐτὸν ἀποκτεῖναι, ἢ ἁπλῶς καταδικάζετε ἄνδρα, ὡς πλάνον· ἀλλὰ προσωπεῖον ἦν, τὴν ἀφανῆ αὐτῶν ὁρμὴν ἐγκρύπτων, ἐκ ὃ ἀσκεπτον ἢ φοβικόν. δλλὰ τοῦτο ὅπὶ τὸν νόμον τείνει τὸν λέγειν, λέγων· ἐὰν μὴ ἀκούσῃ ἀκριβῶς, ἢ γνῷ τί ποιεῖ. ὥστε οὐδὲ ἀκροάσεως δλῆς φείδεται, ἀλλὰ ἢ ἀκριβοῦς. τοῦτο γὰρ ὅστι, ἢ γνῷ τί ποιεῖ, τί βούλεται, ἢ δι' ἃ τί, ἢ ὅπὶ τίνι, πότερον ἐπ' ἀναιρέσει τῆς πολιτείας, ἢ ὡς ἐχθρός. ἀπορηθέντες τοίνυν, ὅπερ εἶπον, οὐδεὶς τῶν ἀρχόντων ὅπίς θυσεν εἰς αὐτόν, ὅτε σφοδρῶς, ὅτε μετὰ φιλοδοξίας αὐτῷ προσωμίλησαν. πόθεν γὰρ ἀκολουθίαν ἔχει, εἰπέ μοι, εἰπόντος ἐκείνου, ὅτι ὁ νόμος ἡμῶν κρίνει ἄνθρωπον, εἰπεῖν, χρήμα

52 Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; Δέον γὰρ δεῖξαι, ὅτι οὐκ ἀκρίτως ἔπεμψαν αὐτὸν καλέσοντες, ἢ ὅλως κατασιωπᾶν λόγον, ἀναισχυντότερον καὶ θυμικώτερον κέχρηνται τῇ παρρησίᾳ. Ερώτησον καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται.

Τί γὰρ εἶπεν ὁ ἄνθρωπος; ὅτι προφήτης ὅστιν; εἶπεν ὅλως ἄκριτον αἱρεθῆναι κατ' ὀλίγον. ἀλλ' ἢ ὑβριστικῶς, ὡς οὐκ εἰδότι πόθεν τῶν γραφῶν κατὰ τοῦτο ἐπήγαγον· ὡσανεὶ εἶποι ἂν, ὦπαιε, μάθε· τοῦτο γὰρ ὅστιν, ἐρώτησον καὶ ἴδε. τί οὖν ὁ Χριστός; ὅπερ ἄνω καὶ κάτω τὴν Γαλιλαίαν ἔγρεφον καὶ τοῖς προφήταις, ἀπαλλάττων πολλῆς ταύτης τῆς ἀλλοτρίας ὑποψίας, καὶ δεικνὺς ὅτι οὐκ εἷς τῶν προφητῶν ὅστιν, ἀλλὰ τοῦ κόσμου δεσπότης, φησίν·

κζ΄ η. 12 Εγώ φῶς εἰμι τοῦ κόσμου· Οὐ Γαλιλαίας, οὐ Παλαιστίνης, οὐδὲ τῆς Ιουδαίας. τί οὖν [ἐκεῖνοι] Ιουδαῖοι;

13 Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Ω τῆς ἀνοίας· ταῖς γραφαῖς προέπεμψεν ἄνω δὲ κάτω, καὶ λέγουσιν, ὅτι σὺ περὶ σεαυτοῦ μαρτυρεῖς. τί γὰρ ἐμαρτύρησεν; ἐγώ εἰμι ὁ φῶς τοῦ κόσμου, μέγα δὲ λεγθὲν, καὶ ὄντως μέγα· ἀλλ' ἢ σφόδρα αὐτὸν ἔπληξεν, ὅπερ ὅτε ἐζήσει νιὸν ἑαυτὸν τοῦ πατρὸς, ὅτε υἱὸς ἐκείνου εἶπεν εἶναι, ὅτε Θεὸς, ἀλλὰ φῶς τινος. ἐβούλοντο μὲν γὰρ ἀναιτέλαι δὲ τοῦτο· κἂν τοι πολὺ τοῦτο μεῖζον τοῦ εἰπεῖν, Ο ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, Φῶς δὲ σκοτίαν νοητὸν λέγων· τοιοῦτον, ἢ μᾶλλον ἐν τῇ πλάνῃ. ἐν ταύτῃ καὶ τὸν Νικόδημον ἐφέλκεται, καὶ ἐνάγει ὡς σφόδρα παρρησιασάμενον, καὶ [οὐδὲν] ὑποπτεύσας τοῦτο πεποιηκότας. ὃ γὰρ κεφάλαιον, τοῦτο ἔστι βαλαντίου κατασκευάσαι, ὥστε καὶ κείνους ἀκοῦσαι. ἅμα δὲ καὶ αὐτοῖς αἰτίαν κρυφῆ τοὺς δόλους πλέκουσι, καὶ ἐν ᾧ σκότῳ καὶ τῇ πλάνῃ· ἀλλὰ τοῦ φωτὸς ἐπιλάμψαντος.

Ιωαν. γ. κ. καὶ τὸν Νικόδημον ὑπομιμνήσκει τῶν ῥημάτων ἐκείνων ἅπερ ἔλεγε πρώην· Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ φανερωθῇ αὐτοῦ τὰ ἔργα. ὅπερ γὰρ ἔλεγεν, οὐδεὶς ἐκ τῶν ἀρχόντων ὅπίς θυσεν εἰς αὐτόν, ἀλλὰ τοῦτό φησιν, ὁ τὰ φαῦλα πράσσων οὐκ ἔρχεται πρὸς τὸ φῶς· δεικνὺς ὅτι ἐπὶ τῆς τοῦ φωτὸς ἀληθείας τὸ μὴ ἐλθεῖν, ἀλλὰ τῆς ἐκείνων διεστραμμένης γνώμης.

14 Απεκρίθησαν

14 Απεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· καὶ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν· ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι. Οταῦτα φθάσας εἶπον, τοῦτο δέ τινες περιβάλλονται ὡς περισσευμάτως λεχθέν. τί οὖν ὁ Χριστός; αἰσχύνεται εἰπὼν αὐτό, καὶ δείκνυσι, ὅτι σκῶμα ὡς περὶ αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ διελέγετο, δι' ὃν θεσπίζουσιν αὐτὸν οἱ προφῆται ψιλόν, φησί· καὶ ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἔρχομαι. τί ἐστι τοῦτο; οὐκ ἐν Θεοῦ εἰμι, καὶ Θεός, καὶ υἱός Θεοῦ· ὁ δὲ Θεὸς αὐτὸς ἑαυτῷ ἀξιόπιστος μάρτυς. ὑμεῖς δὲ οὐκ οἴδατε. ἐξελεγκτικῶς τέ, φησι, καὶ εἰδότες περισσοτέρως ἐστὲ μὴ εἰδέναι· ἀλλ' ἀπὸ ἀνθρωπίνης διανοίας ἄπιστα φθέγγεσθε, οὐδὲν πλέον βουλόμενοι ἢ φαντασθῆναι νοῦν.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε. Ωσπερ τὸ κατὰ σάρκα ζῆν, τὸ φαύλως ζῆν· οὕτω τὸ κατὰ σάρκα κρίνειν, ἀδίκως κρίνειν ἐστίν.

Ἐγὼ οὐ κρίνω οὐδένα· 16 καὶ ἐὰν κρίνω, ἡ ἐμὴ κρίσις δικαία ἐστίν. Ο δὲ λέγει τοιοῦτόν ἐστιν· ἀδίκως κρίνετε. εἰ ἀδίκως κρίνομαι, φησί, διὰ τί μὴ ἐγκαλεῖς; διὰ τί μὴ κολάζεις; διὰ τί μὴ καταπρίνῃς; ὅτι οὐκ ὀπτὶ τοῦτο ἦλθον, φησί. τοῦτο γάρ ἐστι τό, ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις μου ἀληθής ἐστιν. ἐπεὶ εἰ ἐβουλήθην κρῖναι, ὑμεῖς ἂν τῶν καταδεδικασμένων ἦτε. καὶ ταῦτα οὐ κρίνων λέγω, φησίν. οὐ δι' ὃ δὲ εἶπον, οὐ κρίνων λέγω, ὡς οὐ παρρησίαν· ὅτι εἰ ἐκεῖνον, εἶλον ἂν ὑμᾶς. οὐ γάρ εἰ ἐκεῖνον, δικαίως ἂν ὑμᾶς κατεδίκασα· ἀλλὰ νῦν καιρὸς κρίσεως οὐκ ἔστι. καὶ τῆς μνησθείσης μὲν κρίσεως ἠνίξατο εἰπών, Οτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. Ενταῦθα δὲ ἠνίξατο, ὅτι οὐκ αὐτὸς μόνος αὐτοῖς καταδικάζει, ἀλλὰ καὶ ὁ πατήρ. Εἶτα αὐτὸ ζωοποιήσειν, εἰς τὸν αὐτοῦ μαρτυρεῖσθαι ἐάσων·

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρᾳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι. Τί ἂν εἴποιεν οἱ ταῦτα Ⓐ αἱρετικοί; τί πλέον ἔχει τῶν ἀνθρώπων, εἰ ἁπλῶς οὕτως ἐκλαβέσθαι τὸ λεχθέν; ὅτι μὴ γάρ τῶν ἀνθρώπων διά τοῦτο ὤφειλεν εἶναι τὸ, ὅπερ καθ' ἑαυτὸν οὐκ ἔστιν ἀξιόπιστος τις· ὅτι δὲ Θεοῦ πῶς ἂν ἔχοι τοῦτο λέγειν; πῶς οὖν εἴρηται τὸ δύο; ἆρα ὅπερ δύο, ἢ ὅπερ ἄνθρωποι, διά τοῦτο δύο; εἰ γάρ, ὅπερ δύο εἰσί, τίνος ἕνεκεν οὐ κατέφυγεν ὅτι Ⓦ Ιωάννου, οὐδὲ εἶπε, μαρτυρῶ ἐγὼ περὶ ἐμαυτοῦ, ἢ μαρτυρεῖ περὶ ἐμοῦ ὁ Ἰωάννης; τίνος ἕνεκεν ὅτι Ⓦ ἄγγελον; τίνος ἕνεκεν ὅτι οὐδὲ περὶ Φίλιππος; ἢ γάρ μυρίας ἂν εὗρεν ἄλλας μαρτυρίας. ἀλλ' οὐ τοῦτο βούλεται δεῖξαι μόνον, ὅτι δύο, ἀλλ' ὅτι καὶ τῆς αὐτῆς οὐσίας.

19 Λέγουσιν αὐτῷ· πῖς ἐστιν ὁ πατήρ σου; εἶτα φησίν· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. Επειδὴ γὰρ εἰδότες, ὡς οὐκ εἰδότες ἔλεγον καὶ ὡς πειράζοντες αὐτόν, οὐδὲ ἀποκρίσεως αὐτοὺς ἀξιοῖ. διά τοῦτο λέγει λοιπὸν τερατωδέστερα ἀπόρρητα καὶ μὴ πλείονος παῤῥησίας, ἀπό τε τῶν σημείων καὶ τῆς διδασκαλίας τῶν ἀκηκοότων τοῦ μαρτυρεῖσθαι λαβόντων, τῷ τε ἐγγὺς εἶναι Ⓦ φανερόν. οἶδα γάρ, φησι, πόθεν ἔρχομαι. τοῦτο δὲ σφόδρα αὐτῶν κατήφιασε· τὸ δὲ ἐπαγαγεῖν, καὶ ὅπου ἐγὼ ὑπάγω, μᾶλλον αὐτοὺς ἐφόβησεν δή, ὡς οὐ μέλλοντος αὐτοῦ μένειν ἐν τῷ θανάτῳ. διά τί δὲ οὐκ εἶπεν, ὅτι οἶδα, ὅτι Θεός εἰμι, ἀλλ' ὅτι οἶδα πόθεν ἔρχομαι; ἀεὶ τὰ ταπεινὰ δυναμίγνυσι τοῖς ὑψηλοῖς, καὶ αὐτὰ δὲ ταῦτα περιέλλει. Εἰπὼν γάρ ὅτι ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, καὶ τοῦτο δείξας, ἦλθεν ὀπτὶ τὸ ταπεινότερον· ὡσανεὶ ἔλεγε· οἶδα μὲν διά τινος ἀπέσταλμαι, καὶ πρὸς τίνα ἀπέρχομαι. ὅτω γὰρ οὐδὲν δοῦναι ἔχομεν ἀντιπεῖν, ἀκούσαντες ὅτι πρὸς ἐκεῖνον ἀπέσταλται, καὶ πρὸς ἐκεῖνον ἀπειμι. Ἃ γάρ μοι δοῦναι ἔχομεν, φησί, τὶ ψεῦδος, σκληρόν τε ἦκον, καὶ σκληρὰ πιεῖν, πρὸς τὸν ἀληθῆ Θεὸν ὑμεῖς οὐκ ἴστε τὸν Θεόν, διά τοῦτο κατὰ σάρκα κρίνετε. Εἰ γὰρ τοσούτων ἀκούσαντες τεκμηρίων τε καὶ ἐλέγχων, ἔτι λέγετε, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· καὶ Μωϋσέα ἀξιόπιστον πεπείσθε, καὶ ὑπὲρ ὧν περὶ ἄλλων, καὶ ὑπὲρ ὧν περὶ ἐμαυτοῦ λέγω τὸν Χριστὸν οὐκέτι, τοῦτο κατὰ σάρκα κρίνειν ἐστίν. ἐγὼ οὐ κρίνω οὐδένα· καὶ μοὶ φησιν, ὅτι ὁ πατὴρ οὐ κρίνει οὐδένα. πῶς οὖν ταῦτά φησι, καὶ ἐμοὶ κρίνω οὐδένα, ἡ κρίσις ἡ ἐμὴ Ιωαν. ε. κβ.

ἐμὴ δικαία ἐστὶν, ὅτι οὐκ εἰμὶ μόνος; πάλιν πρὸς τὴν ὑπόληψιν τὴν ἐκείνων φθέγγεται· τοῦτέστιν, ἡ κρίσις ἡ ἐμὴ, τοῦ πατρός ἐστιν. οὐκ ἂν ἄλλως ἔκρινεν ὁ πατὴρ κρίνων, εἰ μὴ ὡς ἐγώ· καὶ οὐκ ἄν ἄλλως ἔκρινα, εἰ μὴ ὡς ὁ πατήρ. τίνος οὖν ἕνεκεν καὶ τοῦ παρόντος ἐμνημόνευσεν; ὑπὲρ γὰρ σεαυτοῦ ἀξιόπιστον εἶναι τοῦ υἱοῦ, εἰ μὴ τοῦ παρόντος τὴν μαρτυρίαν προσελάβετο· ἄλλως οὐδὲ ἔσχε τὸ λεχθέν. ὅτι μὲν γὰρ τῶν δύο ἀνθρώπων, ὅταν δύο ἀλλοτρίῳ προσώπατι μαρτυρῶσι, τότε ἡ μαρτυρία ἀληθής ἐστιν (τοῦτο γὰρ ἐστὶ δύο μαρτυρεῖν) εἰ μή τις ἑαυτῷ μαρτυρῇ, οὐκέτι δύο εἰσίν. ὁρᾷς ὅτι δι' οὗ ἕτερον τοῦτο εἴρηκεν, ἵνα δείξῃ ὁμοίους ἑαυτοὺς, καὶ ὑπὲρ δισμύριοι ἄλλης μαρτυρίας, καὶ οὐδὲν ἔλαττον ἔχοντα τοῦ παρόντος; ὅσα γοῦν τῷ αὐθεντήσαι. ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ· οὐκ ἂν οὖν, εἰ ἐλάττονος οὐσίας ἦν, τοῦτο δὴ ἔθηκε. νυνὶ δὲ, ἵνα μὴ νομίσῃς ὅτι ἀριθμοῦ ἔνεκεν πρείλητται, θεὰ τὴν ὀξύτητα οὐδὲν ἔχουσαν πρηλλαγμένον. μαρτυρεῖ αὐθεντῶν, ὅταν ἀφ' ἑαυτοῦ ἀξιόπιστος ᾖ, οὐχ ὅταν μαρτυρίας δέηται, καὶ τοῦτο τὸ ἀλλοτρίῳ προσώπατι· τὸ δὲ ἰδίῳ, ὅταν μαρτυρίας δέηται τῆς περὶ ἑτέρου, οὐκ ἔτι ἐστὶν ἀξιόπιστος. τὸ τοιοῦτο δὲ, πολλοῦ τοὐναντίον. καὶ γὰρ τὸ ἰδίῳ προσώπατι μαρτυρῶν, καὶ περὶ ἑτέρου λέγων μαρτυρεῖσθαι, ἀξιόπιστον ἑαυτὸν εἶναι φησι, πολλὰ γὰρ δείκνυσιν ἑαυτῷ τὴν αὐθεντίαν. Διὰ τί γὰρ εἶπεν, οὐκ εἰμὶ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ, καὶ ὅ, δύο δὲ ἀνθρώπων ἡ μαρτυρία ἐστὶν ἀληθής, οὐκ ἀπεσιώπησεν, ἀλλ' ἐπήγαγεν, ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ; δηλονότι τὴν αὐθεντίαν δηλῶν. καὶ προσῆκεν μὴ ἑαυτὸν τίθεσθαι· ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ· δείκνυσιν τοῦτο τό τε ὁμότιμον, καὶ ὅτι οὐδὲν ὠφελοῦνται τοῦ Θεοῦ λέγοντες εἰδέναι πατέρα, αὐτὸν οὐκ εἰδότες. καὶ τοῦτο αἴτιον εἶναι φησι, τὸ αὐτὸν μὴ θέλειν εἰδέναι. λέγει οὖν, ὅτι ὑ δυνατὸν εἰδέναι τοῦ πατέρα αὐτοῦ χωρὶς, ἵνα κἀν οὕτως αὐτοὺς ἐπισπάσηται εἰς τὴν αὐτοῦ γνῶσιν. ὅπερ γὰρ ἀφιέντες αὐτὸν, ἀεὶ τὸν πατέρα ἐζήτουν μαθεῖν, λέγει· ὑ δύνασθε εἰδέναι τοῦ πατέρα χωρὶς ἐμοῦ. ὥστε ὁ τοῦ υἱοῦ βλασφημοῦντες, οὐκ αὐτὸν βλασφημοῦσι μόνον, ἀλλὰ καὶ τοῦ γεγυμνικότα.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν ὑμῖν λέγω. Οὐκ πῶς προεμυθεῖτο αὐλοῖς πάλιν. ἐγὼ γὰρ πρὸς χάριν λέγω, φησὶν, ἀλλὰ, κἂν μὴ εἰδέναι λυπῆσθε, τὸ συμφέρον ἀκούσαι δεῖ. ὑμῖν μὲν γὰρ κρεῖττον ἐμὲ πρᾶξαι· τὸ δὲ συμφέρον ἔπεσεν. κηδεμόνου δέ ἐστι, τὸ μὴ ὅπου τῆς συμφέροντος τῶν γνησίων φείδεσθαι, καὶ ἀπάγειν τοῦ λυσιτελοῦντος αὐτούς.

Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, φησὶν, ὁ παράκλητος οὐ μὴ ἔλθῃ. Τί λέγουσιν οἱ ταῦτα τὴν προσοχὴν πρὸς τὸ πνεύματος οὐκ ἔχοντες δόξαν; συμφέρει δι' αὐτὸν ἀπελθεῖν, καὶ δοῦλον παράκλητον; ὁρᾶς πῶς πολλὴ τοῦ πνεύματος ἡ ἀξία;

Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ τί τὸ κέρδος;

8 Ἐκεῖνος ἐλθὼν, ἐλέγξει τὸν κόσμον· Τουτέστιν, οὐκ ἀπιμορπὴ ταῦτα προέξουσιν, οὐ γὰρ ἦν ἔλθῃ. ἰσχυρὰ μὲν γὰρ καὶ τὰ παρὰ πολλοῖς πεπιστευμένα παρ' αὐτοῖς· ὅταν δὲ καὶ δι' ἐκείνου ταῦτα γένῃ), καὶ διδάγματα τελεώτερα καὶ σημεῖα μείζονα, πολλῷ μᾶλλον καὶ κατορθώσονται, ὁρῶντες τοσαῦτα ἐν τῷ ὀνόματι μου γινόμενα· ὅπερ σαφέστερον ποιεῖ τῆς δυνάμεως τὴν ἀπόδειξιν. νῦν μὲν γὰρ δυσὶν) λέγει, ὅτι ὁ τοῦ τέκνου υἱὸς, οὐ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα· ὅταν δὲ ἴδωσι θάνατον λυόμενον, καὶ ἅδου ἐκβαλλόμενον, χωλεύοντα Φύσεως διορθουμένην, δαίμονας ἐλαυνομένους, πνεύματος χρηστὸν ἅφατον, καὶ ταῦτα πάντα ἐμοῦ καλουμένου γινόμενα, τί ἐροῦσιν; ἐμαρτύρησε γὰρ περὶ ἐμοῦ καὶ ὁ πατήρ· μαρτυρήσει δὲ καὶ τὸ πνεῦμα. καίτοι καὶ τὴν ἀρχὴν ἐμαρτύρησεν· ἀλλὰ καὶ νῦν τοῦτο ποιήσει. Τὸ δὲ, ἐλέγξει 9 Περὶ ἁμαρτίας, Τουτέστι, πᾶσαν ἀπολογίαν αὐτῶν ἐκκόψει, καὶ δείξει πεπλημμεληκότας ἀσύγνωστα.

10 Καὶ περὶ δικαιοσύνης, ὅτι ἐγὼ πρὸς τὸν πατέρα πορεύομαι, καὶ οὐκέτι θεωρεῖτέ με· Τουτέστιν, ὅτι "ἀληθῆ προφέρομεν βίον. καὶ τοῦτο τεκμήριον, τὸ πρὸς τὸν πατέρα πορεύεσθαι. ὅπου γὰρ αἰτῷ ἀεὶ τοῦτο ἐκεκράξεσαν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ δηλοῖ τοῦτο ἁμαρτωλὸν αὐτὸν ἔλεγεν καὶ παράνομον, φησὶν· ὁμοῦ καὶ ταύτην ἀναιρήσει τὴν πρόφασιν. Εἰ γὰρ τὸ νομίζεσθαι ἐμὲ μὴ εἶναι) ἐκ τοῦ Θεοῦ τοῦτο παράνομον δείκνυσιν· ὅταν δείξῃ τὸ πνεῦμα ἐκεῖ με ἀπελθόντα, καὶ ὑπὲρ ὧν ἔφην, ἀλλὰ μᾶλλον ἐκεῖ (τὸ γὰρ, οὐκ ἔτι θεωρεῖτέ με, τοῦτο ἔστι δηλοῦν) τί ἐροῦσι λοιπόν; ὅσα δηλαδὴ δύο τούτων ἀναιρεθήσεται τὸ πονηρόν. ὅτε γὰρ τὰ σημεῖα ποιῶ, ἁμαρτωλὸς (οὐ γὰρ δυνατὰ) ἁμαρτωλὸς σημεῖα ποιῶν) ὅτι τὸ παρὰ Θεῷ εἶναι δηλαδὴ ἀποδεικνύμενος, ἁμαρτωλὸν. ὥστε οὐκ ἐν" δυνατὸν λέγειν, ὅτι ἐστὶ ἁμαρτωλὸς ὅστις, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ.

11 Περὶ

11 Περὶ δικαίωσεως, ὅτι ὁ ἀρχων τοῦ κόσμου τούτου κέκριται. Πάλιν ἐνταῦθα τὴν περὶ δικαιοσύνης ἀναχυσιν λέγει, ὅτι καὶ ἐπάλαισε τῷ πνεύματι. οὐκ ἂν δὲ ἦν ἁμαρτωλὸς ὢν κατεπάλαισεν· ὅπερ γὰρ δίκαιός τις ἀνθρώπων ποιῆσαι ἴσχυσεν. ὅτι γὰρ κατακέκριται δι' ἐμέ, εἴρηται οἱ καταπαλαίσαντες αὐτὸν ὕστεροι, καὶ τὴν ἀναίσχυντον μου σαφῶς εἰδότες, ὅπερ καὶ ἐκεῖνος αὐτὸν ὄντα. ὁ γὰρ ἴσχυσέ με καταφυγεῖν. ἐπεὶ δὲ ἔλεγον, ὅτι δαιμόνιον ἔχω, καὶ ὅτι πλανῶς εἰμί, καὶ ταῦτα μὴ ταῦτα δειχθήσεται ἕως ὅτε. ὁ γὰρ αὐτὸν ἐλθὼν, εἶτε ἁμαρτία ὑπεύθυνος ἡμῶν· νυνὶ δὲ κατακέκριται ἐκβέβληται. 12 Ἐπὶ πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Οὐχοιῶν συμφέρει ἐμὲ ἀπελθεῖν, εἶτε τότε μέλλετε βαστάζειν, ὅταν ἀπέλθω. καὶ τί γέγονε; μείζων σου ὁ πνεῦμά ἐστιν, ὅτι νυνὶ μὲν οὐ βαστάζομεν, ἐκεῖνο δὲ ἡμᾶς βαστάζειν δύναται; μείζων ἡ ἐκείνου ἐνέργεια καὶ τελειοτέρα; οὐ γὰρ ἐκεῖνος τὰ ἐμὰ ἐρεῖ. ἀλλὰ τοῦτό φησιν· 13 Ἀφ' ἑαυτοῦ λαλήσει οὐδέν, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. 14 Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 Πάντα, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει, καὶ ἐν ταῖς θλίψεσιν ὑμᾶς παραμυθήσεται, ὅπερ αὐτὸς οὐκ ἐποίησε, καὶ ὅτι συμφέρει ἐμὲ ἀπελθεῖν, καὶ ἄκρον ἐλθεῖν, καὶ νυνὶ μὲν οὐ δυνάσθε βαστάζειν, τότε δὲ δυνήσεσθε, καὶ ὅτι ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν· ἵνα μὴ ταῦτα ἀκούοντες μεῖζον τὸ πνεῦμα νομίσωσι, καὶ εἰς ἀσεβείας ἐκπτῶσιν ἐκάτερα ἐμπέσωσι, διὰ τοῦτό φησιν, οὐκ ἐμοῦ λήψεται· τουτέστιν, ἅπερ αὐτὸν εἶπον ἐγὼ, ταῦτα κἀκεῖνος ἐρεῖ. ὅταν δὲ εἴπῃ, οὐδὲν ἀφ' ἑαυτοῦ λαλήσει, οὐδὲν ἐναντίον, οὐδὲν ἴδιον παρὰ τὰ ἐμά φησιν. ὥσπερ οὖν ἐγὼ ἐξ ἐμαυτοῦ λέγων, ἃ ἐμαυτοῦ δὲ λαλῶ, τοῦτό φησιν, ὅτι οὐδὲν ἐκτὸς τοῦ πατρὸς, οὐδὲν ἴδιον ἢ πρὸς ἐκεῖνον καὶ ἀλλότριον, ἀλλὰ καὶ ὁπερ τοῦ πνεύματος. τὸ δὲ οὐκ ἐμοῦ, ὃ ἐξ ὧν ἐγὼ οἶδα, οὐκ ἐμῆς γνώσεως. μία γὰρ ἐμοῦ καὶ τοῦ πνεύματος γνῶσις. καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐπῆρεν αὐτῶν τὸν λογισμόν. ὡς οὐδὲν γὰρ ἄτοπον λίχνον τὸ ἀνθρώπινον γένος, ὡς πρὸς τὸ μανθάνειν τὰ μέλλοντα. τοῦτο γοῦν συνεχῶς πρώτων αὐτὸν, ποῦ ὑπάγεις, 25 λέγουσιν ἡ ὁδός; καὶ ταύτης οὖν ἀπαλλάττων αὐτοὺς τῆς φροντίδος, λέγει· ὅτι πάντα ὑμῖν συμφέρει, ὥστε μὴ ἐμπίπτειν ἀφυλάκτους. ἐκεῖνος ἐμὲ δοξάσει. πῶς; ἐν τῷ ὀνόματι ᾧ ἐμοῦ δώσει καὶ ἐνεργείας. ὅπερ γὰρ μείζονα ἔμελλον ποιεῖν σημεῖα παραγινομένου τοῦ πνεύματος, διὰ τοῦτο πάλιν τοῦ ἰσοτιμίαν εἰσάγων, φησίν· ἐκεῖνος ἐμὲ δοξάσει. ποίαν λέγει πᾶσαν ἀλήθειαν; καὶ γὰρ καὶ τοῦτο αὐτοῦ μαρτυρεῖ, ὅτι ἡμᾶς ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν. αὐτὸς 30 μὲν γὰρ διὰ τὸ σάρκα περικεῖσθαι, καὶ διὰ τὸ μὴ δύνασθαι πρὸς ἑαυτὸν λέγειν, καὶ διὰ τὸ μηδέπω αὐτοῖς τὴν ἀνάστασιν εἰδέναι σαφῶς, καὶ ἀτελεστέρους τοὺς Ἰουδαίους, ἵνα μὴ ὡς παρανομοῦντα δόξῃ κολάζειν, οὐδὲν μέγα ἐφθέγγετο συνεχῶς, ὅτε τοῦ νόμου σαφῶς ἀπέστησεν. ὅπερ ἦν αὐτῶν ἀπεχθάνεσθαι οἱ μαθηταί, καὶ ἔξω λοιπὸν ἦσαν ἐκεῖνοι, καὶ πολλοὶ πιστεύειν ἔμελλον καὶ τὴν ἁμαρτημάτων ἄφεσιν λαβεῖν, καὶ ἄλλοι ἦσαν οἱ πρὸς αὐτὸν λέγοντες, οὐκ ἴδιά 35 αὐτὸς πρὸς ἑαυτὸν μεγάλα εἰκότως ἐφθέγγετο. ὥστε ὁ τῆς ἀγνοίας τὸ ἐμπῆς, φησι, τὸ μὴ εἰπεῖν ἁπαξ εἰπεῖν ἐγκλῶ, ἀλλὰ τὸ τῶν ἀκουόντων ἀσθενείας. ἐκεῖνο δὲ εἰπὼν, ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν, ἐπήγαγεν· ἀφ' ἑαυτοῦ οὐκ ἐρεῖ. ὅτι γὰρ οὐ διδασκαλίας τὸ πνεῦμα δεῖται, ἀκουσον δὲ Παύλου λέγοντος· Οὕτω δὲ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὥσπερ 1. Kor. 2. 11. οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου οὐ μεμαθήκαμεν πρὸς ἕτερον οἶδεν· ὅτω καὶ τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐμοῦ 40 λήψεται· τουτέστι, συνώφθαι τοῖς ἐμοῖς ἐρεῖ. πάντα, ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν. ἐπεὶ οὖν ἐμά ἐστιν ἐκεῖνα, ἐκεῖνος δὲ οὐκ ἐμοῦ ἐρεῖ, οὐκ ἐμοῦ ἐρεῖ. ἆρά τι δὲ οὐκ ἦρκετο πρὸν ἢ αὐτὸν ἀπελθεῖν; ὅτι οὔπω τὰ καλάμους ὀρθώσης, οὔπω τὰ ἁμαρτίας λυθείσης, ἀλλ' ἐπὶ πάντων ὑπευθύνων ὄντων τῇ πλημμελείᾳ, οὐκ ἂν προῆλθεν. δεῖ οὖν, φησι, τὴν ἔχθραν λυθῆναι, καὶ καταλλαγῆναι ἡμᾶς τῷ Θεῷ, καὶ τότε δέξασθαι τὸ δῶρον. ἐκεῖνο. ἆρά τι δὲ φησι, πέμψω αὐτόν; τουτέστι, πρὸ τοῦ δικαιοσθῆναι σω

σκυλάσω ὑμᾶς ὡς ἐς τ' ἀποδυλιῶν. πῶς γὰρ ὁ πέμψας οὐ πέμπεται; ἀλλως ἢ, ἐς τ' ὑποστάσεων ὁ λόγος διαφορὰν δείκνυσι. διὰ δύο ἢ ταῦτα ἄτω φθέγξεται, ἢ ὅτι δυσπαράστως εἶχεν, πείθων τὸ πνεύματος ἔρχεσθαι, ἢ ἵνα αὐτὸ θεραπεύσωσιν. ἠδύνατο μὲν γὰρ ἂν αὐτὸς ταῦτα ἐργάζεσθαι· ἀλλὰ διὰ τοῦτο συγχωρεῖ μαρτυρεῖν, ἵνα μάθωσιν αὐτοῦ τὴν ἀξίαν. ὥσπερ γὰρ ὁ πατὴρ ἠδύνατο τὰ ὄντα δημιουργεῖν· ὁ δὲ υἱὸς αὐτὸ ποιεῖ, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν, ὅτι καὶ τοῦτο. διὰ τοῦτο καὶ αὐτὸς ἐσαρκώθη, ἵνα πνεύματι τηρῶν τὴν ἐνέργειαν, καὶ ἐμφράττων τὰ στόματα τῶν τὴν ἀποδεσιν τῆς ἀφάτου φιλανθρωπίας εἰς ἀφορμὴν ἀσεβείας λαμβανόντων. ὅταν γὰρ λέγωσιν, ὅτι διὰ τοῦτο ἐσαρκώθη ὁ υἱός, ἵνα καταδιέσεργες ἰῶ τὰ παρόντα, ἐρεῖτε αὐτοῖς, τί οὖν δὴ εἶπεν περὶ τοῦ πνεύματος; ὃ γὰρ ἔλαβε σάρκα, καὶ ὃ ὑπὲρ διὰ τοῦτο μεῖζον τοῦ υἱοῦ αὐτὸ ἐρεῖτε, οὐδὲ ὁ υἱὸς αὐτοῦ καταδιέσεργεν. διὰ τοῦτο δὲ ὅτι τοῦ βαπτίσματος ἡ τελεία παραλαμβάνεται. καὶ γὰρ ὁ πατὴρ οὐ πάντα ἐργάσεται δυνατὸν, οὐδὲ ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ', ὅπερ περὶ τοῦ παρόντος ἴδοις ἂν μυρίαλλή, τοῦτο ἀμφίβολον ἰῶ περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου, πρὸς εἰλικρίνειαν δὲ τῆς μυσταγωγίας, ἵνα σὺ τὴν κοινωνίαν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν καὶ τὴν κοινωνίαν τῆς ἀξίας καταμανθάνωμεν. ἐπὶ τοῦτο δὲ ὁ υἱὸς καθ' ἑαυτὸν ταῦτα, ἀντὶ τοῦ ὅτι τοῦ βαπτίσματος μὴ τοῦ παρόντος δοῦναι, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἄκουσον ταῦτα σαφῶς. τοῖς γὰρ Ἰουδαίοις ἔλεγεν Ἵνα γὰρ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· καὶ πάλιν, Ἵνα ὁ υἱὸς φωτὸς γένησθε· καί, Ἐγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς. εἶτα μὴ ταῦτα, Ἵνα ζωὴν, φησὶν, ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἴδωμεν δὴ καὶ τὸ πνεῦμα τὸ αὐτὸ τοῦτο ποιοῦν. ποῦ ἐστιν ἰδεῖν; Ἐκείνῳ δὴ ἡ φανέρωσις τοῦ πνεύματος, φησὶ, δίδοται πρὸς τὸ συμφέρον. ὁ τοίνυν ταῦτα πρὸ ἔχων, καὶ ἁμαρτήματα πολλῷ μᾶλλον ἀφίησι. καὶ πάλιν· Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· τὸ δὲ, Ζωοποιήσει διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν· καί, Τὸ πνεῦμα ζωὴ διὰ δικαιοσύνην· καὶ πάλιν, Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. καὶ τότε δὴ πάντα ἅπερ ἐποίουν, παραλαμβάνουσι τοῦ πνεύματος ἐναμματοῦργουν. καὶ Κορινθίοις δὲ γράφων ἔλεγε Παῦλος· Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. ἐπεὶ δὲν ἔδει μὴ τοῦ παρόντος πολλὰ ἔχουσαι, καὶ τὸν υἱὸν δὴ εἶδον πολλὰ ἐργασάμενον, ἔδει δὴ τοῦ πνεύματος ἐνδεῶς ἐνδεῶς πω σαφῶς ἠδέσθαι, μαρτυρεῖ, καὶ τὴν τελείαν εἰσάγει γνῶσιν. ἀλλ' ἵνα μὴ μακρὸν ἐκτείνω τὸν λόγον (ὅπερ ἐφθάσω εἰπών) διὰ τοῦτό φησιν· ὅσα δ' ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ. ἐπεὶ, εἰ μὴ τοῦτο ἔστι, πῶς οὐκ ἄτοπον, εἰ τότε ἐμόγησεν ἀκούειν, καὶ διὰ τοὺς μαθητευομένους; οὐδὲ γὰρ τότε ἐμόγησε καθ' ὑμᾶς εἰδέναι, εἰ μὴ διὰ τοὺς ἀκουσομένους. καὶ τί τοῦτο παραμυθεῖται τὸ ῥήματος γένοιτ' ἄν; ἄλλως δὲ· τί καὶ ἐμόγησεν ἀκούσεσθαι; ἃ ταῦτα πάντα εἶπε διὰ τοὺς φοιτῶν; εἶτα γὰρ ὡς τῆς τοῦ νόμου λύσεως ἐμόγησε διδάσκειν, εἴρητο· εἶτα ὡς τοῦ Χριστοῦ καὶ τῆς θεότητος αὐτοῦ, καὶ τῆς οἰκονομίας, καὶ ταῦτα εἴρητο. τί γὰρ καὶ τεθνάτεσαν ἐμόγησε μὴ ταῦτα ἐρεῖν; καὶ ταῦτα ἐργάσεται ἀναγγελεῖ. διὰ ταῦτα μάλιστα δείκνυσιν αὐτοῦ τὸ ἀξίωμα, ὅπερ Θεοῦ τοῦτο μάλιστα ἴδιον, τὸ λέγειν τὰ μέλλοντα. εἰ δὲ καὶ αὐτὸς μεμαθήκει παρ' ἑτέρου, οὐδὲν πλέον ἔχει τῶν προφητῶν· ἀλλὰ διὰ τοῦτο τὴν ἀπηκριβωμένην πρὸς τὸν Θεὸν γνῶσιν δηλοῖ, ὅτι ἀδύνατον ἄλλο τι φθέγξασθαι αὐτό. τὸ δὲ, ἐκ τοῦ ἐμοῦ λήψεται, ἤτοι ἐκ τοῦ χαρίσματος τοῦ εἰς τὴν σάρκα τὴν ἐμὴν ἐληλυθότος, ἢ [ὅτι] ἀπὸ τῆς γνώσεως, ἧς καὶ ἐγὼ ἔχω, οὐχ ὡς δεόμενος, οὐδὲ ὡς παρ' ἑτέρου μαθών, ἀλλ' ὡς μιᾶς οὔσης ἐμοῦ καὶ τῆς αὐτῆς. διὰ τί δ' οὕτως εἶπε, καὶ μὴ ἑτέρως; ὅτι οὐδέπω τὸ τοῦ πνεύματος ἤδεσαν λόγον. διόπερ ἐν κατασκευάζει μόνον, ὥστε πιστευθῆναι αὐτὸ καὶ δεχθῆναι παρ' αὐτοῦ, καὶ μὴ σκανδαλισθῆναι. ὅπερ γὰρ ἔλεγεν, εἰς ὅστιν ὑμᾶς ὁ διδάσκαλος ὁ Χριστός, ἵνα μὴ

Μαρκ.ε.ϛ. Ιωαν.ιϛ.λε. Ιωαν.ι.κβ. α.Κορ.ιε.ζ. Ιωαν.ϛ.ξγ. Ρω.η.ιϛ. Ρω.η.ι. Ρω.η.ιθ. α.Κορ.ϛ.ιϛ. α.Κορ.ϛ.ια.

χ. ἀφῆναι χ. βάπτισμα χ. πνεῦμα

μὴ νομίσωσι τῶν ἐμὲ κενοῦν ἐκείνῳ πειθόμενοι, μία ἡ ἐμὴ καὶ ἡ ἐκείνου διδασκαλία, φησίν, ὅτιν· ὃς ὧν ἐλάγιστον ἐγὼ διδάσκειν, οὐκ ἐμαυτῷ καὶ αὐτὸς ἐρῶ. μὴ δὴ νομίσητε ἕτερα εἶναι τὰ ἐκείνου. καὶ γὰρ καὶ οὐκ ἐμά ἐστι καὶ τοῦ ἐμοῦ συνεργοῦ δόξαν. ἓν γάρ θέλημα παρὰ τοῦ καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. οὕτω καὶ ἡμᾶς εἶναι βούλεται λέγων, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἐγὼ καὶ σὺ ἓν ἐσμεν.

Οὐδὲν γὰρ ὁμονοίας ἐστὶν οὐδὲ συμφωνίας. ὁ γὰρ εἷς, πολλοστός ἐστιν ἄπως. αἱ γὰρ ΗΘΙΚΟΝ
ὁμόψυχοι ὦσι δύο ἢ δέκα, οὐκ ἔτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δεκαπλασίων ἕκαστος αὐτῶν γίνεται, καὶ εὑρήσεις ἐν τοῖς δέκα ἓν, καὶ ἐν ἑκατὸν ἓν δέκα. κἂν ἕνδεκα ἔχωσιν, ὁ ἓν ἐν ἑκατοντοσθαλῶν, ὡς τοῖς δέκα ἑκατοντοσθαλῶν, ὅπως ἀλίσκηται. οὐ γὰρ ὑφ' ἑνὸς βάλλεται μόνου, ἀλλ' ἴσα τοῖς δέκα στόμασι. καὶ πόρισεν ὁ εἷς; ἀλλ' οὐκ ἔστιν ἐν ἀπορίᾳ. ὃ γὰρ μείζονι μέρει, τοῦτο τοῖς πλείοσι, τοῖς ἐνδεᾶ, εὐπορεῖ, καὶ ὃ ἀπορῶν συσκιάζεται μέρος, ὃ ἔλαττον, ἀφ' οὗ τὸ πλείονος τοῦ εὐπορουμένου. ἕκαστος τούτων ἔσχηκε χεῖρας ἔχει καὶ ἔσχηκε ὀφθαλμούς, καὶ πόδας τοσούτους. οὐ γὰρ τοῖς ἑαυτοῦ μόνον ὀφθαλμοῖς ὁρᾷ, ἀλλὰ καὶ τοῖς ἑτέρων, οὐ τοῖς ἑαυτοῦ βαδίζει ποσίν, ἀλλὰ καὶ τοῖς ἑτέρων· οὐ ταῖς ἑαυτοῦ χερσὶν ἐργάζεται, ἀλλὰ καὶ ταῖς ἐκείνων. ψυχὰς ἔχει δέκα. οὐ γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἐκείναις ἀφ' αὑτοῦ μεμερίμνησεν. εἰ δὲ καὶ ἐκάλεσεν ἡμᾶς, ὃ αὖθις ἔσται πάλιν, καὶ ἐκπαγήσεται τὰ τῆς δυνάμεως. εἶδες ἀγάπης ὑπερβολήν, πῶς ἀκαταγώνιστον ποιεῖ ἓν καὶ πολλαπλασίω; πῶς ὁ εἷς καὶ πολλαχοῦ δυὰς εἶναι; ὁ αὐτὸς καὶ ἐν Περσίδι καὶ ἐν Ῥώμῃ· καὶ ὅπερ φύσις οὐ δυὰς, ἡ ἀγάπη δυὰς. ὃ μὲν γὰρ αὐτὸς ἐκεῖσε ἔσται· ὃ δὲ ἔχει· μᾶλλον δὲ ὁλόκληρος ἐκεῖσε, καὶ ὁλόκληρος ἐκεῖ. ἐὰν δὲ χίλιοι ἔχῃ φίλους, ἢ δισχίλιοι, ἐννόησον πού πάλιν ὑπερβήσεται τὰ τῆς δυνάμεως. ὁρᾷς πῶς αὐξητικόν ἡ ἀγάπη; ὃ γὰρ θαυμαστὸν τοῦτο ἐστί, ὃ χιλιοστὸν ποιῆσαι τὸ ἕνα. ἵνος οὖν ἕνεκεν οὐ κινδυνεύομεν τὴν δυνάμιν ταύτην, καὶ ἐν ἀσφαλείᾳ καθιζώμεθα ἑαυτοῖς; τοῦτο δυναστείας καὶ πλούτου κρεῖττον πάντος, τοῦτο ὑγείας, τοῦτο αὐτοῦ τοῦ φωτὸς πλέον, τοῦτο βιβυμίας ἀπόθεσις. μείζων ἵνος εἷς ἕνα καὶ δύο ἀφιέντα τὴν ἀγάπην; μάθε καὶ ἐξ ἐναντίας ὃ παράγραμμα. ἔστω τις μηδένα φίλον ἔχων, ὥσπερ δυσίας ἐστὶν ἐρήμης (μωρὸς γὰρ ἐρῶ, οὐκ ἀπαρχήν μοι φίλος) ὁ τοιοῦτος ποίαν ζήσεται ζωήν; καὶ γὰρ μυριάκις ἢ πλούσιος, καὶ ἐν ἀφθονίᾳ καὶ τρυφῇ, καὶ μυρία ἀγαθὰ κεκτημένος, πάντων ἔρημος καὶ γυμνὸς καθίσεται. ὅπου γὰρ τῶν φίλων οὐκ ὄντως, ἀλλά, κἂν πέντε ὦσι, τῶν πλουσίων εὐπορώτεροι τυγχάνουσι· ἃ ἅπερ αἱ τοῦ αὐτοῦ σῶμα εἶπεῖν ὅπη χειρὶ, ταῦτα ὁ φίλος ἐρῶ· καὶ ὅσα δυνάται ἑαυτῷ χρήσασθαι, δι' ἑτέρου δυνήσεται καὶ πολλῷ πλείονα, καὶ πάσης ἡμῖν ἔσται ἀπολαύσεως καὶ ἀσφαλείας κατάθεσις. δυνάμεθα γὰρ ὅτι παθεῖν καὶ χωρὶς ὑπὸ τοσούτων δορυφόρων φυλαττόμενον. δυνάμεθα γὰρ τοιούτοι τοῦ βασιλέως ἀσωματοφύλακες ἀκριβῶς, ὡς ὅτι. μὴ γὰρ ἀνάγκη ἐστὶ φόβῳ τὸν φυλακτικὸν ἐπιδείκνυσθαι· ἡ δὲ οὐσία καὶ ἀγάπη· πολλῷ δὲ φόβου τυραννικώτερα αὕτη. κἀκεῖνος μὲν οὖν φύλακας αὐτοῦ δέδοικεν, οὗτος δὲ τούτοις μᾶλλον, ἢ ἑαυτῷ θαρρῶν, καὶ διὰ τούτους οὐδένα τῶν ἐπιβουλευόντων δέδοικεν. ἐμπορευσώμεθα τοίνυν τὴν ἐμπορείαν ταύτην· ὁ πένης, ἵνα τῆς πενίας ἔχῃ ἀπαλλαγήν· ὁ πλούσιος, ἵνα τὸν πλοῦτον ἐν ἀσφαλείᾳ κεκτημένος ᾖ· ὁ ἄρχων, ἵνα μὴ ἀσφαλείας ἀσφαλείᾳ ἄρχῃ· ὁ ἀρχόμενος, ἵνα βίβυμνος ἔχῃ τὸν ἄρχοντα. τοῦτο ἡμερότητος ἀφορμή, τοῦτο παραστάτης ἐπιθήσεις. ἐπεὶ καὶ ἐν τοῖς θηρίοις σκῆνα μάλιστα ἐστὶ χαλεπὰ καὶ ἀπήθανα, τὰ μὴ ζωπαλαζόμενα. διὰ τοῦτο πόλεις οἰκοῦμεν, καὶ ἀγέλας ἔχομεν, ἵνα ἀλλήλοις στηρίζωμεθα. τοῦτο καὶ Παῦλος ἐκέλευσε λέγων· Μὴ ἐγκαταλιμπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. οὐδὲν γὰρ ὄντως ὡς μόνωσις κακόν, καὶ ὃ ἀσυνδυαστὸν καὶ ἀποτόπιον. τί οὖν μοναχοί, φησι, καὶ οἱ τὰς κορυφὰς τῶν ὀρέων κατειληφότες; οὐδὲ ἐκεῖνοι φίλων εἰσὶ χωρὶς, ἀλλὰ σὺν μὲν ἐπὶ τῆς ἀοράτου ἐφυγον θορύβους, πολλοὺς δὲ ἔχουσιν ὁμοψύχους καὶ ἀκριβῶς ἀλλήλοις συνδεδεμένους. καὶ ἵνα τοῦτο κατορθώσωσιν

Εξ.ι.κα.

χ. καθίσηται.

σιν

σιν, ἀνέχαρησαν. ὅπου γὰρ ἡ τῶν πραγμάτων φιλοσοφία πολλὰς ποιεῖται ἐλευθερίας, ἀλλὰ τοῦτο οὐκ μέσοι γινόμενοι τῇ ἀγάπῃ γεωργοῦσι μετ' ἀκριβείας πολλῆς. τί οὖν, εἴ τις μόνος εἴη, φησί, καὶ κενὸς μυρίους ἔχῃ φίλους; ἐγὼ μὲν γὰρ βούλομαι, εἰ δυνατόν, καὶ ζωδιατρίβειν ἀλλήλοις εἰδέναι· τέως δὲ μηνύσω σοι τὰ τῆς φιλίας ἀκίνητα. ἃ γάρ ὁ τόπος ποιεῖ τὰς φίλους. πολλοὺς γοῦν ἔγνωσι τοὺς θαυμάζοντας· οὐκ αἰδεῖ δὲ ἐθαύμασαν, εἰ μὴ ἐφίλουν. καὶ αὐλοὶ πάλιν (κἂν ἀπάσης θύρας) τῆς οἰκουμένης, ὅπερ μέγιστον φιλίας ἐστὶ τεκμήριον. διὰ τοῦτο καὶ ἐν τοῖς μυστηρίοις ἀσπαζόμεθα ἀλλήλους, ἵνα ᾖ πολλοὶ γνώμεθα εἷς· καὶ ὅταν τῶν ἀμυήτων κοινὰς ποιούμεθα τὰς εὐχάς, λιτανεύοντες ὑπὲρ νοσούντων, καὶ τῶν καρπῶν τῆς οἰκουμένης, καὶ γῆς καὶ θαλάττης. ὁρᾷς πᾶσαν τῆς ἀγάπης τὴν δύναμιν; ἐν ταῖς εὐχαῖς; ἐν τοῖς μυστηρίοις; ἐν ταῖς θυσίαις; τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν. διὰ ταύτης ἐχόμενα μὴ ἀκριβείας, καὶ τὰ πρόσταγμα κενῶς οἰκονομήσομεν, καὶ τῆς βασιλείας ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. οθ. 16 ΜΙΚΡΟΝ, καὶ οὐ θεωρεῖτε με· καὶ πάλιν μικρόν, καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. 17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστιν τοῦτο ὃ λέγει, μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. χ. ἀκμὴ

Ἠνοιγομένου ψυχοῦ καὶ ἐκ τοῦ ἀγνοίας καταχομένου πολλῆς, οὐδὲν οὕτως εἴωθε καταβάλλειν, ὡς τὰ τοῦ λύπου πίκτοντα ῥήματα τρεφόμενα συνεχῶς. τί δήποτε οὖν ὁ Χριστὸς εἶπεν, ἐκ τοῦ ἐγὼ ὑπάγω, καὶ οὐκ ἔτι λαλήσω μεθ' ὑμῶν, συνεχῶς τὰ αὐτὰ τρέφῃ, λέγων· μικρόν, καὶ οὐκ ἔτι θεωρεῖτέ με, καὶ, ὅτι ὑπάγω πρὸς τὸν πέμψαντά με; ὅτε γὰρ αὐτοῖς ἀνεκήρυττε τὸ πνεῦμα τὸ ἅγιον, τότε πάλιν αὐτῶν καταβάλλῃ τὰ φρονήματα. ἵνα οὖν ἔνεχεν τοῦτο ποιῇ; βασανίζει τὴν διάνοιαν καὶ δοκιμωτέραν ἐργάζεται, καὶ συνεθίζει καλῶς αὐτοῖς ἐν τῇ τοῦ λυπηροῦ ἀκροάσει ἡμερώσεως ἐνεγκεῖν αὐτὸν τὸν χωρισμόν. ὁ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο μελετήσαντες, ἔμελλον καὶ ἐν τοῖς πράγμασιν αὖθις ῥᾳδίως οἴσειν λοιπόν. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτὸ τοῦτο παραμυθία ἐστί, τὸ εἰπεῖν ὅτι πρὸς τὸν πατέρα ἀπέρχομαι. τοῦτο γὰρ δηλοῦντος ἦν, ὅτι οὐκ ἀπολοῦμαι, ἀλλὰ μεταστάσεως ἡ ἐστὶν αὐτοῦ ἡ τελευτή. καὶ ἑτέραν παραμυθίαν αὖθις ἐνέθηκεν. ἃ γὰρ εἶπε, μικρόν, καὶ οὐκ ἔτι θεωρεῖτέ με, μόνον, ἀλλὰ καὶ πρόσθηκε· μικρόν, καὶ ὄψεσθέ με, δηλῶν ὅτι καὶ ἐπομένως, καὶ πρὸς ὀλίγον ἔσται ὁ χωρισμός, καὶ διώκειν ἡ μετ' αὐτῶν συνουσία. τοῦτο μάθωμεν οὐ συνήθων. ὅταν καὶ εἰκότως αἴ τις θαυμάσειε, πῶς πολλάκις ταῦτα ἀκούοντες, ὡς μηδὲν ἀκηκοότες, ἄπτως ἀμφιβάλλουσι. πόθεν οὖν ἄγνοιαν ἔσχον; ἢ διὰ τὸν λύπον, ὡς ἔγωγε οἶμαι (αὕτη γὰρ ἔξέβαλλε τῆς διανοίας αὐτῶν τὰ λεγόμενα) ἢ διὰ τὸν ἀσάφειαν αὐτῶν λεγομένων. διὸ καὶ ἔδοξεν αὐτοῖς δύο σωτηρία πρᾶξαι οὐκ ὄντα σωτηρία. Εἰ γὰρ ὀψόμεθά σε, φησί, πρὸς ὑπάγεις; Εἰ δὲ ὑπάγεις, πῶς ὀψόμεθά σε; διὰ τοῦτο λέγουσιν, οὐκ οἴδαμεν τί λαλεῖ. ὅτι μὲν γὰρ ἀπέρχεται ἤκουσαν· ἠγνόουν δὲ ὅτι μετὰ μικρὸν ἥξει πρὸς αὐτούς. διὰ δὴ τοῦτο καὶ ὑπεμνήσθησαν αὐτοῖς, ὅτι οὐ συνήθων τὸ λεγόμενον. βαλόμενος γὰρ αὐτοῖς ἐμπῆξαι τὸ περὶ τοῦ θανάτου δόγμα, τί φησιν;

20 Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς· ὁ δὲ κόσμος χαρήσεται. Ἐπειδὴ γὰρ διὰ τὸ μὴ βούλεσθαι, καὶ μετὰ ἔπεσεχον τῷ πιστεύειν, ὅτι οὐκ ἀποθανεῖται, εἶτα ἀκούσαντες ὅτι ἀποθανεῖται, ἀμφέβαλλον οὐκ εἰδότες τί ποτέ ἐστι τὸ μικρόν, φησι· κλαύσετε καὶ θρηνήσετε.

τε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται). Εἶπα δεικνύς, ὅτι μὴ τὴν λύπην χαρὰν ἔχῃς, καὶ ὅλη ἡ λύπη ἴσχυει τὴν χαράν, καὶ ὅτι αὕτη μὲν βραχεῖα, ἡ δὲ ἡδονὴ ἀπέραντος, ὅπερ τῷ παραδείγματι ἦλθε χρησικόν· καὶ τί φησιν;

21 Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει. Καὶ κέχρηται) τῇ παραβολῇ ἡ καὶ τοῖς ἀποστόλοις φῆναι, συνεχῶς τὴν ἐπαγγελίαν τῶν ὠδίνων τῆς ἀγωνίας παραβάλλοντες. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὠδίνες λήψονται ὑμᾶς· ἀλλ' ἡ ὠδὶς τῶν τόκων χαρᾶς αἰτία· ἅμα καὶ τοῦτο δεῖ ἀναστάσεως πιστούμενος λέγειν, καὶ δεικνὺς ὅτι ὃ ἐντεῦθεν ἀπελθεῖν, ὅμοιόν ἐστι τῷ ἀπὸ μήτρας ἀπελθεῖν εἰς λαμπρὸν φῶς· ὡσανεὶ ἔλεγε, μὴ θαυμάσητε ὅτι ὀλίγα λύπης τοιαύτης ὄντα τὰ συμφέροντα ὑμᾶς ἄγω· ἐπεὶ καὶ ἡ μήτηρ ὅταν τέκῃ μήτηρ οὕτως ἔρχεται ἀπὸ λύπης. ἀνίησιν) ὃ ἐν τούτοις καὶ τὸ μυστικόν· ὅτι ἔλυσεν αὐτὸς τὸν θανάτου τὰς ὠδῖνας, καὶ νέον καὶ θεῖον ἀπογεννηθῆναι πεποίηκε. Καὶ οὐκ εἶπεν ὅλως πρεσβύσεται ἡ θλῖψις μόνον, ἀλλ' οὐδὲ μέμνηται αὐτῆς (τοσαύτη ἡ ἀπροσδεχήτου χαρά) ὕστερον καὶ τοῖς ἁγίοις ἔσται. καὶ μικρὸν δὲ ἀπὸ τούτου χαίρει ἡ γυνή, ὅτι ἦλθεν ἄνθρωπος εἰς τὸν κόσμον, ἀλλ' ὅτι αὐτῇ παιδίον ἐτέχθη. ἐπεί, εἰ ἀπὸ τούτου ἔχαιρεν, οὐδὲν ἐκώλυε καὶ ἐφ' ἑτέρᾳ γυναικὶ πικτούσῃ καὶ μὴ πικτώσας χαίρειν. Τίνος οὖν ἕνεκεν ἔφη τοῦτο εἰπεν; ὅτι εἰς τοῦτο μόνον προέλαβε τὸ ἐπιδεικνύμενον, εἰς ὃ δεῖξαι προσῆκεν μὴ τὴν λύπην, διέσχηκε δὲ τὴν χαρὰν· καὶ εἰς ὃ μεταστᾶσιν εἰς ζωήν, καὶ εἰς τὸ μέγα τῆς ὠδίνων τὸ κέρδος. καὶ οὐκ εἶπεν, ἐτέχθη παιδίον, ἀλλ', ὅτι ἄνθρωπος. ἐκάθυδα γάρ μοι τὴν ἀνάστασιν αἰνίττεται τὴν αὐτοῦ, καὶ ὅλη οὐκ ἐκείνῳ ὡς ὠδίναντι θανάτῳ, ἀλλὰ τῇ βασιλείᾳ καλεῖσθαι ἔμελλε. Διὰ τοῦτο οὐκ εἶπεν, ἐγεννήθη αὐτῇ παιδίον, ἀλλ', ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

22 Καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην σχήσετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Εἶπα, ὅτι οὐκ ἔτι ἀποθανεῖται δηλονότι, φησί·

Καὶ οὐδεὶς αὐτὴν αἴρει ἀφ' ὑμῶν. 23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν.

Πάλιν οὐδὲν ἄλλο κατασκευάζει δηλοῦν τούτων, ἢ ὅτι ἀπὸ τοῦ Θεοῦ ἐστι. τότε γὰρ εἴσεσθε πάντα λοιπόν. Τί δέ ἐστιν, ἐμὲ οὐκ ἐρωτήσετε; οὐ δεήσεσθε μεσίτου, ἀλλ' ἀρκεῖ τὸ ὄνομα μόνον εἰπόντας πάντα λαβεῖν. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἐὰν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου. Δείκνυσι τοῦ ὀνόματος τὴν δύναμιν, εἴτε μὴ ὁρώμενος, μηδὲ παρακαλούμενος, ἀλλ' ὀνομαζόμενος μόνον, καὶ πάντα τῷ πατρὶ ποιῶν θαυμαστά. πῶς δὴ τοῦτο λέγεται; ἔνθα λέγεται, Ἐπιδὴ ὅτι ἔδωκας αὐτῷ, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου, καὶ ποιῶν ἐν τῷ ὀνόματί σου σημεῖα. καὶ ἐστέναξε ὁ τόπος ἔνθα ἦσαν. Πραξ. δ. κθ.

24 Ἕως ἄρτι οὐκ ἠτήσατε οὐδέν. Ἐντεῦθεν δείκνυσιν, ὅτι συμφέρει πάλιν αὐτὸν ἀπελθεῖν, εἶπε ἕως τότε οὐδὲν ἠτήσαν, καὶ τότε [δ]λήψονται) πάντα ὅσα ἂν αἰτήσωσι. μὴ γὰρ, ὅπερ λοιπὸν ἀνασώσομαι ὑμῖν, νομίσητε ἐξαλαλήξεσθαι· τὸ ὄνομά μου μείζονα ὑμῖν δώσει παῤῥησίαν. ἐπεὶ οὖν σωσκιασμένα ἦν τὰ εἰρημένα, φησί·

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν, καὶ ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν. Ἐσαι καιρὸς, ὅτε πάντες εἴσεσθε σαφῶς. λέγει δὲ τῆς ἀναστάσεως χρόνον. τότε παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν (καὶ γὰρ ὅτι τεσσαράκοντα ἡμέρας σωθεὶς διελέχθη αὐτοῖς, σωαλιζόμενος καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ) νῦν μὲν γὰρ ἐν φόβῳ ὄντες, καὶ προσέχετε τοῖς λεγομένοις· τότε δὲ ἀναστάντα ἰδόντες καὶ συνόντες δυνήσεσθε παῤῥησίᾳ πάντα μανθάνειν, ὅτι αὐτὸς ὁ πατὴρ ὑμᾶς φιλεῖ, τῆς εἰς ἐμὲ πίστεως βεβαίας γενομένης.

26 Καὶ οὐκ ἐρωτήσω τὸν πατέρα. Ἀρκεῖ καὶ εἰς ἐμὲ ἀγάπη προσῆκεν ὑμῶν.

27 Ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἀπὸ τοῦ Θεοῦ ἐξῆλθον. 28 Ἀπὸ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἔρχομαι εἰς τὸν κόσμον. πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα.

τέχα. Επειδὴ γὰρ ὁ τῆς ἀναστάσεως λόγος οὐκ ὡς ἔτυχεν ἀκοὴς παρεμυθεῖτο, καὶ μετὰ τούτων τὸ ἀκούειν ὅτι παρὰ Θεοῦ ἐξῆλθον, καὶ ἐκεῖ πάλιν, συνεχῶς αὐτὰ παρεισρέφει. τὸ μὲν γὰρ ἠγνόατο, ὅτι ὀρθῶς πιστεύσουσιν εἰς αὐτόν· τὸ δέ, ὅτι μέλλοισι σὺν ἀσφαλείᾳ εἴσ). ὅτε μὲν οὖν ἔλεγε, μικρὸν, καὶ οὐ θεωρεῖτέ με, καὶ μικρὸν, καὶ ὄψεσθέ με, εἰκότως ἠγνόουν· νυνὶ δὲ σαφῶς ἔπ. τί δή ἐστιν, ἐμὲ σὺν ἐρωτήσετε; οὐκ ἐρεῖτε, δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ποῦ ἐστὶν ὅπου πᾶσαν εἴσεσθε τὴν γνῶσιν, ὡς ἀγαπᾷσι) πρὸς ὑμᾶς ὁ πατὴρ, ὥσπερ κἀγώ. ὅτο μάλιστα αὐξῆσαι ἀναπεύσας ἐποίησε τὸ μαθεῖν ὅτι ἓν πατρί ἐσον) φίλοι. διὸ λέγει·

30 Νῦν οἴδαμεν ὅτι οἶδας πάντα. Ορᾷς ὅτι πρὸς τὸ ὑφορμοῦν τὴν ἀγνοίαν ἀπεκείνατο; Καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· Τοῦτοις, πρὶν ἢ ἀκοῦσαι οἶδας τὰ σκανδαλίζοντα ἡμᾶς, καὶ ἀνέπαυσας, ὅπερ εἶπες ὁ πατὴρ ὑμᾶς φιλᾷ, ὅτι ἐμὲ πεφιλήκατε. μὴ τοσαῦτα καὶ τηλικαῦτα, τότε λέγουσι, νῦν οἴδαμεν. ὁρᾷς πῶς ἀτελῶς εἶχον; εἶπα ὅπερ ὥσπερ ἵνα χάριν αὐτῷ προσέχοντες λέγουσι, νῦν οἴδαμεν, λέγει, πολλῶν δεῖσθε ἑτέρων, ὥστε ὅτι τὸ τέλειον ἐλθεῖν. οὐδὲν οὐδέπω ὑμῖν κατώρθω). νῦν οὖν προσδώσετέ με τοῖς ἐχθροῖς, ὡς τοσοῦτος ὑμῶν κρατήσει φόβος, ὥστε μηδὲ μετ' ἀλλήλων διωνθιῶναι δύναχωρῆσαι. ἀλλ' ὁρᾶτε ἀπὸ τούτων πείσομαι δεινόν. ὁρᾷς πῶς πάλιν συνκαταβαλικὶς ὁ λόγος; τὸ γὰρ ὡς οὐδεὶς καλῶς ἐκάλυ, ὅλη συνκαταβάσεως δέον) διηνεκῶς. ὅπερ γὰρ ἔλεγον, ὅδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις, καὶ διὰ τοῦτο πιστεύομέν σοι, δείκνυσιν ὅτι νῦν, ὅτε πιστεύουσιν, ὅπω πιστεύσουσιν, οὐδὲ προσίεται αὐτῶν τὰ ῥήματα. ταῦτα λέγει, εἰς ἕτερον αὐξῆσαι παρεμπίπτων χαμεγόν. τοῦ, 32 Ο πατὴρ μεθ' ἐμοῦ ἐστι, Δι' αὐξῆσαι πάλιν τέθεικε. ὅτο γὰρ αἴτιον καὶ τοῦτο ἐβούλοντο μαθεῖν. εἶτα δείκνυσι, ὅτι οὐ τὴν τελείαν γνῶσιν πω εἰδίσι χ. ἰσίλιπ αὐτοῖς ταῦτα λέγων, ἀλλ' ὥστε τὸν λογισμὸν αὐτοῖς μὴ ταπεινάζῃ (εἰκὸς γὰρ αὐξῆσαι λογίζεσθαι ἀνθρώπινά τινα, ὡς ὅτι οὐδὲ μιᾶς ἀπολαύσουσι παρ' αὐτοῦ βοηθείας) φησί· 33 Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· Τοῦτοις, ἵνα μὴ σκανδαλητὲ με τὴν ἀγνοίας ὑμῶν, ἀλλὰ παρρησίαν ἔχητε. μὴ οἴνων εἰς δόγμα ὡς ἐλκύσω τὰ λεγόμενα. εἰς γὰρ ἡμετέραν εἰρήνην) παρακλησιν καὶ ἀγάπην. οὐδὲ γὰρ μέχρι τούτου, φησὶ, τοιαῦτα πάσχουσι, " ἔσησε) ὑμῖν ταῦτα χ. τάσο τὴν δεινῶν· ἀλλ' ἕως δὴ ἦτε ἐν τῷ κόσμῳ, θλίψιν ἕξετε, ἐν νῦν ὅτε παρρησίδομαι, ἀλλὰ καὶ μετὰ ταῦτα. ἀλλὰ θαρσήσατε τῷ λογισμῷ. οὐδὲν γὰρ πείσεσθε δεινόν. τοῦ γὰρ διδασκάλου παρακαλοῦντος τὴν ἐχθραν, καὶ χρὴ οὐκ μαθητὰς ἀλύειν. ὡς πῶς νενίκηκας, εἶπέ μοι, τὸν κόσμον; εἶπον μὲν ἤδη, ὅτι τὸν ἀρχοντα αὐτοῦ κατέβαλον κάτω· εἴσεσθε δὲ ὕστερον, πολλῶν εἰκόντων ὑμῖν καὶ παραχωρούντων.

ΝΟΕΙΚΟΝ Εξεστι δὲ καὶ ἡμῖν νικᾶν, ἐὰν βαλώμεθα, εἰς ⓦ ἀρχὴν τῆς πίστεως ἡμῶν ἀφοράντας, καὶ χ. ἀμῶς ταύτην βαδίζοντας τὴν ὁδὸν, ἵν' αὐτὸς ἡμῖν ἕτερον. ὅτως οὐδὲ θάνατος ἡμῶν παρείσει. τί οὖν; οὐ " τεθνήξομεν, φησιν; ἀπὸ γὰρ τούτου δῆλον, ὅτι οὐ παρείσει. καὶ μὴν τότε ὁ ἀνταγωνιστὴς χ. τεθνήξο μεθα, ἔσαι λαμπρὸς, οὐχ ὅταν μὴ συμπλακῇ τῷ ἐχθρῷ, ἀλλ' ὅταν συμπλακεὶς μὴ κατίσχηται. οὐ τοίνυν διὰ τὴν συμπλοκὴν θνητοὶ, ἀλλὰ διὰ τὴν νίκην ἀθάνατοι. τότε γὰρ ἂν ἡμεῖς θνητοὶ, εἰ ἐμείναμεν παρ' αὐτῷ διηνεκῶς. ὥσπερ οὖν οὐκ ἂν εἴποιμι τὸν μακρόβιωτατον τῶν ζώων ἀθάνατον, καίτοιγε πολλὴν ἡμῶν χρόνον ἔζω θανάτου· ὅτως οὐδὲ θνητὸν, διὰ τὸ λύεσθαι θανάτου, ⓦ μέλλοντα μὴ ⓦ θάνατον αἴσθεσθαι. εἰπέ γάρ μοι, εἴ τις πρὸς ὀλίγον ἐρυθριάσειε, τοῦτον ὕτω καλέσωμεν διηνεκῶς ἐρυθρὸν * ; ἠδάμως. * εἶναι ἢ γὰρ ὅτι τὸ πρᾶγμα ἕξις. εἴ τις ὠχρὸς γένοιτο, τοῦτον ἰκτερικὸν τὸν προσερούμεν; οὐδαμῶς. πρόσκαιρον γὰρ τὸ πάθος. οὐκοῦν οὐδὲ θνητὸν καλέσῃς ⓦ ἐν ὀλίγῳ χρόνῳ γενόμενον ἐν θανάτῳ· ἐπεὶ δὲ σὺν καθῴδοντας ὕτως ἐρῶμεν. πεθνήκασι γάρ, ὡς εἰπεῖν, καὶ εἰσιν ἀνενέργητοι. ἀλλὰ φθείρει τὰ σώματα; καὶ τί τοῦτο; οὐ γὰρ ἵνα ἐν φθορᾷ μείνῃ, ἀλλ' ἵνα βελτίω γένηται. νικήσωμεν τοίνυν ⓦ κόσμον, πρὸς ἀθανασίαν δραμόντες,

μεθ ἡμῶν, ἀκολουθήσωμεν τῷ βασιλεῖ, σπεύσωμεν καὶ αὐτοὶ δεῦτε. καταφρονήσωμεν αὐτῶν τῶν
ἡδονῶν. καὶ γὰρ δεῖ πόνων. μεταθῶμεν τὸν ψυχικὸν τρόπον ὡς οἱ πνευματικοί, καὶ νενίκηται ὁ κόσμος
ἅπας. δεῦτε μὴ ἐπιζητήσωμεν αὐτοῦ, νενίκηται· αὐτὸν καταγελάσωμεν αὐτοῦ, πέπτωκε. ξένοι ἐσμὲν καὶ
πάροικοι· μηδενὶ τούτων τῶν λυπηρῶν ἀλγῶμεν. οὐδὲ γὰρ, εἰ πατρίδος ἡμούμεθα λαμ-
προτέρας καὶ πρεσβυτέρων εὐφημιῶν εἰς μακρὰν τινα γῆν ἀπῳκήκειμεν, μηδενὶ γνώριμος ὤν, μη-
δὲ παῖδας ἔχων, μηδὲ πλοῦτον, εἶτά τις ὕβρισεν, ἅρπασας δ' ἄν, ὡς οἴκοι ζῶντα παθών. ὁ
γὰρ ἰδίας σωφροσύνης, ὅτι ἐν ξένῃ καὶ ἀλλοτρίᾳ εἶ, πάντα φέρειν εὐκόλως ἐπίστῃ, καὶ ὃ κα-
ταφρονεῖσθαι καὶ ὃ πτωχὸν εἶναι καὶ ὃ οἰκτρὸν εἶναι. τοῦτο λογίσαι καὶ νῦν, ὅτι ξένος εἶ καὶ
πάροικος, καὶ μηδέν σε τῶν ἐν τῇ ξένῃ ταύτῃ θορυβείτω. καὶ γὰρ πόλιν ἔχεις, ἧς τεχνίτης
καὶ δημιουργὸς ὁ Θεός. ἀλλ' οἰκήσεις αὖθις ἐκεῖ βεβαίαν καὶ ὁλόκληρον τὴν πόλιν, ἐὰν μὴ
ὑβρίζητε, λοιδορεῖτε· ἐν ξένῃ ἐσμὲν καὶ εὐτελῶς ζῶμεν. τὸ γὰρ δεινόν, ὅτι τῆς πατρίδος
τοῦτο πάσχειν, ὅτι τῶν πολιτῶν· τότε ἡ μεγίστη ἀτιμία καὶ ζημία. ἐὰν γάρ τις ἔνθα μηδένα
γνώριμον ἔχῃ, πάντα εὐκόλως ὑφίσταται· ἀπὸ γὰρ ὕβρεως ἀπὸ γνώμης τὸ ὑβρίζεσθαι χαλεπω-
τέρα γίνεται. εἰ γάρ, ἐὰν μὴ εἰδῶσί τινες ὅτι ὑπάρχω ὅπου ὑβρίσῃ, τότε ἡ ὕβρις πικρά· ἐὰν δὲ ἰδι-
ώτην νομίσας ὑβρίσῃ, οὐδὲν ἅψασθαι δοκεῖ τῶν ζώντων πάντων. οὕτω δὴ καὶ ἡμᾶς λογι-
σώμεθα. οὐδὲ γὰρ ἴσασι πλὴν ὅσον ἐσμὲν οἱ ὑβρισταί, οἶμαι, ὅτι πολῖται τῶν ἁγίων καὶ εἰς τὸν οἶκον
τοῦ θεοῦ ἀπογεγραμμένοι πατρίδα, καὶ τῶν χερουβὶμ ἐσμὲν συγγενεῖς. μὴ τοίνυν ἀλγῶμεν,
μηδὲ ὕβρεσι κλώμεθα τὴν ὕβριν. εἰ ἐγνώκεισαν, οὐκ ἂν ὕβρισαν. ἀλλὰ πλανῶνται καὶ βιτελεῖς
νομίζουσι; μὴ τοίνυν μηδὲ ἡμᾶς ταύτην ὕβριν νομίζωμεν. εἰπέ γάρ μοι, εἴ τις οἰκοδεσπότην,
παῖδας τοὺς αὐτοῦ φθάσας, ὀλίγον ἀφεψήματος ἕνεκα τὸν πανδοχέα ἐκάλεσε παρεμβάλλειν αὐλῇ·
εἶτα ὁ πανδοχεύς, ἢ τῶν οἰκοδεσποτῶν τις, ἀγνοῶν ὅστις ποτ' εἴη, δυσχεράνειε πρὸς ἐκεῖνον καὶ
λοιδορηθείη· ἆρα γελάσεται τὴν ἄγνοιαν ἐκείνου; ἢ τέρψει μᾶλλον αὐτὸν ἡ πλάνη; οὐκ
ἐντρυφήσει, ὡς ἄλλῃ τινὸς ὑβρίζοιτο; οὕτω καὶ ἡμᾶς παρέπεμψεν. ἐὰν γὰρ τὸν πανδοχείου
καταλύματα παρεμβάλλοντες τοῦ ἡμετέρου, τοῦ οἰκείου τὴν οἰκίαν ταύτην. ὅταν ὁμοῦ πάντες
γελῶμεν, τότε εἴσονταί τινες ὑβρίζοντες. ἢ τοι τότε καίτοι νεύσουσι, τότε ἐγκύψουσι· τοῦτ' ἔστιν
οὗ ἕνεκεν ἡμᾶς ὁ ἄφρονας εἰς γέλωτα. δύο τοίνυν τύπους παραμυθησόμεθα ἑαυ-
τούς, ὅπου τε ἡμᾶς οὐχ ὑβρίζομεν (καὶ γὰρ ἴσασιν οἵτινές ἐσμεν) καὶ ὅπου, καὶν βουλώμεθα δίκην
λαβεῖν, δώσουσιν ὑπέρδικα χαλεπωτάτην. ἀλλὰ μὴ γένοιτο ἵνα ἅπαξ ὡμιλῶ καὶ ἀπαθὲς
ἔχειν ψυχήν. ἵνα οὖν, διὰ τοῦτο τῶν ὁμοφύλων ὑβριζώμεθα; τοῦτο γάρ ἐστι τὸ
φορτικόν. τοῦτο μὲν οὖν ἐστὶ τὸ κακόν. τί δήποτε; ὅτι οὐχ ὁμοίως τοὺς ἀγαπωμένους ὑβρί-
ζοντας φέρομεν, καὶ ὃς οὐκ ἴσμεν. ταῦτα γοῦν παραλαμβάνοντες τοὺς ὑβρισμένους, λέγομεν
τὰ ῥήματα πολλάκις· ἀδελφός ἐστιν ὁ ὑβριχώς, φέρε γενναίως· πατὴρ ἐστι· θεῖός ἐστιν. εἰ δὲ
τοῦ ἀδελφοῦ καὶ παντὸς τοῦ ὁμοφύλου καὶ πολλῷ μᾶλλον, δῆτα εἴπωτοῦτων γνησιώτερον. οὐ
γὰρ ἀδελφοὶ μόνον ἀλλήλοις ἐσμέν, ἀλλὰ καὶ μέλη ἐσμὲν σῶμα ἕν. εἰ δὲ τοῦ ἀδελφοῦ ὁ μὰ
δυσωπεῖ, πολλῷ μᾶλλον ὁ τοῦ μέλους. οὐκ ἤκουσας τῆς ἔξωθεν παροιμίας λεγούσης, ὅτι δεῖ τοὺς
φίλους μὴ τῶν ἐλαττωμάτων ἔχειν; οὐκ ἤκουσας Παύλου λέγοντος, Ἀλλήλων τὰ βάρη βα- Gal. 6. 2.
στάζετε; οὐχ ὁρᾷς τοὺς ἐρανίζας; ἀναγκάζομαι γὰρ, ὅπερ ἀφ' ὑμῶν τὸ παράδειγμα σχεῖν
οὐκ ἔχομεν, ἐπὶ ἐκείνων τῶν ἀποθέσεων τὸν λόγον ἀγαγεῖν. ποιεῖ δὲ αὐτὸ καὶ ὁ Παῦλος ὅταν
λέγῃ· Εἶτα τοὺς μὴ τὸ ἔθνος ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ * ἐνετρεπόμεθα· μᾶλλον Εcc. 12. 8.
ὁ σκῦλο εὐχαριστήσει εἰ πεῖν, ὅπερ Ῥωμαίοις φησὶν, Ὡσπερ παρεσκευάσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ Rom. 6. 19.
ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιο-
σύνῃ. ἐγὼ οὖν καὶ ἡμεῖς παρρούντες ἐχώμεθα τοῦ παραδείγματος. οὐχ ὁρᾷς ὅσων ἐρανίζει, πόσα
οἱ πορνῶν γυναικῶν ἐπιχειρούμενοι πάθεσι δεινὰ, ῥαπιζόμενοι, τυπτόμενοι, γελώμενοι, θρυ-
πτόμενοι ἀνεχόμενοι πόρνης, ἀπαιτρεφομένης, μυρία ὑβριζόμενοι; ἀλλ' ὅμως καὶ ἅπαξ ἡδύ τι καὶ

ἥμερον

ἥμερον ἴδωσιν, πρᾶττα αὐλοῖς ἐν παρθενίαις, καὶ πρᾶττα οἰκέτας τὰ παρόντα, καὶ πάντα ἄζυγείων φέρει), καὶν πενία, καὶν νόσος, καὶν ὁποιωοῦν τούτοις ἕτερον. ὁ γὰρ βίον ὁ ἑαυτῷ πόθεν) ἀθλιότατε καὶ μακάριον, ὡς δῆτα τὴν ἐρωμένην ἔχουσι παρὰ αὐλοῖς Δραχειμένην. καὶ δόξαν ἴσασιν δι' ἀθεραπείαν, οὐκ ἀπιμίαν· ἀλλά, καὶν ὑβρίζῃ τις, ἐκ τοῦ τῆς πολλῆς ἡδονῆς καὶ τῆς πρὸς ἐκείνης εὐημερίας, ἄπρακτα φέρουσι ῥᾳδίως· ἐκείνη γὰρ καὶν λοιδορήσῃ), καὶν εἰς τὸ πρόσωπον πτύσῃ, ῥόδοις βάλλεσθαι νομίζουσι ζωῦτα πάσχοντες. καὶ τί θαυμαστόν, εἰ παρὰ αὐτῶν οὕτω διάκεινται; καὶ γὰρ τὸ οἰκίδιον [τὸ] ἐκείνης πᾶσιν ἐλαμπρότερον νομίζουσι, καὶν πηλίνη ᾖ, καὶν καταπίπτουσα. καὶ τί λέγω τοὺς τοίχους; καὶ γὰρ τοὺς τόπους αὐλοῖς, ἔνθα διατρίβουσιν ἐκείνη, ὁρῶντες διανίστανται). ἐγὼ δέ μοι δοκῶ λοιπὸν τὸ ἀποστολικὸν εἰπεῖν. καθάπερ ἐκεῖνός φησιν, ὥσπερ παρεσκεύασε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παρασκεύασε τὰ μέλη ὑμῶν τῇ δικαιοσύνῃ τοῦ αὐτὸν τρόπον κἀγὼ λέγω, ὡς ἠγαπήσαμεν ταύτην, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδὲν δεινὸν πείσομεθα πάσχειν. καὶ τί λέγω ἀλλήλους; οὕτως ἀγαπήσωμεν τὸν Θεόν. ἐφείξαλε ἀκούσαντες ὅτι τοσοῦτον ἀπαντῶν μέζον ἀγάπης ἐστὶ Θεοῦ, ὅσον τοῦ πόρνην ἐπιθυμῆσαι μόνον; ἀλλ' ἐγὼ φείδομαι, ὅπου οὐδὲ τοσοῦτον ὑπόδειγμα. καὶ, εἰ βούλεσθε, ἐπεξέλθωμεν τοῦ λόγου, εἰ καὶ σφόδρα φορτικὸν τὸ λεγόμενον. ἀλλ' ἐρωμένη τοῖς ἐρῶσιν οὐδὲν ἐστὶν ἡδίον χρήσει), ἀλλ' ἀλμίδη καὶ αἰσχύνῃ καὶ ὕβρει. τοῦτο γὰρ εἰ) ποιεῖ τὸ παρεισρεῦσαι πόρνη γυναικί, καταγέλαστον, αἰσχρόν, ἄτιμον. ὁ δὲ Θεὸς ἀγαθοῖς μὲν καὶ οὐκ ἀγαθοῖς ἐπαγγέλλεται ἀγαθά, καὶ ἡμᾶς ἐποίησε, καὶ ἀδελφοὺς τοῦ μονογενοῦς, καὶ ζωντὶ σοι μέλη πλέκει, καὶ τελευτῶντί σε ἀνάξει, καὶ τοσαῦτα ἐπαγγέλλεται δῶσειν ἀγαθά, ἅπερ μηδὲ ἐνόησαν δυνατόν, καὶ ἡμῖν καὶ αἰδεσίμους ἡμᾶς ποιεῖ. καὶ πάλιν, ἐκείνη διαπρωΐαν ἀναγκάζει πάντα τὰ αὐτῇ εἰς βάραθρον καὶ ἀπώλειαν· ὁ δὲ Θεὸς ἀπείρων κελεύει θεάτρων, καὶ ἐκατονταπλασίονα δίδωσι, καὶ ζωὴν αἰώνιον. πάλιν, ἐκείνη ὡς ὕδρα πόλεως κέχρηται τοῦ φιλτάτου, τυράννου πάντος χαλεπώτερον ὑπερπάτησα· ὁ δὲ Θεός φησιν, οὐκέτι λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους. εἶδετε τὸν ἐπαρχολιν καὶ τὰ σκῦβαλα καὶ τὰ ἀγαθὰ τὰ ἐκεῖ; τί οὖν τὰ μὲν σκῦβαλα, σκύτης μὲν ἔνεκεν καὶ ἀγρυπνοῦσι πολλοί, καὶ ἅπερ δὴ ὑπερβολὴ μετὰ κινδύνου καὶ οἰκίδια ἀφιᾶσι, καὶ πατέρα, καὶ μητέρα, καὶ φίλους, καὶ χρήματα, καὶ πρεσβείας, καὶ πάντα ἐν ἀπορίᾳ καὶ ἐρημίᾳ τὰ αὐτῶν· τὰ δὲ Θεοῦ πολλάκις ἕνεκεν, μᾶλλον δὲ ἡμῶν αὐτῶν ἕνεκεν, οὐδὲ τείτιον μοῖραν ἀναλώσαι αἱρούμεθα τῶν ὄντων, ἀλλὰ πεινῶντα ὁρῶντες παρορῶμεν, καὶ γυμνητεύοντα καὶ οὐδὲ λόγου μεταδίδομεν. ἐκείνης δὲ καὶ θεραπαινίδα ἴδωσιν ἑστᾶσαι καὶ βαρβάροις, ἐν μέσῃ τῇ ἀγορᾷ ἑστῶτες, ὥσπερ ἐγκαλλωπιζόμενοι καὶ ἀγαλλόμενοι διαλέγονται, μακρὸν λόγον ἀνελίττοντες διαύλου· καὶ οὐδὲν εἰ) τοῦ βίου πάντα νομίζουσι δι' αὐτὸν, οὐκ ἄρχοντας, ὑ βασιλέα (καὶ ἴσασιν ὅσοι ὑ νοσήματος ἐλεφαντιάσει πεῖσαν) καὶ χεῖρα ἔχουσι πλείονα ὑπερπατοῦσαν, ἢ σκληθύουσιν ἕτεροι. ἆρ' οὐκ εἰκότως γέγονα; ἆρ' οὐκ εἰκότως μυρίας κολάσεις; ἀναπτήσομεν τοίνυν, καὶ παραχωρήσωμεν τῆς τοῦ Θεοῦ διακονίας καὶν τοσοῦτον, καὶν τὸ ἥμισυ μέρος, ὑ τῇ πόρνῃ παρέχουσιν ἕτεροι, καὶν τὸ τέταρτον. τάχα φείσεται πάλιν· καὶ γὰρ καὶ αὐτός. ἀλλ' οὐκ ἐβουλόμην ὑπὲρ τῶν λόγων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν παραινεῖν φείσεσθαι ὑμᾶς. νυνὶ δὲ σκοῦδα μὴ ἡμῖν ἡ καρδία συγκέλλεται, ὀκνηρότερα δὲ πάντα ῥίπτομεν. τί οὖν ὁ κέρδος; δῆτα μὴ γὰρ σκῆψιν δέῃ κρήματα ἀναλίσκειν, οὐδὲ πενίαν ὀδύρεται, ἀλλὰ καὶ δανεισάμενος ἔδωκε πολλάκις ἀλλοις· σκῦβαλα δή, ἐὰν ἐλεημοσύνης μηνοθῶμεν, παῖδας δὲ γνησίους, δὲ οἰκίδιον καὶ πρεσβείας, καὶ μυρίας παραφάσεις ἡμῖν παραβάλλονται. ἀλλ' ἡδονὴ πολλή, φησιν, σκῆψις; τοῦτο γάρ ὅρκον ὁ Δημιουργὸς καὶ ὀδύρεσθαι. τί οὖν, ἐὰν δείξω μείζονα σκῦβαλα τῶν ἡδονῶν; σκῆψις μὴ γὰρ ὁ μακρὸν ὑστερήσεται τῆς ἡδονῆς ἡ αἰσχύνη καὶ ἡ ὕβρις καὶ ἡ δαπάνη, δεύτερον ὁ πόλεμος καὶ ἡ ἀπέχθεια· σκῦβαλα δὴ οὐδὲν τοιοῦτον. τί γὰρ τῆς ἡδονῆς ταύτης ἴσον, εἰπέ μοι, καθήσθαι παρὰ θεάτρου καὶ

θεάτρου

εανὸν ϗ τὴν ἐκ βασιλείαν, ϗ τὴν λαμπρότητα τῆς ἁγίων, ϗ τὴν ζωὴν τὴν ἀτελεύτητον; ἀλλὰ ταῦτα ἐν πειρασδοκίαις, φησὶν, ἐκεῖνα ἡ ἐν πείρᾳ. ποίᾳ πείρᾳ; βούλῃ ϗ ἐνταῦθα τὰ ἐν πείρᾳ εἶπω; ἐνόησον πόσης ἐλευθερίας ἀπολαύεις, ϗ πῶς σεαυτὸν δέδωκας σεαυτὸν πρέμεις ἀρετῆ συζῆν, οὐκ ἐχθρὸν, οὐκ ἀπέχουλον, ἀ συνεφαίτλιν, ἀ Ⓦ πρόθυμον δοκιμολῶντα, οὐκ ἀντεραςὴν, ἀ ζηλότυπον, ἀ πενίαν, ἀ νόσον, οὐκ ἄλλο τῶν ἀνθρωπίνων τοιοῦτον. ἐκεῖ ἡ, κἂν μυρία κακὰ γένηται ἡμῖν), ϗ ὥσπερ ἐκ πηγῆς ὁ πλοῦτος ἀπορρέῃ, ὁ τῶν ἀντεραςῶν πόλεμος, ϗ αἱ ἀπέχουλαι, ἐς Ⓐ λόγον πάντων ἀθλιώτερον ποιήσει τὸν μετ' ἐκείνων πλωτιλοῦντα Ⓦ βίον. τῆς γὰρ καταπύστου ἀφυτομάνης ἐκείνης ϗ τυφώσης, ἀνάγκη Ⓦ πόλεμον ἀναρριπίζεσθαι εἰς τὴν ἐκείνης ἀρέσκειαν. τοῦτο οὖν μυρίων θανάτων χαλεπώτερον καὶ πάσης ἀφορητότερον ὕμφειας. ἀλλ' οὐκ ἐνταῦθα τοιοῦτον ἐστίν.

Ο δὲ καρπὸς, φησὶ, τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη. ἤδη μοὶ πόλεμος, ὅταν ἡ χρημάτων ἄκαιρος δαπάνη, ὅταν ἡ ὀνείδη μὴ δαπάνης. καὶ ὀδόλει ὅλως, καὶ ἄρτον, καὶ ποτήριον ψυχροῦ, πολλοὶ σοι τὴν χάριν εἴσεται, ἐς ὅταν ἴδῃ" τὸ σε διακεῖν ϗ λυπῆσαι ποιῆς; σήλα πάντα ὥστε ποιῆσαί σε ἔνδοξον, ϗ πάσης ἀπαλλάξαι αἰσχύνης. τίνα οὖν ἔξομεν ἀπολαύσεις, ποίαν συνήθειαν, ταῦτα μὲν ἀφιέντες, τοῖς ἡ σώμασιν ἑαυτῶν σκιδόντες, ϗ εἰς τὸ τῶν πυρὸς κάμινον τὸ χρυσίον ἐκόντες ἑαυτῶν σκιβάλλοντες; δῆ παρακαλῶ τοὺς τοιαῦτα νοσοῦντας ἀναχήσασθαι ἑαυτοὺς, ϗ πρὸς τὴν ὑγείαν ἐπανάγειν, μηδὲ ἀφιέναι εἰς ἀπόγνωσιν ἐμπεσεῖν. ἐπεὶ ϗ ὁ υἱὸς ἐκεῖνος πολλῷ χαλεπώτερα τούτων ἔπαθεν· ἀλλ' ὅμως πρὸς Ⓦ οἶκον ἐπανῆλθε τὸν πατρῷον, ϗ ὅτι τῆς πρώτης ἐλήρετο ὕμνης, ϗ τὸν δεσπότης εὐδοκιμήσαντος ἐφάνη λαμπρότερος. τοῦτον ϗ ἡμεῖς ζηλώσωμεν, ϗ πρὸς τὸν πατέρα ἐπανελθόντες ὀφλήσωμεν ποτε, τῆς αἰσχυλωσίας ἀποσῶμεν ἐκείνης, ϗ πρὸς τὴν ἐλευθερίαν ἑαυτοὺς μεταγάγωμεν, ἵνα καὶ τῆς βασιλείας τῆς οὐρανῶν ἀπολαύσωμεν, χάριτι ϗ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ομιλ. σ. 1 ΤΑΥΤΑ ΕΛΑΛΗΣΕΝ Ο ΙΗΣΟΥΣ, ΚΑΙ ΕΠΗΡΕ ΤΟΥΣ ὀφθαλμοὺς [αὐτοῦ] εἰς Ⓦ οὐρανὸν, ϗ εἶπε· πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου Ⓦ υἱὸν, ἵνα ἐς ὁ υἱός σου δοξάσῃ σε. ϰζ.

Ποιήσας ἐς διδάξας, φησὶν, ἔστε μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ϗ μάλα εἰκότως. ὃ μὲν γὰρ ἔργῳ φιλοσοφῆσαι, δύσκολον· ἢ δὲ ἔργῳ τὰ ἔργων ὑπόδειξις, γενναίου πίστις ϗ μεγάλου. διὸ καὶ ὁ Χριστὸς τοῦτ' ἀνεξικακίας ἀγαλεγόμενος μέσον ἑαυτὸν ἐποίησε, κελεύων ἐκεῖνα μιμεῖσθαι τὰ ἐπιδείγματα. διὰ τοῦτο ϗ μὴ τὴν παίνεσιν ταύτην ὑπὲρ ὑμῶν ἐπιζητεῖτε), παιδεύων ἡμᾶς ἐν τοῖς πειρασμοῖς πρώτα ἀφένας ὅτι Ⓦ Θεὸν καταφεύγειν. ὅπερ γὰρ εἶπεν, ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ϗ κατέσεισεν αὐτὴν ταῖς ψυχάς, διὰ τῆς ἐλπίδος λύσησι πάλιν. ὡς γὰρ ἀνθρώπῳ τέως προσεῖχον· ϗ δι' ἐκείνους ταῦτα ποιῇ, ὥσπερ οὖν ϗ ὅτι Λαζάρου, καὶ λέγει τὴν αἰτίαν, ὅτι διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. ναί, φησὶν· ἀλλ' ὅτι μὴ τῶν Ἰουδαίων εἰκότως ταῦτα ἐγίνετο· ὅτι ἡ τῶν μαθητῶν ἕνεκεν; ϗ ἐπὶ τῶν μαθητῶν εἰκότως. ἐκεῖνα γὰρ μὴ τοσαῦτα λέγοντες, νυνὶ οἴδαμεν, ὅτι πρώτα οἶδας, μάλιστα πρώτων βεβαιωθεῖναι ἐδέοντο. ἄλλως ἡ, ὅτε ἐκλύθη ὁ ἀναγκαιότατος ὁ τραῦμα καλῶ· ἀλλὰ τί φησιν; ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, ϗ ὅμα λέγει πρὸς τὸν πατέρα μᾶλλον εἰ) φησιν. εἰ ἡ ἄλλως τί λέγει εὐχὴν, ἐς δείκνυσιν αὐτὸν ποτὲ μὲν ὅτι γὰ-

Ioan.ια.με. ναται καμπτόμενον, ποτὲ μὲν τῶν ὀφθαλμοὺς εἰς τὸ ὑγιαῖνον αἴροντα, μὴ θρυπτέσθω. Διὰ γὰρ τούτων παιδεύομαι τὸ σκληρὸν τὸ ἐν ταῖς δεήσεσιν, ἵνα καὶ ἐστῶτες ἀναβλέπωμεν, μὴ τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς διανοίας· καὶ ἵνα κάμπτωμεν τὰ γόνατα, τὴν ἑαυτῶν καρδίαν ζωπυροῦντες. ἦλθε γὰρ ὁ Χριστός, οὐχ ἑαυτὸν δεῖξαι μόνον, ἀλλὰ καὶ ἀφεῖναι παιδεύσων ἀφατον. τὸν μὲν παιδεύοντα, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων παιδεύειν χρή. ἀκούσωμεν τοίνυν τί φησιν ὁ Χριστός. πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. πάλιν δείκνυσιν ἡμῖν ὅτι οὐκ ἄκων ὅτι τὸ σταυρὸν ἦρχε). πῶς γὰρ ὁ καὶ εὐχόμενος τοῦτο γενέσθαι, καὶ δόξαν τὸ πρᾶγμα καλῶν, οὐκ αὐτὸ μόνον τὸ σταυρωθῆναι, ἀλλὰ καὶ τὸ παθεῖν; ἐπεὶ καὶ ὕστως ἐγίνετο. οὐ γὰρ ὁ υἱὸς μόνον, ἀλλὰ καὶ ὁ πατὴρ ἐδοξάσθη. πρὸ μὲν γὰρ τοῦ σταυροῦ οὐδεὶς Ιουδαῖοι αὐτὸν ἤδεσαν· Ισραὴλ γάρ μέ, φησιν, οὐκ ἔγνω· μετὰ δὲ τὸν σταυρὸν ἡ οἰκουμένη ἅπασα προσέδραμεν. Εἶτα λέγει καὶ τὸν τρόπον τῆς δόξης, καὶ πῶς αὐτὸν δοξάσει. Ιερ.α.γ.

2 Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ μὴ ἀπόληται.

Τὸ γὰρ εὐεργετεῖν ἀεί, τοῦ Θεοῦ δόξα. τί δέ ἐστι· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; πῶς δείκνυσιν, ὅτι οὐκ εἰς Ιουδαίους μόνους τὰ τῆς κηρύγματος ἐστὶ θεσπεσιάλμια, ἀλλ' εἰς τὴν οἰκουμένην ἐκτείνεται πᾶσαν, καὶ προκαταβάλλεται προοίμια τῶν ἐθνῶν. ὅπερ γὰρ εἶπεν, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· μέλλει δὲ μετὰ ταῦτα λέγειν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, δείκνυσι καὶ τὸ πατέρα τοῦτο βουλόμενον. σφόδρα γὰρ τοῦτο ἐσκανδάλιζεν Ιουδαίους, "Ἕλληνας δὲ. οὐδὲ γὰρ μετὰ ταῦτα εὐκόλως ἐωείχοντο τῷ ἐθνῶν ἅπτεσθαι, ἕως τὴν τοῦ πνεύματος ἔλαβον διδασκαλίαν. καὶ γὰρ καὶ μικρὸν σκάνδαλον ἐστεύθην Ιουδαίοις ἐγίνετο. μετὰ οὖν [τὴν] τοσαύτην τοῦ πνεύματος ἐπίδειξιν, εἰς τὰ Ιεροσόλυμα πορευόμενος ὁ Πέτρος, μόλις ἴσχυσε τὰ ἐγκλήματα διαφυγεῖν, εἰπὼν τὰ κατὰ τὴν συνδοκίαν. τί δέ ἐστιν, ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός; πότε ἄρα τὴν ἐξουσίαν ταύτην ἔλαβεν, ἐρησόμεθα τοὺς αἱρετικούς; πρὸ τοῦ πλάσαι αὐτούς, ἢ μετὰ τὸ πλάσαι; αὐτὸς μὲν γὰρ φησι μετὰ τὸ "σταυρωθῆναι καὶ ἀναστῆναι. τότε γοῦν λέγει, ἐδόθη μοι πᾶσα ἐξουσία· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. τί οὖν; οὐκ εἶχεν ἐξουσίαν τῶν ἔργων τῶν ἑαυτοῦ· ἀλλ' ἐποίησε μὲν αὐτούς, ἐξουσίαν δὲ αὐτῶν οὐκ εἶχε μετὰ τὸ ποιῆσαι; καὶ μιμοῦ φαίνεται πάντα αὐτὸς πρὸ τῶν ἄνω χρόνων, καὶ τοὺς μὲν κολάζων ὡς ἀμαρτάνοντας (οὐ μὴν κρύπτω γάρ, φησι, ἀπὸ τοῦ παιδός μου Αβραὰμ, ὃ ἐγὼ μέλλω ποιεῖν) τοὺς δὲ καὶ ἡμᾶς ὡς κατορθοῦντας. Εἶτα τότε μὲν εἶχε, νῦν δὲ ἀπώλεσε, καὶ πάλιν ἔλαβε; καὶ ποῖος δὴ ταῦτα δαίμων ἐφθέγξατο; Εἰ δὲ ἡ αὐτὴ ἐξουσία καὶ τότε καὶ νῦν (ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει, φησὶ, τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ) τί ἐστὶ τὸ εἰρημένον; ἔμεμψεν αὖθις πέμπειν εἰς τὰ ἔθνη· ἵν' οὖν μὴ νομίσωσι καινοτομίαν εἶναι τὸ λεγόμενον, οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ισραὴλ, δείκνυσι καὶ τῷ πατρὶ τοῦτο διορθοῦν. Εἰ δὲ μὴ πολλῆς αὐτὸ τῆς εὐτελείας φθέγγεται, θαυμαστὸν οὐδέν. οὕτω γὰρ κἀκείνους ὠφελήσει τότε, καὶ τοῦτο μὴ τὰ· καὶ ὅπερ εἶπον, ἀεὶ τὴν τῆς εὐτελείας ὑπερβολὴν σφόδρα ἐπιθεῖναι ὅτι συγκαταβάσεως ἕνεκα τὰ λεγόμενα. τί δέ ἐστι, πάσης σαρκός; οὐ γὰρ δὴ πάντες ὅτι σῴζουσι. καὶ μιμοῦ, τὸ αὐτὸ μέρος, πάντες ὅτι σῴζουσι· εἰ δὲ μὴ προσεῖχον τοῖς λεγομένοις, οὐ τοῦ διδάσκοντος τὸ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεχομένων.

Ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον. Εἰ δὲ καὶ ταῦτα ἀνθρωπότερον φθέγγεται, μὴ θαυμάσῃς. τῶν τε γὰρ εἰρημένων αἰτίαν ἕνεκεν τοῦ ποιεῖ, καὶ φυλαττόμενος ἀεὶ τὸ αὐτὸς τι περὶ ἑαυτοῦ λέγειν μέγα, ὅπερ τοῦτο προσίσατο τοῖς ἀκροωμένοις, διὰ τὸ μηδὲν μέγα περὶ αὐτοῦ φαντάζεσθαι τέως. ὁ γοῦν Ιωάννης, ὅταν ἐξ οἰκείου φθέγγηται προσώπου, οὐχ ὕστως ποιεῖ, ἀλλ' ὅτι τὸ ὑψηλότερον ἀνάγκη λέγειν, ὕστως λέγων· πάντα δι'

δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· καὶ, ὅτι ζωὴ ἦν, καὶ ὅτι φῶς ἦν, καὶ ὅτι εἰς τὰ ἴδια ἦλθεν· οὐχ ὅτι οὐκ εἶχεν ἐξουσίαν, εἰ μὴ ἔλαβεν, ἀλλ' ὅτι καὶ ἑτέρους ἔδωκεν ἐξουσίαν τοῦ γενέσθαι τέκνα Θεοῦ. καὶ ὁ Παῦλος ὁμοίως ἴσον αὐτὸν λέγει τῷ Θεῷ. αὐτὸς γὰρ ἀνθρωπινώτερον αὐτοῦ ὕστερον λέγων· ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον. Φιλιπ. ε. 5.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Μόνον ἀληθινὸν Θεόν, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν φησι. καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν. εἰ γὰρ οὐκ ἀνέξονται, ἀλλὰ δηλονότι τὸ μόνον ἐκβάλλουσι τοῦ εἶναι ἀληθινὸν Θεὸν τὸν υἱόν, ὥστε πρεσβεύοντες καὶ τὸν Θεὸν εἶναι ἐκβάλλουσι. καὶ γὰρ φησι, Τιμὴν δόξαν τιμῶ τὴν ἐμαυτοῦ· ἀλλὰ τὸ μόνου Θεοῦ ζητεῖτε. πῶς οὖν; οὐκ ἔσται Θεὸς ὁ υἱός; εἰ γὰρ Θεὸς ὁ υἱός, καὶ μόνου τοῦ πατρὸς λεγομένου, ἴσθι λοιπὸν ὅτι καὶ ἀληθινός, καὶ μόνου ἀληθινοῦ καλουμένου. τί δέ; ὅταν λέγῃ Παῦλος· Ἡ μόνος ἐγὼ καὶ Βαρνάβας, οὐκ ἐκβάλλει τὸν Βαρνάβαν; οὐδαμῶς. τὸ γὰρ, μόνος, πρὸς ἀντιδιαστολὴν ἑτέρων κεῖται. εἰ γὰρ οὐκ ἀληθινὸς Θεός, πῶς ἀληθής; ὅταν πολὺ γὰρ τοῦ ἀληθινοῦ ἡ ἀλήθεια διαφέρει. τί μὴ ἀληθινὸν ἀνθρωπον εἶναι θέλει ἐρώτησόν με, εἰπέ μοι; καὶ οὐδὲ ἄνθρωπον; ὅτι, εἰ ἀληθινὸς Θεὸς οὐκ ἔστιν ὁ υἱός, πῶς ἔστι Θεός; πῶς δὲ ἡμᾶς θεοὺς ποιεῖ καὶ υἱούς, μὴ ὢν ἀληθής; ἀλλ' ὑπὲρ τούτων ἀκριβέστερον ἡμῖν ἐν ἑτέροις εἴρηται· διὸ τῆς ἐξῆς ἐχώμεθα. Ιωαν. ε. μδ. α. Κορ. θ. 5.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. Καλῶς εἶπε, ὅτι τῆς γῆς. ὁ γὰρ τῷ θεανθρώπῳ δεδόξασται, ἐν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ διὰ τὴν ἀγγέλων προσκύνησιν. διὰ τοῦτο πρὸς ἐκείνης τῆς δόξης φησὶ τῆς τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένης (ἐκείνην γὰρ τὴν δόξαν, καὶ μηδεὶς αὐτὸν δοξάσῃ, μάτην πεπληρωμένην ἔχων) ἀλλὰ ταύτην φησὶ τὴν ἀπὸ τῆς τῶν ἀνθρώπων λατρείας γινομένην. οὐκοῦν καὶ τὸ, δόξασόν με, τοιοῦτόν ἐστι. καὶ ἵνα μάθῃς, ὅτι τὸν τρόπον τῆς δόξης φησὶ, ἄκουσον τῶν ἐξῆς. Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω αὐτό. Καίπερ ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε, μᾶλλον δὲ οὐδὲ ἀρχήν. πῶς οὖν λέγει, ἐτελείωσα; ἢ ὅτι ὃ ἐμαυτῷ πᾶν ἐποίησα· ἢ ὅτι τὸ ἐσόμενον, ὡς ἤδη γεγενημένον λέγει· ἢ ὃ μάλιστα πάντων ὄντων ἐστὶν εἰπεῖν, ὅτι τὸ πᾶν ὡς ἤδη γεγενημένον τοῦ ῥίζαι τὰ ἀγαθὰ καταβεβλῆσθαι, ἢ πάντως ἐξ ἀνάγκης ἔμελλον ἔφασαν οἱ καιροὶ, καὶ τοῖς μέλλουσι μὴ θαῦμα γίνεσθαι αὐτὸν παρεῖναι καὶ συναφάπτεσθαι δηλοῦντα πάλιν συλλαβατικῶς φησιν, ὃ ἔδωκάς μοι. εἰ γὰρ δὴ προέλθοι ἀκόλουθον καὶ μαθεῖν, πολὺ θαῦμα τὸ δόξης αὐτὸν ἀποδίδοντα δεῖν εἶπεν. ὅτι γὰρ ἐξ οἰκείας ὅτι τάχιστα γνώμης ἦλθε, πολλαχόθεν δῆλον· ὡς ὅταν λέγῃ Παῦλος, Οτι οὕτως ἠγάπησεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν· καὶ, Ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· ἐκ πάλιν, καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς. 5 Δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ, ἣν εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί. Καὶ ποῦ ἡ δόξα ἐκείνη; ἐγὼ μὲν γὰρ ἀνθρώπου εἰκότως ἄδοξος· ἐμοὶ δὲ τὸ προσκείμενον ἔνδυμα· πῶς καὶ παρὰ Θεῷ δοξαθῆναί ζητεῖ; τί οὖν σὺ τοῦτό φησι; πρὸς τὴν οἰκονομίας ὁ λόγος· ἐπεὶ ὅπου δεδόξασε τῆς σαρκὸς ἡ φύσις, ἐκεῖ ἀφθαρσίας ἀπολαύσασα, ὅτε τὸ θεῖον κοινωνήσασα τοῦ βασιλικοῦ. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι τῆς γῆς· ἀλλὰ παρὰ σοί. Φιλιπ. β. ζ. Ιωαν. ιγ. θ.

Ταύτης καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς δόξης κατὰ τὸ ἡμέτερον μέτρον, ἐὰν νήφωμεν. διὰ τοῦτο δὲ Παῦλός φησιν· Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. μυρίων ἄρα ἀξίοι δακρύων, τοσαύτης προκειμένης δόξης, διὰ νωθείαν καὶ ὕπνον ὑπερβαλλόντως ἑαυτοῖς. καὶ εἰ γέεννα μὴ ἦν, ἀθλιώτεροι πάντων, οἷς βασιλεύσαι παρὸν καὶ συνδοξασθῆναι τῷ υἱῷ τοῦ Θεοῦ, τοσούτων ἑαυτοὺς ἀπεστερωκότες ἀγαθῶν. εἰ γὰρ καταχθῆναι ἔδει, εἰ γὰρ μυρίους ἀποθανεῖν θανάτους, εἰ μυρίας ὑπεδύσασθαι ψυχὰς καὶ τοσαῦτα σώματα καθ' ἑκάστην ἡμέραν· οὐκ ἔδει τοσαῦτα ὑποστῆναι ὑπὲρ τοσαύτης δόξης; νῦν δὲ οὐδὲ ἓν μικρὸν κατα φρονοῦμεν,

νοδμῶν, ὥσπερ ὕστερον ἁρπάσαντες ἀποχησόμεθα· ὁ καταφρονοῦμεν χρημάτων, τῶν μυρίοις ἡμᾶς περιβαλλόντων κακοῖς, τῶν σὺν θεῷ ὑπερόντων, τῶν οὐχ ἡμῶν. τὰ γὰρ οὐχ ἡμῶν δίκαιον ἁρπάζειν, καὶ παρ' ἑτέρων ἔχομεν. ὅταν ἡ χεὶρ ἀπορῇ, καὶ σκώληξ ἀτελεύτητος, καὶ ἄσβεστον πῦρ, καὶ βρυγμὸς ὀδόντων, πῶς οἴσομεν ταῦτα, εἰπέ μοι; μικρὰ ἴσως ὑπομένομεν; ἀλλ' εἰς μάχας καθημερινὰς καὶ φιλονεικίας καὶ λόγους ἀνοήτους τὸ πᾶν δαπανῶμεν, τῷ γλώττῃ περφορτοῦντες, τὸ σῶμα πιαίνοντες, καὶ τῆς ψυχῆς ἀμελοῦντες· τῶν μὲν ἀναγκαίων ὀλίγα ποιούμενοι λόγον, τῶν δὲ περιττῶν καὶ ἀνοήτων πολλὴν τὴν φροντίδα; καὶ λαμπρεύεσθαι μὲν οἰκέλομεν ταῖς, καὶ ὠνούμεθα πολυτελῆ οἰκίας, καὶ παντοδαπῶν οἰκετῶν ἀτέλειαν περιβαλόμεθα, καὶ οἰκονόμους διαφόρους ὀπτανοῦμεν, ἀγρῶν, οἰκιῶν, χρημάτων ἀρχοντας, καὶ ἄρχοντας ἀρχόντων καθιστῶντες· τῆς δὲ ψυχῆς πρημωρούσης οὐδεὶς ἡμῖν λόγος. καὶ τί τούτων ἔσται τὸ ὄφελος; οὐχὶ μίαν γαστέρα. πληροῦμεν; οὐχὶ ἓν σῶμα περιβάλλομεν; τίς ὁ πολὺς τῶν περιττῶν θόρυβος; τί δήποτε, καὶ ὅταν τι τῶν μίαν ψυχὴν, ἵν' ἐλάχιστον, καθαίρωμεν, ἀπαρασκεύαστοι εἰς τὸ τοιοῦτον λειτουργίαν, καλέπωμεν ἑαυτοῖς ὀπτανοῦντες σηλείαν; ὁ μὲν πολλῶν δεόμενος, πολλῶν μοχλῶν ἐστί, καὶ μοχθηρᾶς κεφαλῆς τούτων. ἐπεὶ καὶ τῶν οἰκετῶν πολλοὺς ὁρᾷς ὁ διακονητὴς, καὶ θεραπείας ἕτερον εἰσφέρει ἕκαστον μείζονα· καὶ ἄλλως ὁ πολλὰς, χωρὶς ἐκείνων οὐκ εἰς ἀγορὰν ἐμβαλεῖν τολμᾷ, οὐκ εἰς βαλανεῖον, οὐκ εἰς ἀγρόν· ὅποι δὲ πολλάκις χωρὶς ἐκείνου παντελῶς περιττόν. ἀλλ' ὁ μοχθῶν εἷς κύριος, μὴ πρᾶσιν ᾖ πολύλαι, ὁ τολμᾷ περιελθεῖν οἶκον, ἀλλὰ καὶ περικύψῃ τῆς οἰκίας μόνος, καταγέλαστον ἑαυτὸν εἶναι νομίζει. τάχα τινὲς γελῶσιν ἡμᾶς ταῦτα λέγοντας· ἀλλὰ διὰ τοῦτο μὴ τοῦτο μυρίων δακρύων ἄξιοι δοκοῦμεν. ὅτι γὰρ δουλεία τοῦτο, πάντως σε ἐρεῖμεν· ἐοῦλον δεῖσθαι τὸ τὸν τοῦ σώματος σου περιττοῦντος, ἢ τὸν κόλικα τοῖς χείλεσι περισαίνοντος; ὑπὲρ δακρύων σὺ νομίζεις ἄξιον τὸν μοχθηρὸν ταῦτα; τί δή, εἰ βασανίζοντα ἄνωθεν ἑδέου περὶ τοῦ βαδίζειν διὰ νεκρῶν, οὐκ ἂν σεαυτὸν ἐλεεῖσθαι καὶ ἀθλιώτερον ταύτης πάντων ἐνόμισας; οὐκοῦν καὶ νῦν ὅταν ὁρᾷς δεόμενον, ἐκεῖσε ἔδει. οὐδὲν γὰρ διαφέρει, εἴτε νεκρὸν ἀλόγων, εἴτε νεκρὸν ἀνθρώπων ταῦτά τις πάσχῃ. τί δή, εἰπέ μοι· ὅταν καὶ ταύτην διεξήκασιν ἡμῶν ἄγγελοι, ὅτι οὐ δέονται ὅσων ἡμεῖς; οὐκοῦν ὅσῳ μὲν ἐλαττόνων δεόμεθα, τοσούτῳ περὶς ἐκείνους ὀφείλομεν· ὅσῳ δὲ πλειόνων, τοσούτῳ περὶς τοὺς ὀπτιχήσαν τῶν καταπίπτομεν βίον. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα ὕπνος ἐστὶ, ἐρώτησον τοὺς γεγηρακότας, ποῖον μακαρίζουσι βίον, τὸν ὅτε ἐκρατοῦντο μάτην, ἢ τὸν ὅτε αὐτῶν κρατοῦσιν οὗτοι; ἀλλὰ γὰρ τοῦτο αὐδεῖς ἐκείνους ἐκαλέσαμεν, ὅπως καὶ νέοι τὴν μέθην μεθύοντες ὀφείλουσι τῆς δουλείας τὸν ἐπαρχολιόν. τί δὲ πυρέττοντες· ὅταν πολλὰ διψῶντες πολλὰ πίνωσι καὶ πολλῶν δέονται, ἢ ὅταν ὑγιάσαντες ἀπαλλαγῶσι τῆς ὀπτυμίας, ἑαυτοὺς μακαρίζουσιν; ὁρᾷς, ὅτι πάντα χορὸν ὁ πολλῶν δεῖσθαι ἐλεεινὸν, καὶ πέρρω φιλοσοφίας, ὡς δουλείας καὶ ὀπτυμίας ὀπίτασις; τί τοίνυν ἐκόντες ὀπιτεινόμεθα ἑαυτοῖς τὸν ἀθλιότητα; εἰπέ γάρ μοι· εἶτε ἰῶ χωρεῖς ζεύγη καὶ τοίχων μηδὲν βλαπτόμενον οἰκεῖν, οὐκ ἂν εἶλε τοῦτο μᾶλλον; τίνος οὖν ἕνεκεν τὰ σύμβολα τῆς ἀθενείας ὀπιτείνεις; ὁ δὲ τοῦτο τὸ Ἀδὰμ μακαρίζομεν, ὅτι θεοῦ ἐδεῖτο, οὐκ οἰκημάτων, οὐκ οἰδυμάτων; ναί, φησίν· ἀλλὰ νῦν ἡ χρεία καθεκάσμεθα. ἆ τοίνυν τὰ χρείαν αὐξομεν; εἰ γὰρ πολλοὶ καὶ τὰ τῆς χρείας πολλὰ περιεκόπησαν (δουλείας λέγω καὶ οἰκήματα καὶ χρήματα) ἵνα δὲ ἔχωμεν ἀπολογίαν, τὰ χρείαν ἐπαφαιρούμεθα; ὅσῳ δὲ πλείονα περιβάλλῃ, τοσούτῳ δηλικώτερος γέγονας. ὅσῳ γὰρ δὲ πλειόνων δέονται, τοσούτῳ τὴν ἐλευθερίαν ἐπετήμα. ἢ μὲν γὰρ ἀκριβὴς ἐλευθερία, τὸ μηδενὸς ὅλως δεῖσθαι· ἡ δὲ μετ' ἐκείνην, τὸ ὀλίγων δεῖσθαι, ἵν' ἀγγέλοις μάλιστα ἔχωσι, καὶ τούτων μιμηταί. τὸ δὲ καὶ ἐν θνητῷ σώματι μιμοῦσθαι κατορθῶσαι τοῦτο, ὁποῖόν ἐστι τὸ ἔπαινον. τοῦτο καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις γράφων· Ἐγὼ δὲ ὑμῶν φείδομαι· καὶ, ἵνα μή τις εἰς ἐμὲ λογίσηται εἰς σαρκὶ ἔξωσιν ἀπιστοι. διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν καὶ κατορύττωμεν.

χ. καὶ ἡμῶν

χ.

ἀλλάξωσιν, χ. τούτων

χ. περιέκοψαν ὁπαλ.

χ. ἐμπηγόντων

α. Κορ. ζ. κη.

χ. ἐπιτήμια.

ρύπωμθν. τῦτο γὰρ ὄκ ἔστι κτήσασθαι, ἀλλὰ κτησάμενον. Εἰ γὰρ τῦτο μέλλομθν σκηπτεῖν, ὅπως αὐτὰ πολλὰ ποιήσαιμθν, ὐχ ἵνα ἀπολαύσωμεν εἰς δέον, αὐτέξαπλαι ἡ ζάξις, καὶ ὀκφια ἡμᾶς κέκτηται, ὐχ ἡμᾶς ὀκφια. ἀπαλλαγῶμθν τοίνω τῆς χαλεπῆς ζαύτης σπουδείας, καὶ γλωώμθά ποτε ἐλθύθεσι. τί μυείας ἑαυτοῖς ὑπνοσόμθν καὶ ποικίλους δεσμούς; ὄκ ἀρκεῖ σοι τῆς φύσεως ὁ δεσμός, καὶ τ ζωῆς ἡ ἀνάγκη, καὶ ὁ τ μυείων πεζαγμ ὄχλος· ἀλλὰ ζ ἕτερα σεαυτῷ πλέκεις δίκτυα, καὶ τοῖς ποσὶ πεδάλλεις; καὶ πότε ὑπολήψη τῦ ἀέρος, καὶ πρὸς ὃ ὕψος ζ ἰῶσαι ὀκφιο δυνήσῃ; ἀγαπητὸν γὰρ, ἀγαπητὸν πάντα ζαῦτα σφαλάξαι ζὰ χρήια δυνηθῆναι ὑπολαβέσθαι τῆς ἄνω πόλεως· τοσαῦτα ἕτερα ὄστι ζὰ κωλύματα· ἅπερ ἵνα νικήσωμθν ἅπαντα, τῆς ἀτελείας ἐχώμεθα. ὕτω γὰρ ὑπολη- 10 ψόμθα καὶ τῆς αἰωνίου ζωῆς, χάριτι καὶ φιλαν. θεσπία τῦ Κυρίου ἡμῶν Ιησῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

χ. αἰ ασιῶσι

## Ομιλ. πα. 6 ΕΦΑΝΕΡΩΣΑ ΣΟΥ ΤΟ ΟΝΟΜΑ ΤΟΙΣ

